This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

A 860,074



Digitized by Google

888
.P6m
H54
V.1

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

PLUTARCHI CHAERONENSIS

MORALIA

EX RECENSIONE

RUDOLFI HERCHERI

VOLUME PRIMUM

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI

MDCCCLXXII

Digitized by Google

888
P6m
H54

Digitized by Google

VIRO ILLUSTRISSIMO

IOSEPHO VALENTINELLI

BIBLIOTHECAE MARCIANAE PRAEFECTO

Digitized by Google

Digitized by Google

PRAEFATIO.

Codicum lectiones, ad quorum auctoritatem Plutarchi orationem emendavi, plene et accurate in ampliore Moralium editione aperientur. Nunc satis habeo in medio collocasse ea, quae de mea aliorumve sententia citra manu scriptorum fidem novata sunt.

Opem auxiliumque plerisque huius voluminis libellis Parisinus tulit 1956, quem Wyttenbachius merito honore passim prosecutus est, saepius neglexit, Dübnerus ut interpolatum pertinaciter aspernatus est. Chartas Tischendorfianas adhibui libello qui de profectibus in virtute scriptus est, Heidelbergensem 153 Convivio Septem Sapientum. Praeterea excerptiones habui in codicibus Venetis factas a me et iuris consulto Groningensi, de Fremery, cuius schedas benignissime mecum communicaverunt viri consiliorum meorum adiutores C. M. Franckenus, professor Groningensis, et W. N. du Rieu, bibliothecae Lugdunensis conservator. Paucas mendas sustuli Riccardiani virtute, cuius collationem a Dübnero institutam mihi tramisit Reinholdus Dezeimeris

Digitized by Google

Burdigalensis, vir omnigena doctrina ornatissimus et ad omnem humanitatis rationem commodissimus.

Ad hos igitur codices orationem Plutarchi sexcenties refinxi, ut iam certiore sensu de illius stilo singulisque proprietatibus iudicari possit. Unde magis etiam emicuerunt eae sententiae, quibus non ex Plutarchi natura et ingenio, sed ex temporis et librariorum iniuriis color relictus est. Harum aliquam partem coniecturis meis et aliorum eluisse mihi videor, reliquas (imprudentis enim est perpetuam sibi coniectandi fortunam spondere) viris committo in distinguendis vitiis et curandis subtilissimis, ut liberent Plutarchum vitiorum isto contubernio, certaque medicina ad veterem salutem reducant.

Digitized by Google

ΠΛΟΥΤΑΡΧΟΥ ΤΟΥ ΧΑΙΡΩΝΕΩΣ

ΤΑ ΗΘΙΚΑ.

PLUTARCHI CHAERONENSIS

MORALIA.

Digitized by Google

Digitized by Google

ΠΕΡΙ ΠΑΙΔΩΝ ΑΓΩΓΗΣ.

1. Τί τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς τῶν ἐλευθέρων 1
παίδων ἀγωγῆς καὶ τίνι χρώμενοι σπουδαῖοι τοὺς τρόπους ἂν ἀποβαῖεν φέρε σκεψώμεθα.

2. Βέλτιον δ' ἴσως ἀπὸ τῆς γενέσεως ἄρξασθαι πρῶτον. τοῖς τοίνυν ἐπιθυμοῦσιν ἐνδόξων τέκνων γενέσθαι πατράσιν ὑποθείμην ἂν ἔγωγε μὴ ταῖς τυχού- B
σαις γυναιξὶ συνοικεῖν, λέγω δὲ οἷον ἑταίραις ἢ παλλακαῖς· τοῖς γὰρ πατρόθεν ἢ μητρόθεν ἀδόξοις γεγονόσιν ἀνεξάλειπτα παρακολουθεῖ τὰ τῆς δυσγενείας ὀνείδη παρὰ πάντα τὸν βίον καὶ πρόχειρα τοῖς ἐλέγχειν καὶ λοιδορεῖσθαι βουλομένοις. καὶ σοφὸς ἄρα ἦν ὁ ποιητὴς ὅς φησιν

'ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.'

καλὸς οὖν παρρησίας θησαυρὸς εὐγένεια, ἧς δὴ πλεῖστον λόγον ποιητέον τοῖς νομίμου παιδοποιίας γλιχομένοις. καὶ μὲν δὴ τὰ φρονήματα τῶν ὑπόχαλκον καὶ κίβδηλον ἐχόντων τὸ γένος σφάλλεσθαι καὶ ταπεινοῦ- C
σθαι πέφυκε, καὶ μάλα ὀρθῶς ὁ λέγων ποιητής φησι

'δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
ὅταν συνειδῇ μητρὸς ἢ πατρὸς κακά.'

ὥσπερ ἀμέλει μεγαλαυχίας ἐμπίπλανται καὶ φρυάγμα-

1, 1—2H. 1, 1—2B.

13. ὅταν] Eurip. Herc. f. 1261 20. δουλοῖ] Id. Hipp. 424

Digitized by Google

τος οἱ γονέων διασήμων. Διόφαντον γοῦν τὸν Θεμιστοκλέους πολλάκις λέγουσι φάναι καὶ πρὸς πολλοὺς ὡς ὅ τι ἂν αὐτὸς βούληται, τοῦτο καὶ τῷ δήμῳ συνδοκεῖ τῷ τῶν Ἀθηναίων. ἃ μὲν γὰρ αὐτὸς ἐθέλει, καὶ ἡ μήτηρ· ἃ δ' ἂν ἡ μήτηρ, καὶ Θεμιστοκλῆς· ἃ δ' ἂν Θεμιστοκλῆς, καὶ πάντες Ἀθηναῖοι. πάνυ δὲ ἄξιον ἐπαινεῖν καὶ Λακεδαιμονίους τῆς μεγαλοφροσύνης, οἵτινες Ἀρχίδαμον τὸν βασιλέα ἑαυτῶν ἐζημίωσαν χρήμασιν, ὅτι μικρὰν τὸ μέγεθος γυναῖκα γάμῳ λαβεῖν ὑπέμεινεν, ἐπειπόντες ὡς οὐ βασιλέας ἀλλὰ βασιλείδια παρασχεῖν αὐτοῖς διανοοῖτο.

3. Ἐχόμενον δ' ἂν εἴη τούτων εἰπεῖν ὅπερ οὐδὲ τοῖς πρὸ ἡμῶν παρεωρᾶτο. τὸ ποῖον; ὅτι τοὺς ἕνεκα παιδοποιίας πλησιάζοντας ταῖς γυναιξὶν ἤτοι τὸ παράπαν ἀοίνους ἢ μετρίως γοῦν οἰνωμένους ποιεῖσθαι προσήκει τὸν συνουσιασμόν. φίλοινοι γὰρ καὶ μεθυστικοὶ γίνεσθαι φιλοῦσιν ὧν ἂν τὴν ἀρχὴν τῆς σπορᾶς οἱ πατέρες ἐν μέθῃ ποιησάμενοι τύχωσιν. ἢ καὶ Διογένης μειράκιον ἐκστατικὸν ἰδὼν καὶ παραφρονοῦν 'νεανίσκε' ἔφησεν, 'ὁ πατήρ σε μεθύων ἔσπειρε'. καὶ περὶ μὲν τῆς γενέσεως τοσαῦτα εἰρήσθω μοι, περὶ δὲ τῆς ἀγωγῆς καὶ δὴ λεκτέον.

4. Καθόλου μὲν εἰπεῖν, ὃ κατὰ τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν λέγειν εἰώθαμεν, ταὐτὸ καὶ κατὰ τῆς ἀρετῆς φατέον ἐστίν, ὡς εἰς τὴν παντελῆ δικαιοπραγίαν τρία δεῖ συνδραμεῖν, φύσιν καὶ λόγον καὶ ἔθος. καλῶ δὲ λόγον μὲν τὴν μάθησιν, ἔθος δὲ τὴν ἄσκησιν. εἰσὶ δὲ αἱ μὲν ἀρχαὶ τῆς φύσεως, αἱ δὲ προκοπαὶ τῆς μαθήσεως, αἱ δὲ χρήσεις τῆς μελέτης, αἱ δ' ἀκρότητες πάντων. καθ' ὃ δ' ἂν λειφθῇ τούτων, κατὰ τοῦτ' ἀνάγκη χωλὴν γίνεσθαι τὴν ἀρετήν. ἡ μὲν γὰρ φύ-

Digitized by Google

cις ἄνευ μαθήσεως τυφλόν, ἡ δὲ μάθησις δίχα φύσεως
ἐλλιπές, ἡ δὲ ἄσκησις χωρὶς ἀμφοῖν ἀτελές. ὥσπερ
δ' ἐπὶ τῆς γεωργίας πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ
τὴν γῆν, εἶτα δὲ τὸν φυτουργὸν ἐπιστήμονα, εἶτα τὰ
σπέρματα σπουδαῖα, τὸν αὐτὸν τρόπον γῇ μὲν ἔοικεν
ἡ φύσις, γεωργῷ δὲ ὁ παιδεύων, σπέρματι δὲ αἱ τῶν
λόγων ὁποθῆκαι καὶ τὰ παραγγέλματα. ταῦτα πάντα
διατεινάμενος ἂν εἴποιμι ὅτι συνῆλθε καὶ συνέπνευσεν C
εἰς τὰς τῶν παρ' ἅπασιν ᾀδομένων ψυχάς, Πυθαγόρου
καὶ Σωκράτους καὶ Πλάτωνος καὶ τῶν ὅσοι δόξης
ἀειμνήστου τετυχήκασιν. εὐδαίμων μὲν οὖν καὶ θεο-
φιλὴς εἴ τῳ ταῦτα πάντα θεῶν τις ἀπέδωκεν. εἰ δέ
τις οἴεται τοὺς οὐκ εὖ πεφυκότας μαθήσεως καὶ με-
λέτης τυχόντας ὀρθῆς πρὸς ἀρετὴν οὐκ ἂν τὴν τῆς
φύσεως ἐλάττωσιν εἰς τοὐνδεχόμενον ἀναλαβεῖν, ἴστω
πολλοῦ, μᾶλλον δὲ τοῦ παντὸς διαμαρτάνων. φύσεως
μὲν γὰρ ἀρετὴν διαφθείρει ῥᾳθυμία, φαυλότητα δὲ
ἐπανορθοῖ διδαχή· καὶ τὰ μὲν ῥᾴδια τοὺς ἀμελοῦντας
φεύγει, τὰ δὲ χαλεπὰ ταῖς ἐπιμελείαις ἁλίσκεται. κα-
ταμάθοις δ' ἂν ὡς ἀνύσιμον πρᾶγμα καὶ τελεσιουργὸν D
ἐπιμέλεια καὶ πόνος ἐστίν, ἐπὶ πολλὰ τῶν γιγνομέ-
νων ἐπιβλέψας. σταγόνες μὲν γὰρ ὕδατος πέτρας
κοιλαίνουσι, σίδηρος δὲ καὶ χαλκὸς ταῖς ἐπαφαῖς τῶν
χειρῶν ἐκτρίβονται, οἱ δ' ἁρμάτειοι τροχοὶ πόνῳ
καμφθέντες οὐδ' ἂν εἴ τι γένοιτο τὴν ἐξ ἀρχῆς δύ-
ναιντο ἀναλαβεῖν εὐθυωρίαν, τάς γε μὴν καμπύλας
τῶν ὑποκριτῶν βακτηρίας ἀπευθύνειν ἀμήχανον, ἀλλὰ
τὸ παρὰ φύσιν τῷ πόνῳ τοῦ κατὰ φύσιν ἐγένετο
κρεῖττον. μόνα ἄρα ταῦτα τὴν τῆς ἐπιμελείας ἰσχὺν

1, 5—7 H. 1, 4—6 R.

4. τὸν* 8. ἂν adiecit Emperius 15. ἀναλαβεῖν W: ἀναδραμεῖν 29. μόνα ἄρα*: καὶ μόνα ἄρα τῆς*

Digitized by Google

διαδείκνυσιν; οὔκ, ἀλλὰ μυρία ἐπὶ μυρίοις. ἀγαθὴ τῇ
E πέφυκεν· ἀλλ' ἀμεληθεῖσα χερσεύεται, καὶ ὅσῳ τῇ
φύσει βελτίων ἐστί, τοσούτῳ μᾶλλον ἐξαργηθεῖσα δι'
ἀμέλειαν ἐξαπόλλυται. ἔστι τις ἀπόκροτος καὶ τραχυ-
τέρα τοῦ δέοντος· ἀλλὰ γεωργηθεῖσα παραυτίκα γενναί- 5
ους καρποὺς ἐξήνεγκε. ποῖα δὲ δένδρα οὐκ ὀλιγωρη-
θέντα μὲν στρεβλὰ φύεται καὶ ἄκαρπα καθίσταται,
τυχόντα δὲ ὀρθῆς παιδαγωγίας ἔγκαρπα γίνεται καὶ
τελεσφόρα; ποία δὲ σώματος ἰσχὺς οὐκ ἐξαμβλοῦται
καὶ καταφθίνει δι' ἀμέλειαν καὶ τρυφὴν καὶ καχεξίαν; 10
τίς δ' ἀσθενὴς φύσις οὐ τοῖς γυμνασαμένοις καὶ κατα-
F θλήσασι πλεῖστον εἰς ἰσχὺν ἐπέδωκε; τίνες δ' ἵπποι
καλῶς πωλοδαμνηθέντες οὐκ εὐπειθεῖς ἐγένοντο τοῖς
ἀναβάταις, τίνες δὲ ἀδάμαστοι μείναντες οὐ σκληραύ-
χενες καὶ θυμοειδεῖς ἀπέβησαν; καὶ τί δεῖ τἄλλα θαυ- 15
μάζειν, ὅπου γε τῶν θηρίων τῶν ἀγριωτάτων ὁρῶ-
μεν πολλὰ καὶ τιθασευόμενα καὶ χειροήθη γιγνόμενα
τοῖς πόνοις; εὖ δὲ καὶ ὁ Θετταλὸς ἐρωτηθεὶς τίνες
εἰσὶν οἱ ἠπιώτατοι Θετταλῶν, ἔφη 'οἱ παυόμενοι πο-
3 λεμεῖν'. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καὶ γὰρ τὸ ἦθος 20
ἔθος ἐστὶ πολυχρόνιον, καὶ τὰς ἠθικὰς ἀρετὰς ἐθικὰς
ἄν τις λέγῃ, οὐκ ἄν τι πλημμελεῖν δόξειεν. ἐνὶ δὲ
περὶ τούτων ἔτι παραδείγματι χρησάμενος ἀπαλλάξο-
μαι τοῦ ἔτι περὶ αὐτῶν μηκύνειν. Λυκοῦργος γὰρ ὁ
τῶν Λακεδαιμονίων νομοθέτης δύο σκύλακας τῶν αὐ- 25
τῶν γονέων λαβὼν οὐδὲν ὁμοίως ἀλλήλοις ἤγαγεν,
ἀλλὰ τὸν μὲν ἀπέφηνε λίχνον καὶ σινάμωρον, τὸν δὲ
ἐξιχνεύειν καὶ θηρᾶν δυνατόν. εἶτά ποτε τῶν Λακε-
δαιμονίων εἰς ταὐτὸ συνειλεγμένων, 'μεγάλη τοι ῥοπὴ

1, 7—8 H. 1, 6—7 B.

1. ἀλλὰ*: ἀλλὰ καὶ 4. ἔστι*: ἀλλ' ἔστι 21. ἔθος addidit Xylander 27. σινάμωρον Iacobsius: σινάμορον

Digitized by Google

πρὸς ἀρετῆς κύησίν ἐστιν ἄνδρες' ἔφησε 'Λακεδαιμόνιοι καὶ ἔθη καὶ διδασκαλίαι καὶ βίων ἀγωγαί, καὶ B
ἐγὼ ταῦτα ὑμῖν αὐτίκα δὴ μάλα ποιήσω φανερά'. εἶτα
προσαγαγὼν τοὺς σκύλακας διαφῆκε, καταθεὶς εἰς μέ-
σον λοπάδα καὶ λαγωὸν κατευθὺ τῶν σκυλάκων. καὶ
ὃ μὲν ἐπὶ τὸν λαγωὸν ἦξεν, ὃ δὲ ἐπὶ τὴν λοπάδα
ὥρμησε. τῶν δὲ Λακεδαιμονίων οὐδέπω συμβαλεῖν
ἐχόντων τί ποτε αὐτῷ τοῦτο δύναται καὶ τί βουλό-
μενος τοὺς σκύλακας ἐπεδείκνυεν, 'οὗτοι γονέων' ἔφη
'τῶν αὐτῶν ἀμφότεροι, διαφόρου δὲ τυχόντες ἀγω-
γῆς ὃ μὲν λίχνος ὃ δὲ θηρευτὴς ἀποβέβηκε'. καὶ περὶ
μὲν ἐθῶν καὶ βίων ἀρκείτω ταῦτα.

5. Περὶ δὲ τροφῆς ἐχόμενον ἂν εἴη λέγειν. δεῖ C
δέ, ὡς ἐγὼ ἂν φαίην, αὐτὰς τὰς μητέρας τὰ τέκνα
τρέφειν καὶ τούτοις τοὺς μαστοὺς ὑπέχειν· συμπα-
θέστερόν τε γὰρ θρέψουσι καὶ διὰ πλείονος ἐπιμε-
λείας, ὡς ἂν ἔνδοθεν καὶ τὸ δὴ λεγόμενον ἐξ ὀνύ-
χων ἀγαπῶσαι τὰ τέκνα. αἱ τίτθαι δὲ καὶ αἱ τροφοὶ
τὴν εὔνοιαν ὑποβολιμαίαν καὶ παρέγγραπτον ἔχουσιν,
ἅτε μισθοῦ φιλοῦσαι. δηλοῖ δὲ καὶ ἡ φύσις ὅτι δεῖ
τὰς μητέρας ἃ γεγεννήκασιν αὐτὰς τιτθεύειν καὶ τρέ-
φειν· διὰ γὰρ τοῦτο παντὶ ζῴῳ τεκόντι τὴν ἐκ τοῦ
γάλακτος τροφὴν ἐχορήγησε. σοφῶς δὲ ἄρα καὶ ἡ
πρόνοια διττοὺς ἐνέθηκε ταῖς γυναιξὶ τοὺς μαστούς,
ἵνα, καὶ εἰ δίδυμα τέκοιεν, διττὰς ἔχοιεν τὰς τῆς τρο- D
φῆς πηγάς. χωρὶς δὲ τούτων εὐνούστεραι τοῖς τέ-
κνοις γίγνοιντ' ἂν καὶ φιλητικώτεραι. καὶ μὰ Δί'
οὐκ ἀπεικότως· ἡ συντροφία γὰρ ὥσπερ ἐπιτόνιόν
ἐστι τῆς εὐνοίας. καὶ γὰρ τὰ θηρία τῶν συντρεφομέ-

1, 9—11 H. 1, 7—9 B.

1. κύησιν] κτῆσιν W 23. σοφῶς*: σοφὸν 29. καὶ γὰρ] Xenoph. Cyrop. II 1, 13

Digitized by Google

νων ἀποσπώμενα ταῦτα ποθοῦντα φαίνεται. μάλιστα μὲν οὖν ὥσπερ ἔφην αὐτὰς πειρατέον τὰ τέκνα τρέφειν τὰς μητέρας· εἰ δ' ἄρ' ἀδυνάτως ἔχοιεν ἢ διὰ σώματος ἀσθένειαν (γένοιτο γὰρ ἄν τι καὶ τοιοῦτον) ἢ πρὸς ἑτέρων τέκνων σπεύδουσαι γένεσιν, ἀλλὰ τάς γε τίτθας καὶ τὰς τροφοὺς οὐ τὰς τυχούσας ἀλλ' ὡς
E ἔνι μάλιστα σπουδαίας δοκιμαστέον ἐστί. πρῶτον μὲν τοῖς ἤθεσιν Ἑλληνίδας. ὥσπερ γὰρ τὰ μέλη τοῦ σώματος εὐθὺς ἀπὸ γενέσεως πλάττειν τῶν τέκνων ἀναγκαῖόν ἐστιν, ἵνα ταῦτα ὀρθὰ καὶ ἀστραβῆ φύηται, τὸν αὐτὸν τρόπον ἐξ ἀρχῆς τὰ τῶν τέκνων ἤθη ῥυθμίζειν προσήκει. εὔπλαστον γὰρ καὶ ὑγρὸν ἡ νεότης, καὶ ταῖς τούτων ψυχαῖς ἁπαλαῖς ἔτι τὰ μαθήματα ἐντή-
F κεται· πᾶν δὲ τὸ σκληρὸν χαλεπῶς μαλάττεται. καθάπερ γὰρ σφραγῖδες τοῖς ἁπαλοῖς ἐναπομάττονται κηροῖς, οὕτως αἱ μαθήσεις ταῖς τῶν ἔτι παιδίων ψυχαῖς ἐναποτυποῦνται. καί μοι δοκεῖ Πλάτων ὁ δαιμόνιος ἐμμελῶς παραινεῖν ταῖς τίτθαις μὴ τοὺς τυχόντας μύθους τοῖς παιδίοις λέγειν, ἵνα μὴ τὰς τούτων ψυχὰς ἐξ ἀρχῆς ἀνοίας καὶ διαφθορᾶς ἀναπίμπλασθαι συμβαίνῃ. κινδυνεύει δὲ καὶ Φωκυλίδης ὁ ποιητὴς καλῶς παραινεῖν λέγων

'χρὴ παῖδ' ἔτ' ἐόντα
καλὰ διδάσκειν ἔργα'.

6. Οὐ τοίνυν οὐδὲ τοῦτο παραλιπεῖν ἄξιόν ἐστιν, ὅτι καὶ τὰ παιδία τὰ μέλλοντα τοῖς τροφίμοις ὑπηρετεῖν καὶ τούτοις σύντροφα γίνεσθαι ζητητέον πρώ-
4 τιστα μὲν σπουδαῖα τοὺς τρόπους, ἔτι μέντοι Ἑλληνικὰ καὶ περίτρανα λαλεῖν, ἵνα μὴ συναναχρωννύμενοι

1, 11—12 H. 1, 2—11 R.

6. τὰς ante τροφοὺς addidi 17. Πλάτων] Rep. p. 377 B
23. χρὴ] Bergk. p. 448[3]

Digitized by Google

βαρβάροις καὶ τὸ ἦθος μοχθηροῖς ἀποφέρωνταί τι τῆς ἐκείνων φαυλότητος. καὶ οἱ παροιμιαζόμενοι δέ φασιν οὐκ ἄπο τρόπου λέγοντες, ὅτι 'ἂν χωλῷ παροικήσῃς, ὑποσκάζειν μαθήσῃ'.

7. Ἐπειδὰν τοίνυν ἡλικίαν λάβωσιν ὑπὸ παιδαγωγοῖς τετάχθαι, ἐνταῦθα δὴ πολλὴν ἐπιμέλειαν ἑκτέον ἐστὶ τῆς τούτων κατασκέσεως, ὡς μὴ λάθωσιν ἀνδραπόδοις ἢ βαρβάροις ἢ παλιμβόλοις τὰ τέκνα παραδόντες. ἐπεὶ νῦν γε τὸ γινόμενον πολλοῖς ὑπεραγέλαστόν ἐστι. τῶν γὰρ δούλων τῶν σπουδαίων τοὺς μὲν γεωργοὺς ἀποδεικνύουσι, τοὺς δὲ ναυκλήρους τοὺς δὲ ἐμπόρους τοὺς δὲ οἰκονόμους τοὺς δὲ δανειστάς· ὅ τι δ' ἂν εὕρωσιν ἀνδράποδον οἰνόληπτον καὶ λίχνον πρὸς πᾶσαν πραγματείαν ἄχρηστον, τούτῳ φέροντες ὑποβάλλουσι τοὺς υἱούς. δεῖ δὲ τὸν σπουδαῖον παιδαγωγὸν τοιοῦτον εἶναι τὴν φύσιν οἷόσπερ ἦν ὁ Φοίνιξ ὁ τοῦ Ἀχιλλέως παιδαγωγός. τὸ δὲ πάντων μέγιστον καὶ κυριώτατον τῶν εἰρημένων ἔρχομαι φράσων. διδασκάλους γὰρ ζητητέον τοῖς τέκνοις, οἳ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι καὶ τοῖς τρόποις ἀνεπίληπτοι καὶ ταῖς ἐμπειρίαις ἄριστοι· πηγὴ γὰρ καὶ ῥίζα καλοκαγαθίας τὸ νομίμου τυχεῖν παιδείας. καὶ καθάπερ τὰς χάρακας οἱ γεωργοὶ τοῖς φυτοῖς παρατιθέασιν, οὕτως οἱ νόμιμοι τῶν διδασκάλων ἐμμελεῖς τὰς ὑποθήκας καὶ παραινέσεις παραπηγνύουσι τοῖς νέοις, ἵν' ὀρθὰ τούτων βλαστάνῃ τὰ ἤθη. νῦν δέ τις κἂν καταπτύσειε τῶν πατέρων ἐνίων, οἵτινες πρὶν δοκιμάσαι τοὺς μέλλοντας διδάσκειν, δι' ἄγνοιαν, ἔστι δ' ὅτε καὶ δι' ἀπειρίαν ἀνθρώποις ἀδοκίμοις καὶ

1, 12—15 H. 1, 11—12 R.

26. βλαστάνῃ*: βλαστάνοι 27. κἂν*: καὶ 29. ἔστι δ'*: ἔσθ'

Digitized by Google

παρασήμοις ἐγχειρίζουσι τοὺς παῖδας. καὶ οὕπω τοῦτό ἐστι καταγέλαστον εἰ δι' ἀπειρίαν αὐτὸ πράττουσιν, ἐκεῖνο δὲ ἐσχάτως ἄτοπον. τὸ ποῖον; ἐνίοτε γὰρ εἰδότες τὴν ἐνίων τῶν παιδευτῶν ἀπειρίαν ἅμα καὶ μοχθηρίαν ὅμως τούτοις ἐπιτρέπουσι τοὺς παῖδας, οἳ μὲν ταῖς τῶν ἀρεσκευομένων ἡττώμενοι κολακείαις, εἰσὶ δὲ οἳ καὶ δεομένοις χαριζόμενοι φίλοις, παρόμοιον ποιοῦντες ὥσπερ ἂν εἴ τις τῷ σώματι κάμνων τὸν σὺν ἐπιστήμῃ δυνηθέντα ἂν σῶσαι παραλιπών, φίλῳ χαριζόμενος τὸν δι' ἀπειρίαν ἀπολέσαντα ἂν αὐτὸν προέλοιτο, ἢ ναύκληρον τὸν ἄριστον ἀφεὶς τὸν χείριστον δοκιμάσειε φίλου δεηθέντος. Ζεῦ καὶ θεοὶ πάντες, πατήρ τις καλούμενος πλείω λόγον ποιεῖται τῆς τῶν δεομένων χάριτος ἢ τῆς τῶν τέκνων παιδεύσεως; εἶτ' οὐκ εἰκότα πολλάκις Σωκράτης ἐκεῖνος ὁ παλαιὸς ἔλεγεν, ὅτι εἴπερ ἄρα δυνατὸν ἦν, ἀναβάντα ἐπὶ τὸ μετεωρότατον τῆς πόλεως μέρος ἀνακραγεῖν ‘ὦ ἄνθρωποι, ποῖ φέρεσθε, οἵτινες χρημάτων μὲν κτήσεως πέρι πᾶσαν ποιεῖσθε σπουδήν, τῶν δ' υἱέων, οἷς ταῦτα καταλείψετε, μικρὰ φροντίζετε'; τούτοις δ' ἂν ἔγωγε προσθείην ὅτι οἱ τοιοῦτοι πατέρες παραπλήσιον ποιοῦσιν, οἷον εἴ τις τοῦ μὲν ὑποδήματος φροντίζοι, τοῦ δὲ ποδὸς ὀλιγώρως ἔχοι. πολλοὶ δὲ εἰς τοσοῦτο τῶν πατέρων προβαίνουσι φιλαργυρίας ἅμα καὶ μισοτεκνίας, ὥσθ' ἵνα μὴ πλείονα μισθὸν τελέσειαν, ἀνθρώπους τοὺς μηδενὸς τιμίους αἱροῦνται τοῖς τέκνοις παιδευτάς, εὖωνον ἀμαθίαν διώκοντες. ἦ καὶ Ἀρίστιππος οὐκ ἀκόμψως ἀλλὰ καὶ πάνυ ἀστείως ἐπέσκωψε τῷ λόγῳ πατέρα νοῦ καὶ φρενῶν κενόν. ἐρωτήσαν-

1, 15—17 H. 1, 12—14 R.

4. εἰδότες*: εἰδότες αἰσθομένων μᾶλλον αὐτοῖς τοῦτο λεγόντων 15. Σωκράτης] Plat. Clitoph. p. 407 A

Digitized by Google

τος γάρ τινος αὐτὸν πόσον αἰτοίη μισθὸν ὑπὲρ τῆς τοῦ τέκνου παιδεύσεως, 'χιλίας' ἔφη 'δραχμάς'. τοῦ δέ 'Ἡράκλεις' εἰπόντος, 'ὡς ὑπέρπολυ τὸ αἴτημα· δύναμαι γὰρ ἀνδράποδον χιλίων πρίασθαι,' 'τοιγαροῦν' εἶπε 'δύο ἔξεις ἀνδράποδα, καὶ τὸν υἱὸν καὶ ὃν ἂν πρίῃ'. τὸ δ' ὅλον πῶς οὐκ ἄτοπον τῇ μὲν δεξιᾷ συνεθίζειν τὰ παιδία δέχεσθαι τὰς τροφάς, κἂν προτείνῃ τὴν ἀριστεράν, ἐπιτιμᾶν, μηδεμίαν δὲ ποιεῖσθαι πρόνοιαν τοῦ λόγων ἐπιδεξίων καὶ νομίμων ἀκούειν; τί οὖν συμβαίνει τοῖς θαυμαστοῖς πατράσιν, ἐπειδὰν κακῶς μὲν θρέψωσι κακῶς δὲ παιδεύσωσι τοὺς υἱεῖς, ἐγὼ φράσω. ὅταν γὰρ εἰς ἄνδρας ἐγγραφέντες τοῦ μὲν ὑγιαίνοντος καὶ τεταγμένου βίου καταμελήσωσιν, ἐπὶ δὲ τὰς ἀτάκτους καὶ ἀνδραποδώδεις ἡδονὰς ἑαυτοὺς κρημνίσωσι, τότε δὴ μεταμέλονται τὴν τῶν τέκνων προδεδωκότες παιδείαν, ὅτε οὐδὲν ὄφελος, τοῖς ἐκείνων ἀδικήμασιν ἀδημονοῦντες. οἳ μὲν γὰρ αὐτῶν κόλακας καὶ παρασίτους ἀναλαμβάνουσιν, ἀνθρώπους παρασήμους καὶ καταράτους καὶ τῆς νεότητος ἀνατρόπεας καὶ λυμεῶνας, οἳ δέ τινες ἑταίρας καὶ χαμαιτύπας μισθοῦνται σοβαρὰς καὶ πολυτελεῖς, οἳ δὲ κατοψοφαγοῦσιν, οἳ δὲ εἰς κύβους καὶ κώμους ἐξοκέλλουσιν, ἤδη δέ τινες καὶ τῶν νεανικωτέρων ἥψαντο κακῶν, μοιχεύοντες καὶ οἰκοφθοροῦντες καὶ μίαν ἡδονὴν θανάτου τιμώμενοι. φιλοσοφίᾳ δὲ ὁμιλήσαντες οὗτοι οὐ τοιούτοις ἴσως πράγμασιν ἑαυτοὺς ἂν καταπειθεῖς παρέσχοντο, καὶ τό γε παράγγελμα τοῦ Διογένους ἔμαθον ἄν, ὃς φορτικῶς μὲν τοῖς ῥήμασιν ἀληθῶς δὲ τοῖς πράγμασι παραινεῖ καί φησιν 'εἴσελθε εἰς πορνεῖον

1, 17—19 H. 1, 14—16 R.

7. προτείνῃ Hertlinus: προτείνειε 19. παρασήμους*: ἀσήμους 23. ἥψαντο*: ἅπτονται 24. οἰκοφθοροῦντες W: κιττοφοροῦντες

Digitized by Google

παῖ, ἵνα μάθῃς ὅτι τῶν ἀξίων τὰ τίμια οὐδὲν διαφέρει'.

8. Συνελὼν τοίνυν ἐγώ φημι (καὶ χρησμολογεῖν μᾶλλον ἢ παραινεῖν δόξαιμ' ἂν εἰκότως) ὅτι ἓν πρῶτον καὶ μέσον καὶ τελευταῖον ἐν τούτοις κεφάλαιον ἀγωγὴ σπουδαία καὶ παιδεία νόμιμός ἐστι, καὶ ταῦτα φορὰ καὶ συνεργὰ πρὸς ἀρετὴν καὶ πρὸς εὐδαιμονίαν φημί. καὶ τὰ μὲν ἄλλα τῶν ἀγαθῶν ἀνθρώπινα καὶ D μικρὰ καὶ οὐκ ἀξιοσπούδαστα καθέστηκεν. εὐγένεια καλὸν μέν, ἀλλὰ προγόνων ἀγαθόν. πλοῦτος δὲ τίμιον μέν, ἀλλὰ τύχης κτῆμα, ἐπειδὴ τῶν μὲν ἐχόντων πολλάκις ἀφείλετο, τοῖς δ' οὐκ ἐλπίσαι φέρουσα προσήνεγκε, καὶ ὅτι ὁ πολὺς πλοῦτος σκοπὸς ἔκκειται τοῖς βουλομένοις βαλάντια τοξεύειν, κακούργοις οἰκέταις καὶ συκοφάνταις, καὶ τὸ μέγιστον, ὅτι καὶ τοῖς πονηροτάτοις μέτεστι. δόξα γε μὴν σεμνὸν μέν, ἀλλ' ἀβέβαιον. κάλλος δὲ περιμάχητον μέν, ἀλλ' ὀλιγοχρόνιον. ὑγίεια δὲ τίμιον μέν, ἀλλ' εὐμετάστατον. ἰσχὺς δὲ ζηλωτὸν μέν, ἀλλὰ νόσῳ εὐάλωτον καὶ γήρᾳ. τὸ E δὲ ὅλον εἴ τις ἐπὶ τῇ τοῦ σώματος ῥώμῃ φρονεῖ, μαθέτω γνώμης διαμαρτάνων. πόστον γάρ ἐστιν ἰσχὺς ἀνθρωπίνη τῆς τῶν ἄλλων ζῴων δυνάμεως; λέγω δὲ οἷον ἐλεφάντων καὶ ταύρων καὶ λεόντων. παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. καὶ δύο τὰ πάντων ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος. καὶ ὁ μὲν νοῦς ἀρχικός ἐστι τοῦ λόγου, ὁ δὲ λόγος ὑπηρετικὸς τοῦ νοῦ, τύχῃ μὲν ἀνάλωτος, συκοφαντίᾳ δὲ ἀναφαίρετος, νόσῳ δ' ἀδιάφθορος, γήρᾳ δ' ἀλύμαντος. μόνος γὰρ ὁ νοῦς παλαιούμενος

1, 19—20 H. 1, 16—17 R.

1. παῖ Cobetus: που 13. ὅτι* 16. σεμνὸν μέν*: σεμνὸν

ἀνηβᾷ, καὶ ὁ χρόνος τἄλλα πάντ' ἀφαιρῶν τῷ γήρᾳ F
προστίθηει τὴν ἐπιστήμην. ὅ γε μὴν πόλεμος χειμάρ-
ρου δίκην πάντα σύρων καὶ πάντα παραφέρων μόνην
οὐ δύναται παιδείαν παρελέσθαι. καί μοι δοκεῖ Στίλ-
πων ὁ Μεγαρεὺς φιλόσοφος ἀξιομνημόνευτον ποιήσα-
σθαι ἀπόκριειν, ὅτε Δημήτριος ἐξανδραποδισάμενος
τὴν πόλιν εἰς ἔδαφος κατέβαλε καὶ τὸν Στίλπωνα
ἤρετο μή τι ἀπολωλεκὼς εἴη. καὶ ὃς 'οὐ δῆτα' εἶπε,
'πόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν'. σύμφωνος 6
δὲ καὶ συνῳδὸς καὶ ἡ Σωκράτους ἀπόκριεις ταύτῃ
φαίνεται. καὶ γὰρ οὗτος ἐρωτήσαντος αὐτόν μοι δο-
κεῖ Γοργίου ἦν ἔχει περὶ τοῦ μεγάλου βασιλέως ὑπό-
ληψιν καὶ εἰ νομίζει τοῦτον εὐδαίμονα εἶναι, 'οὐκ
οἶδα' ἔφηεε 'πῶς ἀρετῆς καὶ παιδείας ἔχει', ὡς τῆς
εὐδαιμονίας ἐν τούτοις, οὐκ ἐν τοῖς τυχηροῖς ἀγαθοῖς
κειμένης.

9. Ὥσπερ δὲ παραινῶ τῆς παιδείας τῶν τέκνων
μηδὲν ποιεῖσθαι προυργιαίτερον, οὕτως αὖ πάλιν φημὶ
δεῖν τῆς ἀδιαφθόρου καὶ ὑγιαινούσης ἔχεσθαι, τῶν δὲ
πανηγυρικῶν λήρων ὡς πορρωτάτω τοὺς υἱεῖς ἀπά-
γειν. τὸ γὰρ τοῖς πολλοῖς ἀρέσκειν τοῖς σοφοῖς ἐστιν B
ἀπαρέσκειν. μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Εὐριπίδης
λέγων

'ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον,
εἰς ἥλικας δὲ κὠλίγους σοφώτερος.
ἔχει δὲ μοῖραν καὶ τόδ'· οἱ γὰρ ἐν σοφοῖς
φαῦλοι παρ' ὄχλῳ μουσικώτεροι λέγειν,

ὁρῶ δ' ἔγωγε τοὺς τοῖς συρφετώδεειν ὄχλοις ἀρεστῶς

1, 20—22 H. 1, 17—19 B.

5. ποιήσασθαι*: ποιῆσαι 10. Σωκράτους] Plat. Gorg. p. 470 E 24. Eur. Hipp. 986 26. ἔχει δὲ μοῖραν καὶ τόδ' accessit ex eodem γὰρ*: δ'

Digitized by Google

καὶ κεχαρισμένως ἐπιτηδεύοντας λέγειν καὶ τὸν βίον
ὡς τὰ πολλὰ ἀσώτους καὶ φιληδόνους ἀποβαίνοντας.
καὶ νὴ Δί' εἰκότως. εἰ γὰρ ἄλλοις ἡδονὰς παρασκευά-
ζοντες ἀμελοῦσι τοῦ καλοῦ, σχολῇ γ' ἂν τῆς ἰδίας
ἡδυπαθείας καὶ τρυφῆς ὑπεράνω τὸ ὀρθὸν καὶ ὑγιὲς
ποιήσαιντο ἢ τὸ σῶφρον ἀντὶ τοῦ τερπνοῦ διώξειαν.
καλὸν γάρ τοι μηδὲν εἰκῇ μήτε λέγειν μήτε πράττειν,
καὶ κατὰ τὴν παροιμίαν 'χαλεπὰ τὰ καλά'. οἱ δ' αὐτο-
σχέδιοι τῶν λόγων πολλῆς εὐχερείας καὶ ῥᾳδιουργίας
εἰσὶ πλήρεις, οὔθ' ὅθεν ἀρκτέον οὔθ' ὅποι παυστέον
ἐστὶν εἰδότων. χωρὶς δὲ τῶν ἄλλων πλημμελημάτων
οἳ ἂν ἐκ τοῦ παραχρῆμα λέγωσιν, εἰς ἀμετρίαν δεινὴν
ἐκπίπτουσι καὶ πολυλογίαν. σκέψις δ' οὐκ ἐᾷ τῆς
ἰκνουμένης συμμετρίας τὸν λόγον ἐκπίπτειν. ὁ Περι-
D κλῆς, 'ὡς ἡμῖν ἀκούειν παραδέδοται', καλούμενος
ὑπὸ τοῦ δήμου πολλάκις οὐχ ὑπήκουσε, λέγων ἀσύν-
τακτος εἶναι. ὡσαύτως δὲ καὶ Δημοσθένης ζηλωτὴς
τῆς τούτου πολιτείας γενόμενος καλούντων αὐτὸν
τῶν Ἀθηναίων σύμβουλον ἀντέβαινεν 'οὐ συντέτα-
γμαι' λέγων. καὶ ταῦτα μὲν ἴσως ἀδέσποτός ἐστι καὶ
πεπλασμένη παράδοσις· ἐν δὲ τῷ κατὰ Μειδίου τὴν
τῆς σκέψεως ὠφέλειαν ἐναργῶς παρίστησι. φησὶ γοῦν
'ἐγὼ δ' ἐσκέφθαι μὲν ὦ ἄνδρες Ἀθηναῖοι φημὶ κοὐκ
ἂν ἀρνηθείην καὶ μεμελετηκέναι γε ὡς ἐνῆν μάλιστα
ἐμοί· καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ
E πάσχων ἠμέλουν ὧν περὶ τούτων ἐρεῖν ἔμελλον'. τὸ
δὲ δεῖν παντάπασιν ἀποδοκιμάζειν τῶν λόγων τὴν ἑτοι-
μότητα ἢ πάλιν αὖ ταύτην οὐκ ἐπ' ἀξίοις ἀσκεῖν οὐ
φαίην ἂν ἔγωγε, ἀλλ' ὡς ἐν φαρμάκου μοίρᾳ τοῦτο

1, 22—24 H. 1, 19—21 R.

15. ὡς — παραδέδοται] Demosth. p. 641, 34 21. κατὰ Μειδίου] p. 576, 17 23. ἄνδρες* καὶ μεμελετηκέναι Demosthenes: καταμεμελετηκέναι

Digitized by Google

ποιητέον ἐστί. μέχρι δὲ τῆς τῶν ἀνδρῶν ἡλικίας οὐδὲν ἐκ τοῦ παρατυχόντος ἀξιῶ λέγειν, ἀλλ' ὅταν τις ῥιζώσῃ τὴν δύναμιν, τότε τῶν καιρῶν καλούντων ἐλευθεριάζειν τοῖς λόγοις προσήκει. ὥσπερ γὰρ οἱ πολὺν χρόνον δεθέντες κἂν εἰ λυθεῖεν ὕστερον, ὑπὸ τῆς πολυχρονίου τῶν δεσμῶν συνηθείας οὐ δυνάμενοι βαδίζειν ὑποσκελίζονται, τὸν αὐτὸν τρόπον οἱ πολλῷ χρόνῳ τὸν λόγον σφίγξαντες, κἂν εἴ ποτε ἐκ τοῦ παραχρῆμα δεήσειεν εἰπεῖν, οὐδὲν ἧττον τὸν αὐτὸν τῆς ἑρμηνείας χαρακτῆρα φυλάττουσι. τὸ δὲ ἔτι παῖδας ὄντας ἐᾶν ἐπὶ καιροῦ λέγειν ματαιολογίας τῆς ἐσχάτης αἴτιον καθίσταται. ζωγράφος φασὶν ἄθλιος Ἀπελλῆ δείξας εἰκόνα 'ταύτην' ἔφη 'νῦν γέγραφα', ὃ δέ 'κἂν εἰ μὴ λέγοις' εἶπεν 'οἶδα ὅτι ταχὺ γέγραπται· θαυμάζω δὲ πῶς οὐχὶ τοιαύτας πλείους γέγραφας'. ὥσπερ τοίνυν (ἐπανάγω γὰρ πρὸς τὴν ἐξ ἀρχῆς τοῦ λόγου ὑπόθεσιν) τὴν θεατρικὴν καὶ παρατράγῳδον, οὕτως αὖ πάλιν καὶ τὴν σμικρολογίαν τῆς λέξεως καὶ ταπείνωσιν παραινῶ διευλαβεῖσθαι καὶ φεύγειν· ἡ μὲν γὰρ ὑπέρογκος ἀπολίτευτός ἐστιν, ἡ δὲ ἰσχνὴ λίαν ἀνέκπληκτος. καθάπερ δὲ τὸ σῶμα οὐ μόνον ὑγιεινὸν ἀλλὰ καὶ εὐεκτικὸν εἶναι χρή, καὶ τὸν λόγον ὡσαύτως οὐκ ἄνοσον μόνον ἀλλὰ καὶ εὔρωστον εἶναι δεῖ. τὸ μὲν γὰρ ἀσφαλὲς ἐπαινεῖται μόνον, τὸ δὲ ἐπικίνδυνον καὶ θαυμάζεται. τὴν αὐτὴν δὲ τυγχάνω γνώμην ἔχων καὶ περὶ τῆς ἐν τῇ ψυχῇ διαθέσεως. οὔτε γὰρ θρασὺν οὔτ' ἄτολμον καὶ καταπλῆγα προσῆκεν εἶναι· τὸ μὲν γὰρ εἰς ἀναισχυντίαν, τὸ δὲ εἰς ἀνδραποδωδίαν περίσταται· ἔντεχνον δὲ τὸ

1, 24—25 H. 1, 21—22 R.

5. εἰ 14. κἂν εἰ μὴ λέγοις*: καὶ ἢν μὴ λέγῃς. 25. αὐτὴν*

Digitized by Google

τὴν μέσην ἐν ἅπασι τέμνειν ἐμμελέστατα. βούλομαι δ', ἕως ἔτι μέμνημαι τῆς παιδείας, ὡς ἔχω δόξης περὶ αὐτῆς εἰπεῖν, ὅτι τὸν μονόκωλον λόγον πρῶτον μὲν ἀμουσίας οὐ μικρὸν ποιοῦμαι τεκμήριον· ἔπειτα δὲ καὶ πρὸς τὴν ἄσκησιν ἀψίκορον καὶ παντελῶς ἀνεπίμονον εἶναι νομίζω. μονῳδία γὰρ ἐν ἅπασίν ἐστι
C πλήσμιόν τε καὶ πρόσαντες, ἡ δὲ ποικιλία τερπνόν, καθάπερ κἀν τοῖς ἄλλοις ἅπασιν, οἷον ἀκούσμασιν ἢ θεάμασιν.

10. Δεῖ τοίνυν τὸν παῖδα τὸν ἐλεύθερον μηδενὸς μηδὲ τῶν ἄλλων τῶν καλουμένων ἐγκυκλίων παιδευμάτων μήτε ἀνήκοον μήτε ἀθέατον ἐᾶν εἶναι, ἀλλὰ ταῦτα μὲν ἐκ παραδρομῆς μαθεῖν ὥσπερεὶ γεύματος ἕνεκεν (ἐν ἅπασι γὰρ τὸ τέλειον ἀδύνατον), τὴν δὲ φιλοσοφίαν πρεσβεύειν. ἔχω δὲ δι' εἰκόνος παραστῆσαι τὴν ἐμαυτοῦ γνώμην, ὡς ἄρα περιπλεῦσαι μὲν
D πολλὰς πόλεις καλόν, ἐνοικῆσαι δὲ τῇ κρατίστῃ χρήσιμον. ἀστείως δὲ καὶ Βίων ἔλεγεν ὁ φιλόσοφος ὅτι ὥσπερ οἱ μνηστῆρες τῇ Πηνελόπῃ πλησιάζειν μὴ δυνάμενοι ταῖς ταύτης ἐμίγνυντο θεραπαίναις, οὕτω καὶ οἱ φιλοσοφίας μὴ δυνάμενοι κατατυχεῖν ἐν τοῖς ἄλλοις παιδεύμασι τοῖς οὐδενὸς ἀξίοις ἑαυτοὺς κατασκελετεύουσι. διὸ δεῖ τῆς ἄλλης παιδείας ὥσπερ κεφάλαιον ποιεῖν τὴν φιλοσοφίαν. περὶ μὲν γὰρ τὴν τοῦ σώματος ἐπιμέλειαν διττὰς εὗρον ἐπιστήμας οἱ ἄνθρωποι, τὴν ἰατρικὴν καὶ τὴν γυμναστικήν, ὧν ἡ μὲν τὴν ὑγίειαν ἡ δὲ τὴν εὐεξίαν ἐντίθησι. τῶν δὲ τῆς ψυχῆς ἀρρωστημάτων καὶ παθῶν ἡ φιλοσοφία μόνη φάρμακόν ἐστι. διὰ γὰρ ταύτην ἐστὶ καὶ μετὰ ταύτης γνῶ-

1, 25—27 H. 1, 23—24 R.

16. ὡς ἄρα*: ὥσπερ γὰρ 26. τὴν ante γυμναστικήν addidi

Digitized by Google

ναι τί τὸ καλὸν τί τὸ αἰσχρόν, τί τὸ δίκαιον τί τὸ ἄδικον, τί τὸ συλλήβδην αἱρετὸν τί τὸ φευκτόν· πῶς θεοῖς E πῶς γονεῦσι πῶς πρεσβυτέροις πῶς νόμοις πῶς ἄρχουσι πῶς φίλοις πῶς γυναιξὶ πῶς τέκνοις πῶς οἰκέταις χρηστέον ἐστί· ὅτι δεῖ θεοὺς μὲν σέβεσθαι, γονέας δὲ τιμᾶν, πρεσβυτέρους αἰδεῖσθαι, νόμοις πειθαρχεῖν, ἄρχουσιν ὑπείκειν, φίλους ἀγαπᾶν, πρὸς γυναῖκας σωφρονεῖν, τέκνων στερκτικοὺς εἶναι, δούλους μὴ περιυβρίζειν, τὸ δὲ μέγιστον, μήτε ἐν ταῖς εὐπραγίαις περιχαρεῖς μήτε ἐν ταῖς συμφοραῖς περιλύπους ὑπάρχειν, μήτε ἐν ταῖς ἡδοναῖς ἐκλύτους εἶναι μήτε ἐν ταῖς ὀργαῖς ἐκπαθεῖς καὶ θηριώδεις. ἅπερ ἐγὼ πάν- F των τῶν ἐκ φιλοσοφίας περιγινομένων ἀγαθῶν πρεσβύτατα κρίνω. τὸ μὲν γὰρ εὐγενῶς εὐτυχεῖν ἀνδρός, τὸ δ' ἀνεπιφθόνως εὐηνίου ἀνθρώπου, τὸ δὲ τοῖς λογισμοῖς περιεῖναι τῶν ἡδονῶν σοφοῦ, τὸ δὲ ὀργῆς κατακρατεῖν ἀνδρὸς οὐ τοῦ τυχόντος ἐστί. τελείους δὲ ἀνθρώπους ἡγοῦμαι τοὺς δυναμένους τὴν πολιτικὴν δύναμιν μῖξαι καὶ κεράσαι τῇ φιλοσοφίᾳ, καὶ δυοῖν 8 ὄντοιν μεγίστοιν ἀγαθοῖν ἐπηβόλους ὑπάρχειν ὑπολαμβάνω, τοῦ τε κοινωφελοῦς βίου πολιτευομένους, τοῦ τε ἀκύμονος καὶ γαληνοῦ, διατρίβοντας περὶ φιλοσοφίαν. τριῶν γὰρ ὄντων βίων ὧν ὁ μέν ἐστι πρακτικὸς ὁ δὲ θεωρητικὸς ὁ δὲ ἀπολαυστικός, ὁ μὲν ἔκλυτος καὶ δοῦλος τῶν ἡδονῶν ζωώδης καὶ μικροπρεπής ἐστιν, ὁ δὲ θεωρητικὸς τοῦ πρακτικοῦ διαμαρτάνων ἀνωφελής, ὁ δὲ πρακτικὸς ἀμοιρήσας φιλοσοφίας ἄμουσος καὶ πλημμελής. πειρατέον οὖν εἰς δύναμιν καὶ τὰ κοινὰ πράττειν καὶ τῆς φιλοσοφίας ἀν- B

1, 27—28 H. 6, 24—26 R.

2. τὸ φευκτόν*: φευκτόν 3. νόμοις*: νόμοις πῶς ἀλλοτρίοις 16. σοφοῦ*: σοφῶν

Digitized by Google

τιλαμβάνεσθαι κατὰ τὸ παρεῖκον τῶν καιρῶν. οὕτως ἐπολιτεύσατο Περικλῆς, οὕτως Ἀρχύτας ὁ Ταραντῖνος, οὕτω Δίων ὁ Συρακόσιος, οὕτως Ἐπαμεινώνδας ὁ Θηβαῖος, ὧν ἄτερος Πλάτωνος ἐγένετο συνουσιαστής. καὶ περὶ μὲν παιδείας οὐκ οἶδ' ὅτι δεῖ πλείονα λέγοντα διατρίβειν· πρὸς δὲ τοῖς εἰρημένοις χρήσιμον, μᾶλλον δὲ ἀναγκαῖόν ἐστι μηδὲ τῆς τῶν παλαιῶν συγγραμμάτων κτήσεως ὀλιγώρως ἔχειν, ἀλλὰ καὶ τούτων ποιεῖσθαι συλλογὴν κατὰ τὸ γεωργῶδες. τὸν γὰρ αὐτὸν τρόπον ὄργανον τῆς παιδείας ἡ χρῆσις τῶν βιβλίων ἐστί, καὶ ἀπὸ πηγῆς τὴν ἐπιστήμην τηρεῖν συμβέβηκεν.

C 11. Οὐ τοίνυν ἄξιον οὐδὲ τὴν τῶν σωμάτων ἀγωνίαν παροράν, ἀλλὰ πέμποντας ἐς παιδοτρίβου τοὺς παῖδας ἱκανῶς ταῦτα διαπονεῖν, ἅμα μὲν τῆς τῶν σωμάτων εὐρυθμίας ἕνεκεν, ἅμα δὲ καὶ πρὸς ῥώμην· καλοῦ γὰρ γήρως θεμέλιον ἡ ἐν παισὶν τῶν σωμάτων εὐεξία. καθάπερ οὖν ἐν εὐδίᾳ τὰ πρὸς τὸν χειμῶνα προσῆκε παρασκευάζειν, οὕτως ἐν νεότητι τὴν εὐταξίαν καὶ τὴν σωφροσύνην ἐφόδιον εἰς τὸ γῆρας ἀποτίθεσθαι. οὕτω δὲ δεῖ ταμιεύεσθαι τὸν τοῦ σώμα-
D τος πόνον, ὡς μὴ καταξήρους γινομένους πρὸς τὴν τῆς παιδείας ἐπιμέλειαν ἀπαγορεύειν· κατὰ γὰρ Πλάτωνα ὕπνοι καὶ κόποι μαθήμασι πολέμιοι. καὶ ταῦτα μὲν τοιαῦτα· ἀλλ' ὃ πάντων ἐστὶ κυριώτατον τῶν εἰρημένων σπεύδω λέγειν. πρὸς γὰρ τοὺς στρατιωτικοὺς ἀγῶνας τοὺς παῖδας ἀσκητέον ἐν ἀκοντισμοῖς αὐτοὺς καταθλοῦντας καὶ τοξείαις καὶ θήραις. 'τὰ'

1, 28—31 H. 6, 26—27 R.

4. ἄτερος W: ἑκάτερος 17. ἡ ἐν παισὶν*: ἐν παισὶν ἡ 25. μὲν τοιαῦτα Emperius: μέντοι ταῦτα 28. τὰ γὰρ] Xenoph. Cyr. II 3, 2

Digitized by Google

γὰρ 'τῶν ἡττωμένων' ἐν ταῖς μάχαις 'ἀγαθὰ τοῖς νικῶσιν ἄθλα πρόκειται'. πόλεμος δὲ ἐσκιατραφημένην σωμάτων ἕξιν οὐ δέχεται, ἰσχνὸς δὲ στρατιώτης πολεμικῶν ἀγώνων ἐθὰς καὶ ἀθλητὴς πολεμίων φάλαγγας διωθεῖ. τί οὖν ἄν τις εἴποι; σὺ δὲ δὴ περὶ E τῆς τῶν ἐλευθέρων παίδων ἀγωγῆς ὑποσχόμενος παραγγέλματα δώσειν ἔπειτα φαίνῃ τῆς μὲν τῶν πενήτων καὶ δημοτικῶν παραμελῶν ἀγωγῆς, μόνοις δὲ τοῖς πλουσίοις ὁμολογεῖς τὰς ὑποθήκας διδόναι. πρὸς οὓς οὐ χαλεπὸν ἁπαντῆσαι. ἐγὼ γὰρ μάλιστα ἂν βουλοίμην πᾶσι κοινῇ χρήσιμον εἶναι τὴν ἀγωγήν· εἰ δέ τινες ἐνδεῶς τοῖς ἰδίοις πράττοντες ἀδυνατήσουσι τοῖς ἐμοῖς χρῆσθαι παραγγέλμασι, τὴν τύχην αἰτιά- F σθωσαν, οὐ τὸν ταῦτα συμβουλεύοντα. πειρατέον μὲν οὖν εἰς δύναμιν τὴν κρατίστην ἀγωγὴν ποιεῖσθαι τῶν παίδων καὶ τοῖς πένησιν· εἰ δὲ μή, τῇ γε δυνατῇ χρηστέον. καὶ ταῦτα μὲν δὴ τῷ λόγῳ παρεφορτισάμην, ἵν' ἐφεξῆς καὶ τἄλλα τὰ φέροντα πρὸς τὴν ὀρθὴν τῶν νέων ἀγωγὴν συνάψω.

12. Κἀκεῖνό φημι, δεῖν τοὺς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων ἄγειν παραινέσει καὶ λόγοις, μὴ 9 μὰ Δία πληγαῖς μηδ' αἰκισμοῖς. δοκεῖ γάρ που τοῖς δούλοις ταῦτα μᾶλλον ἢ τοῖς ἐλευθέροις πρέπειν· ἀπονάρκωσι γὰρ καὶ φρίττουσι πρὸς τοὺς πόνους, τὰ μὲν διὰ τὰς ἀλγηδόνας τῶν πληγῶν, τὰ δὲ καὶ διὰ τὰς ὕβρεις. ἔπαινοι δὲ καὶ ψόγοι πάσης εἰσὶν αἰκίας ὠφελιμώτεροι τοῖς ἐλευθέροις, οἳ μὲν ἐπὶ τὰ καλὰ παρορμῶντες οἳ δὲ ἀπὸ τῶν αἰσχρῶν ἀνείργοντες. δεῖ δὲ ἐναλλὰξ καὶ ποικίλως χρῆσθαι ταῖς ἐπιπλήξεσι καὶ τοῖς ἐπαίνοις, κἀπειδάν ποτε θρασύνωνται, ταῖς ἐπι-

1, 31—34 H. 6, 27—29 R.

4. καὶ ἀθλητὴς*: ἀθλητῶν καὶ εὐφρανῶνται

30. θρασύνωνται*:

Digitized by Google

πλήξειν ἐν αἰσχύνῃ ποιεῖσθαι, καὶ πάλιν ἀνακαλεῖσθαι τοῖς ἐπαίνοις καὶ μιμεῖσθαι τὰς τιτθάς, αἵτινες ἐπειδὰν τὰ παιδία κλαυθμυρίσωσιν, εἰς παρηγορίαν τὸν μαστὸν ὑπέχουσι. δεῖ δὲ αὐτοὺς μηδὲ τοῖς ἐγκωμίοις ἐπαίρειν καὶ φυσᾶν· χαυνοῦνται γὰρ ταῖς ὑπερβολαῖς τῶν ἐπαίνων καὶ θρύπτονται.

B 13. Ἤδη δέ τινας ἐγὼ εἶδον πατέρας, οἷς τὸ λίαν φιλεῖν τοῦ μὴ φιλεῖν αἴτιον κατέστη. τί οὖν ἐστιν ὃ βούλομαι λέγειν; ἵνα τῷ παραδείγματι φωτεινότερον ποιήσω τὸν λόγον. σπεύδοντες γὰρ τοὺς παῖδας ἐν πᾶσι τάχιον πρωτεῦσαι πόνους αὐτοῖς ὑπερμέτρους ἐπιβάλλουσιν, οἷς ἀπαυδῶντες ἐκπίπτουσι, καὶ ἄλλως βαρυνόμενοι ταῖς κακοπαθείαις οὐ δέχονται τὴν μάθησιν εὐηνίως. ὥσπερ γὰρ τὰ φυτὰ τοῖς μὲν μετρίοις ὕδασι τρέφεται, τοῖς δὲ πολλοῖς πνίγεται, τὸν αὐτὸν τρόπον ψυχὴ τοῖς μὲν συμμέτροις αὔξεται πό-
C νοις, τοῖς δ' ὑπερβάλλουσι βαπτίζεται. δοτέον οὖν τοῖς παισὶν ἀναπνοὴν τῶν συνεχῶν πόνων, ἐνθυμουμένους ὅτι πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διῄρηται. καὶ διὰ τοῦτο οὐ μόνον ἐγρήγορσις ἀλλὰ καὶ ὕπνος εὑρέθη, οὐδὲ πόλεμος ἀλλὰ καὶ εἰρήνη, οὐδὲ χειμὼν ἀλλὰ καὶ εὐδία, οὐδὲ ἐνεργοὶ πράξεις ἀλλὰ καὶ ἑορταί. συνελόντι δὲ εἰπεῖν ἡ ἀνάπαυσις τῶν πόνων ἐστὶν ἄρτυμα. καὶ οὐκ ἐπὶ τῶν ζώων μόνων τοῦτ' ἂν ἴδοι τις γινόμενον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀψύχων· καὶ γὰρ τὰ τόξα καὶ τὰς λύρας ἀνίεμεν, ἵνα ἐπιτεῖναι δυνηθῶμεν. καθόλου δὲ σῴζεται σῶμα μὲν ἐνδείᾳ καὶ πληρώσει, ψυχὴ δὲ ἀνέσει καὶ πόνῳ. ἄξιον
D δ' ἐπιτιμᾶν τῶν πατέρων ἐνίοις, οἵτινες παιδαγωγοῖς καὶ διδασκάλοις ἐπιτρέψαντες τοὺς υἱεῖς αὐτοὶ τῆς

1, 34—35 H. 6, 29—31 R.

3. παρηγορίαν*: παρηγορίαν πάλιν

Digitized by Google

τούτων μαθήσεως οὔτε αὐτόπται γίνονται τὸ παράπαν οὔτε αὐτήκοοι, πλεῖστον τοῦ δέοντος ἁμαρτάνοντες. αὐτοὺς γὰρ παρ' ὀλίγας ἡμέρας δεῖ δοκιμασίαν λαμβάνειν τῶν παίδων, ἀλλὰ μὴ τὰς ἐλπίδας ἔχειν ἐν μισθωτοῦ διαθέσει· καὶ γὰρ ἐκεῖνοι πλείονα ποιήσονται τὴν ἐπιμέλειαν τῶν παίδων, μέλλοντες ἑκάστοτε διδόναι τὰς εὐθύνας. κάνταῦθα δὴ τὸ ῥηθὲν ὑπὸ τοῦ ἱπποκόμου χάριεν, ὡς οὐδὲν οὕτω πιαίνει τὸν ἵππον ὡς βασιλέως ὀφθαλμός. πάντων δὲ μάλιστα τὴν μνήμην τῶν παίδων ἀσκεῖν καὶ συνεθίζειν· αὕτη γὰρ E ὥσπερ τῆς παιδείας ἐστὶ ταμιεῖον, καὶ διὰ τοῦτο μητέρα τῶν Μουσῶν ἐμυθολόγησαν εἶναι τὴν Μνημοσύνην, αἰνιττόμενοι καὶ παραδηλοῦντες ὅτι οὕτως οὐδὲν τὴν παιδείαν γεννᾶν καὶ τρέφειν ὡς ἡ μνήμη πέφυκε. καὶ τοίνυν ταύτην κατ' ἀμφότερα ἀσκητέον, εἴτε ἐκ φύσεως μνήμονες εἶεν οἱ παῖδες, εἴτε καὶ τοὐναντίον ἐπιλήσμονες. τὴν γὰρ πλεονεξίαν τῆς φύσεως ἐπιρρώσομεν, τὴν δ' ἔλλειψιν ἀναπληρώσομεν· καὶ οἱ μὲν τῶν ἄλλων ἔσονται βελτίους, οἱ δ' ἑαυτῶν. τὸ γὰρ Ἡσιόδειον καλῶς εἴρηται

> 'εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο
> καὶ θαμὰ τοῦθ' ἔρδοις, τάχα κεν μέγα καὶ F
> τὸ γένοιτο.'

μὴ λανθανέτω τοίνυν μηδὲ τοῦτο τοὺς πατέρας, ὅτι τὸ μνημονικὸν τῆς μαθήσεως μέρος οὐ μόνον πρὸς τὴν παιδείαν ἀλλὰ καὶ πρὸς τὰς τοῦ βίου πράξεις οὐκ ἐλαχίστην συμβάλλεται μοῖραν. ἡ γὰρ τῶν γεγενημένων πράξεων μνήμη τῆς περὶ τῶν μελλόντων εὐβουλίας γίνεται παράδειγμα.

1, 35—36 H. 6, 31—32 R.

7. τὸ ῥηθὲν] Xenoph. Oecon. XII 20 adiecit W 14. τὴν παιδείαν 20. Ἡσιόδειον] O. et D. 361

Digitized by Google

14. Καὶ μέντοι καὶ τῆς αἰσχρολογίας ἀπακτέον τοὺς υἱεῖς· 'λόγος γὰρ ἔργου σκιὴ' κατὰ Δημόκριτον. ἔτι γε μὴν ἐντευκτικοὺς αὐτοὺς εἶναι παρασκευαστέον καὶ φιλοπροσηγόρους· οὐδὲν γὰρ ὡς τὰ ἀνέντευκτα τῶν ἠθῶν ἐστιν οὕτως ἀξιομίσητον. ἔτι τοίνυν οἱ παῖδες ἀμισεῖς γίγνοιντ' ἂν τοῖς συνοῦσι μὴ παντελῶς ἐν ταῖς ζητήσεσιν ἀπαραχώρητοι γιγνόμενοι· οὐ γὰρ τὸ νικᾶν μόνον ἀλλὰ καὶ τὸ ἡττᾶσθαι ἐπίστασθαι καλὸν ἐν οἷς τὸ νικᾶν βλαβερόν. ἔστι γὰρ ὡς ἀληθῶς καὶ νίκη Καδμεία. ἔχω δὲ μάρτυρα τούτων Εὐριπίδην τὸν σοφὸν ἐπαγαγέσθαι λέγοντα

B 'δυοῖν λεγόντοιν, θατέρου θυμουμένου,
ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.'

ἃ τοίνυν τῶν εἰρημένων οὐδὲν ἧττον ἀλλὰ καὶ μᾶλλον ἐπιτηδευτέα τοῖς νέοις καὶ δὴ λεκτέον. ταῦτα δέ ἐστι τὸ τὸν βίον ἀτύφωτον ἀσκεῖν, τὸ τὴν γλῶτταν κατέχειν, τὸ τῆς ὀργῆς ὑπεράνω γίγνεσθαι, τὸ τῶν χειρῶν κρατεῖν. τούτων ἕκαστον ἡλίκον ἐστὶ σκέπτεον· ἔσται δὲ ἐπὶ παραδειγμάτων γνωριμώτερα. οἷον ἵνα ἀπὸ τοῦ τελευταίου πρῶτον ἄρξωμαι, τὰς χεῖράς τινες ὑποσχόντες λήμμασιν ἀδίκοις τὴν δόξαν τῶν προβεβιωμένων ἐξέχεαν. ὡς Γύλιππος ὁ Λακε-
C δαιμόνιος τὰ κακκία τῶν χρημάτων παραλύσας φυγὰς ἀπηλάθη τῆς Σπάρτης. τό γε μὴν ἀόργητον ἀνδρός ἐστι σοφοῦ. Σωκράτης μὲν γάρ, λακτίσαντος αὐτὸν νεανίσκου θρασέος μάλα καὶ βδελυροῦ, τοὺς ἀμφ' αὐτὸν ὁρῶν ἀγανακτοῦντας καὶ σφαδάζοντας ὡς καὶ διώκειν αὐτὸν ἐθέλειν, 'ἆρα' ἔφησε 'καὶ εἴ με ὄνος ἐλάκτισεν, ἀντιλακτίσαι τοῦτον ἠξιώσατε ἄν'; οὐ μὴν

1, 36—39 H. 6, 32—34 E

5. ἔτι*: εἶτα 12. Nauck. p. 445 14. οὐδὲν ἧττον*: οὐδενὸς ἧττόν ἐστιν 16. τὸ τὸν Halmius: τὸν

Digitized by Google

ἐκεῖνός γε παντελῶς κατεπροίξατο, πάντων δὲ αὐτὸν ὀνειδιζόντων καὶ λακτιστὴν ἀποκαλούντων ἀπήγξατο. Ἀριστοφάνους δέ, ὅτε τὰς Νεφέλας ἐξέφερε, παντοίως πᾶσαν ὕβριν αὐτοῦ κατασκεδαννύντος, καί τινος τῶν παρόντων 'οὐκ ἀγανακτεῖς' εἰπόντος 'ὦ Σώκρατες τὰ τοιαῦτα ἀνακωμῳδοῦντος'; 'μὰ Δί' οὐκ D ἔγωγε' ἔφησεν· 'ὡς γὰρ ἐν συμποσίῳ μεγάλῳ τῷ θεάτρῳ σκώπτομαι.' ἀδελφὰ δὲ τούτοις καὶ σύζυγα φανήσονται πεποιηκότες Ἀρχύτας ὁ Ταραντῖνος καὶ Πλάτων. ὁ μὲν γὰρ ἐπανελθὼν ἀπὸ τοῦ πολέμου (στρατηγῶν δὲ ἐτύγχανε) γῆν καταλαβὼν κεχερσωμένην, τὸν ἐπίτροπον καλέσας αὐτῆς 'ᾤμωξας ἄν' ἔφησεν 'εἰ μὴ λίαν ὠργιζόμην'. Πλάτων δὲ δούλῳ λίχνῳ καὶ βδελυρῷ θυμωθείς, τὸν τῆς ἀδελφῆς υἱὸν Σπεύσιππον καλέσας 'τοῦτον' ἔφησεν ἀπελθών 'ῥάπισον· ἐγὼ γὰρ πάνυ θυμοῦμαι'. χαλεπὰ δὲ ταῦτα καὶ δυσμίμητα φαίη τις ἄν. οἶδα κἀγώ. πειρατέον οὖν εἰς ὅσον οἷόν τέ ἐστι τούτοις παραδείγμασι χρωμένους E τὸ πολὺ τῆς ἀκρατοῦς καὶ μαινομένης ὑφαιρεῖν ὀργῆς· οὐδὲ γὰρ ἐς τἄλλα ἐνάμιλλοι ταῖς ἐκείνων ἐσμὲν οὔτ' ἐμπειρίαις οὔτε καλοκαγαθίαις. ἀλλ' οὐδὲν ἧττον ἐκείνων, ὥσπερ θεῶν ἱεροφάνται καὶ δαδοῦχοι τῆς σοφίας ὄντες, ὅσαπέρ ἐστιν ἐν δυνατῷ, ταῦτα μιμεῖσθαι καὶ περικνίζειν ἐπιχειροῦμεν. τὸ τοίνυν τῆς γλώττης κρατεῖν (περὶ τούτου γάρ, ὥσπερ ὑπεθέμην, εἰπεῖν λοιπόν) εἴ τις μικρὸν καὶ φαῦλον ὑπείληφε, πλεῖστον διαμαρτάνει τῆς ἀληθείας. σοφὸν γὰρ εὔκαιρος σιγὴ καὶ παντὸς λόγου κρεῖττον. καὶ διὰ τοῦτό μοι δοκεῖ F

1, 39—40 H. 6, 34—35 R.

5. Post παρόντων erat τὰ τοιαῦτα ἀνακωμῳδοῦντος, quod transposui 8. δὲ* 15. ῥάπισον*: κρότησον 25. περὶ — λοιπόν] Aut librariorum aut ipsius scriptoris socordia excidit de βίῳ ἀτυφώτῳ disputatio supra significata p. 10 E

Digitized by Google

τὰς μυστηριώδεις τελετὰς οἱ παλαιοὶ κατέδειξαν, ἵνα ἐν ταύταις σιωπῶν ἐθισθέντες ἐπὶ τὴν τῶν ἀνθρωπίνων μυστηρίων πίστιν τὸν ἀπὸ τῶν θεῶν μεταφέρωμεν φόβον. καὶ γὰρ αὖ σιωπήσας μὲν οὐδεὶς μετενόησε, λαλήσαντες δὲ παμπληθεῖς. καὶ τὸ μὲν σιγηθὲν ἐξειπεῖν ῥᾴδιον, τὸ δὲ ῥηθὲν ἀναλαβεῖν ἀδύνατον. μυρίους δ' ἔγωγε οἶδα ἀκούσας ταῖς μεγίσταις συμφο-
11 ραῖς περιπεσόντας διὰ τὴν τῆς γλώττης ἀκρασίαν. ὧν τοὺς ἄλλους παραλιπὼν ἑνὸς ἢ δυοῖν τύπου ἕνεκεν ἐπιμνησθήσομαι. τοῦ γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην Σωτάδης εἰπών

'εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς'

ἐν δεσμωτηρίῳ πολὺν κατεσάπη χρόνον καὶ τῆς ἀκαίρου λαλιᾶς οὐ μεμπτὴν ἔδωκε δίκην, ἵνα δὲ γέλωτα παράσχῃ τοῖς ἄλλοις, αὐτὸς ἔκλαυσεν. ἐνάμιλλα δὲ τούτοις καὶ σύζυγα καὶ Θεόκριτος ὁ σοφιστὴς εἶπέ τε καὶ ἔπαθε, καὶ πολὺ δεινότερα. Ἀλεξάνδρου γὰρ πορφυρᾶς ἐσθῆτας κελεύσαντος κατασκευάζειν τοὺς
B Ἕλληνας, ἵνα ἐπανελθὼν τὰ ἐπινίκια τοῦ πολέμου τοῦ κατὰ τῶν βαρβάρων θύσειε, καὶ τῶν ἐθνῶν κατὰ κεφαλὴν εἰσφερόντων ἄργυρον 'πρότερον μέν' ἔφησεν 'ἠμφισβήτουν, νῦν δὲ ᾔσθημαι σαφῶς ὅτι ὁ 'πορφύρεος' Ὁμήρου 'θάνατος' οὗτός ἐστιν'. ἐξ ὧν ἐχθρὸν ἐκτήσατο τὸν Ἀλέξανδρον. Ἀντίγονον δὲ τὸν βασιλέα τῶν Μακεδόνων ἑτερόφθαλμον ὄντα τὴν πήρωσιν προφέρων εἰς οὐ μετρίαν ὀργὴν κατέστησε. τὸν γὰρ ἀρχιμάγειρον Εὐτροπίωνα γεγενημένον ἐν τάξει ἐκπέμψας παραγενέσθαι πρὸς αὐτὸν ἠξίου καὶ
C λόγον δοῦναι καὶ λαβεῖν. ταῦτα δὲ ἀπαγγέλλοντος

1, 40—42 H. 6, 35—37 B.

13. πολὺν — χρόνον*: πολλοὺς χρόνους 15. αὐτὸς*: αὐτὸς πολὺν χρόνον

Digitized by Google

ἐκείνου πρὸς αὐτὸν καὶ πολλάκις προσιόντος 'εὖ οἶδα' ἔφησεν 'ὅτι ὠμόν με θέλεις τῷ Κύκλωπι παραθεῖναι', ὀνειδίζων τῷ μὲν ὅτι πηρός, τῷ δὲ ὅτι μάγειρος ἦν. κἀκεῖνος 'τοιγαροῦν' εἰπών 'τὴν κεφαλὴν οὐχ ἕξεις ἀλλὰ τῆς ἀθυροστομίας ταύτης καὶ μανίας δώσεις δίκην' ἀπήγγειλε τὰ εἰρημένα τῷ βασιλεῖ, ὃ δὲ πέμψας ἀνεῖλε τὸν Θεόκριτον. παρὰ πάντα δὲ ταῦτα, ὅπερ ἐστὶν ἱεροπρεπέστατον, τοὺς παῖδας ἐθίζειν τἀληθῆ λέγειν· τὸ γὰρ ψεύδεσθαι δουλοπρεπὲς καὶ πᾶσιν ἀνθρώποις ἄξιον μισεῖσθαι καὶ οὐδὲ μετρίοις δούλοις συγγνωστόν.

15. Ταῦτα μὲν οὖν οὐκ ἐνδοιάσας οὐδὲ μελλήσας D περὶ τῆς τῶν παίδων εὐκοσμίας καὶ σωφροσύνης διείλεγμαι· περὶ δὲ τοῦ ῥηθήσεσθαι μέλλοντος ἀμφίδοξός εἰμι καὶ διχογνώμων, καὶ τῇδε κἀκεῖσε μετακλίνων ὡς ἐπὶ πλάστιγγος πρὸς οὐδ' ἕτερον ῥέψαι δύναμαι, πολὺς δ' ὄκνος ἔχει με καὶ τῆς εἰσηγήσεως καὶ τῆς ἀποτροπῆς τοῦ πράγματος. ἀποτολμητέον δ' οὖν ὅμως εἰπεῖν αὐτό. τί οὖν τοῦτό ἐστι; πότερα δεῖ τοὺς ἐρῶντας τῶν παίδων ἐᾶν τούτοις συνεῖναι καὶ συνδιατρίβειν, ἢ τοὐναντίον εἴργειν αὐτοὺς καὶ ἀποσοβεῖν E τῆς πρὸς τούτους ὁμιλίας προσῆκεν. ὅταν μὲν γὰρ ἀποβλέψω πρὸς τοὺς πατέρας τοὺς αὐθεκάστους καὶ τὸν τρόπον ὀμφακίας καὶ στρυφνούς, οἳ διὰ τὴν τῶν τέκνων ὕβριν οὐκ ἀνεκτὴν τὴν τῶν ἐρώντων ὁμιλίαν ἡγοῦνται, εὐλαβοῦμαι ταύτης εἰσηγητὴς γενέσθαι καὶ σύμβουλος. ὅταν δ' αὖ πάλιν ἐνθυμηθῶ τὸν Σωκράτη τὸν Πλάτωνα τὸν Ξενοφῶντα τὸν Αἰσχίνην τὸν Κέβητα, τὸν πάντα χορὸν ἐκείνων τῶν ἀνδρῶν οἳ τοὺς ἄρρενας ἐδοκίμασαν ἔρωτας καὶ τὰ μειράκια προήγαγον ἐπί τε παιδείαν καὶ δημαγωγίαν καὶ τὴν ἀρετὴν τῶν τρόπων, πάλιν ἕτερος γίνομαι καὶ κάμπτομαι πρὸς

1, 42—44 H. 6, 37—39 R

Digitized by Google

F τὸν ἐκείνων τῶν ἀνδρῶν ζῆλον. μαρτυρεῖ δὲ τούτοις Εὐριπίδης οὕτω λέγων

'ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως
ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς'.

τὸ δὲ τοῦ Πλάτωνος σπουδῇ καὶ χαριεντισμῷ μεμιγμένον οὐ παραλειπτέον. ἐξεῖναι γάρ φησι δεῖν τοῖς ἀριστεύσασιν ὃν ἂν βούλωνται τῶν καλῶν φιλῆσαι. τοὺς μὲν οὖν τῆς ὥρας ἐπιθυμοῦντας ἀπελαύνειν προσῆκε, τοὺς δὲ τῆς ψυχῆς ἐραστὰς ἐγκρίνειν κατὰ τὸ σύνολον. καὶ τοὺς μὲν Θήβησι καὶ τοὺς ἐν Ἤλιδι φευκτέον ἔρωτας καὶ τὸν ἐν Κρήτῃ καλούμενον ἁρ-
12 παγμόν, τοὺς δὲ Ἀθήνησι καὶ τοὺς ἐν Λακεδαίμονι ζηλωτέον.

16. Περὶ μὲν οὖν τούτων, ὅπως ἕκαστος αὐτὸς ἑαυτὸν πέπεικεν, οὕτως ὑπολαμβανέτω· ἐγὼ δ' ἐπειδὴ περὶ τῆς τῶν παίδων εὐταξίας εἴρηκα καὶ κοσμιότητος, καὶ ἐπὶ τὴν τῶν μειρακίων ἡλικίαν ἤδη μεταβήσομαι καὶ μικρὰ παντάπασιν λέξω. πολλάκις γὰρ κατεμεμψάμην τοὺς μοχθηρῶν ἐθῶν γεγονότας εἰσηγητάς, οἵτινες τοῖς μὲν παισὶ παιδαγωγοὺς καὶ διδασκάλους ἐπέστησαν, τὴν δὲ τῶν μειρακίων ὁρμὴν ἄφετον εἶα-
B σαν νέμεσθαι, δέον αὖ τοὐναντίον πλείω τῶν μειρακίων ποιεῖσθαι τὴν εὐλάβειαν καὶ φυλακὴν ἢ τῶν παίδων. τίς γὰρ οὐκ οἶδεν ὅτι τὰ μὲν τῶν παίδων πλημμελήματα μικρὰ καὶ παντελῶς ἐστιν ἰάσιμα, παιδαγωγῶν ὀλιγωρία καὶ διδασκάλων παραγωγὴ καὶ ἀνηκουστία· τὰ δὲ τῶν ἤδη νεανισκευομένων ἀδικήματα πολλάκις ὑπερφυᾶ γίνεται καὶ σχέτλια, ἀμετρία γαστρὸς καὶ κλοπαὶ πατρῴων χρημάτων καὶ κύβοι καὶ κῶμοι καὶ

1, 44—46 H. 6, 39—41 B.

3. Nauck. p. 367 5. Πλάτωνος] Rep. V. p. 468 B
10. ἐν* 25. παιδαγωγῶν*: παιδαγωγῶν ἴσως

Digitized by Google

πότοι καὶ παρθένων ἔρωτες καὶ γυναικῶν οἰκοφθορίαι γαμετῶν. οὐκοῦν τὰς τούτων ὁρμὰς ταῖς ἐπιμελείαις δεσμεύειν καὶ κατέχειν προσῆκεν. ἀταμίευτον γὰρ τῶν C ἡδονῶν ἡ ἀκμὴ καὶ σκιρτητικὸν καὶ χαλινοῦ δεόμενον, ὥσθ' οἱ μὴ τῆς ἡλικίας ταύτης ἐρρωμένως ἀντιλαμβανόμενοι τῇ ἀνοίᾳ διδόασιν ἐξουσίαν ἐπὶ τὰ ἀδικήματα. δεῖ τοίνυν τοὺς ἔμφρονας πατέρας παρὰ τοῦτον μάλιστα τὸν καιρὸν φυλάττειν ἐγρηγορέναι σωφρονίζειν τοὺς μειρακίσκους διδάσκοντας ἀπειλοῦντας δεομένους, παραδείγματα δεικνύντας τῶν διὰ φιληδονίαν μὲν συμφοραῖς περιπεσόντων διὰ δὲ καρτερίαν ἔπαινον καὶ δόξαν ἀγαθὴν περιποιησαμένων. δύο γὰρ ταῦτα ὥσπερεὶ στοιχεῖα τῆς ἀρετῆς ἐστιν, ἐλπίς τε τιμῆς καὶ φόβος τιμωρίας· ἡ μὲν γὰρ ὁρμητικωτέρους πρὸς τὰ D κάλλιστα τῶν ἐπιτηδευμάτων ὁ δὲ ὀκνηροὺς πρὸς τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται.

17. Καθόλου δὲ ἀπείργειν προσήκει τοὺς παῖδας τῆς πρὸς τοὺς πονηροὺς ἀνθρώπους συνουσίας· ἀποφέρονται γάρ τι τῆς τούτων κακίας. τοῦτο δὲ παρήγγειλε καὶ Πυθαγόρας αἰνίγμασιν ἅπερ ἐγὼ παραθεὶς ἐξηγήσομαι· καὶ γὰρ ταῦτα πρὸς ἀρετῆς κτῆσιν συμβάλλεται ῥοπὴν οὐκ ἐλαχίστην. οἷον 'μὴ γεύεσθαι μελανούρων', τοῦτ' ἔστι μὴ συνδιατρίβειν μέλαισιν ἀνθρώποις διὰ κακοήθειαν. 'μὴ ζυγὸν ὑπερβαίνειν,' ὅτι δεῖ τῆς δικαιοσύνης πλεῖστον ποεῖσθαι λόγον καὶ E μὴ ταύτην ὑπερβαίνειν. 'μὴ ἐπὶ χοίνικος καθίσαι,' ἤτοι φεύγειν ἀργίαν καὶ προνοεῖν ὅπως τὴν ἀναγκαίαν παρασκευάσομεν τροφήν. 'μὴ παντὶ ἐμβάλλειν δεξιάν,' ἀντὶ τοῦ προχείρως οὐ δεῖ συναλλάσσειν. 'μὴ

1, 46—47 H. 6, 41—42 R

13. ἐστιν*: εἰσιν 15. ὁ Huttenus: ἡ 28. παρασκευάσομεν*: παρασκευάσωμεν

Digitized by Google

φορεῖν στενὸν δακτύλιον,' ὅτι δεῖ τὸν βίον ἐπιλύειν καὶ μὴ δεσμῷ προσάπτειν αὐτόν. 'πῦρ σιδήρῳ μὴ σκαλεύειν,' ἀντὶ τοῦ μὴ ἐρεθίζειν τὸν θυμούμενον. 'μὴ ἐσθίειν καρδίαν,' ἤτοι μὴ βλάπτειν τὴν ψυχὴν ταῖς φροντίσιν αὐτὴν κατατρύχοντα. 'κυάμων ἀπέχεσθαι,' ὅτι οὐ δεῖ πολιτεύεσθαι· κυαμευταὶ γὰρ ἦσαν ἔμπροσθεν αἱ ψηφοφορίαι δι' ὧνπερ ἐπετίθεσαν τὰς ἀρχάς. 'σιτίον εἰς ἀμίδα μὴ ἐμβάλλειν·' ἐπισημαίνει γὰρ ὅτι εἰς πονηρὰν ψυχὴν ἀστεῖον λόγον ἐμβάλλειν οὐ προσῆκεν. ὁ μὲν γὰρ λόγος τροφὴ διανοίας ἐστί· τοῦτον δὲ ἀκάθαρτον ἡ πονηρία ποιεῖ τῶν ἀνθρώπων. 'μὴ ἐπιστρέφεσθαι ἐπὶ τοὺς ὅρους ἐλθόντας,' τοῦτ' ἔστι μέλλοντας ἀποθνήσκειν καὶ τὸν ὅρον τοῦ βίου πλησίον ὄντα ὁρῶντας φέρειν εὐκόλως καὶ μὴ ἀθυμεῖν. ἀνακάμψω δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς τοῦ λόγου ὑπόθεσιν· ἁπάντων γὰρ ὅπερ ἔφην τῶν πονηρῶν ἀνθρώπων ἀπάγειν δεῖ τοὺς παῖδας, μάλιστα δὲ
18 τῶν κολάκων. ὅπερ γὰρ πολλάκις καὶ πρὸς πολλοὺς τῶν πατέρων διατελῶ λέγων, καὶ νῦν ἂν εἴποιμι. γένος οὐδέν ἐστιν ἐξωλέστερον οὐδὲ μᾶλλον καὶ θᾶττον ἐκτραχηλίζον νεότητα τῶν κολάκων, οἳ καὶ τοὺς πατέρας καὶ τοὺς παῖδας προρρίζους ἐκτρίβουσι, τῶν μὲν τὸ γῆρας ἐπίλυπον, τῶν δὲ τὴν νεότητα ** ποιοῦντες, τῶν δὲ συμβουλευμάτων δέλεαρ ἀφύλακτον προτείνοντες τὴν ἡδονήν. τοῖς παισὶ τῶν πλουσίων οἱ πατέρες νήφειν παραινοῦσιν οἳ δὲ μεθύειν, σωφρονεῖν οἳ δὲ ἀσελγαίνειν, φυλάττειν οἳ δὲ δαπανᾶν, φι-

F

1, 47—49 H. 6, 42—44 R

1. ἐπιλύειν*: ἐπιτηδεύειν 2. καὶ μὴ*: καὶ μὴ δεῖν 3. τὸν θυμούμενον*: οὐ γὰρ προσῆκεν ἀλλ' ὑπείκειν τοῖς ὀργιζομένοις 4. ἤτοι accessit ex Mantissa Prov. apud Leutschium vol. 2. p. 760 7. ὧνπερ ἐπετίθεσαν τὰς ἀρχάς*: ὧν πέρας ἐπετίθεσαν ταῖς ἀρχαῖς 23. **] ἐπονείδιστον supplet Schneiderus

Digitized by Google

λεγεῖν οἳ δὲ ῥᾳθυμεῖν, 'στιγμὴ χρόνου πᾶς ἐστιν ὁ B
βίος' λέγοντες. 'ζῆν οὐ παραζῆν προσήκει. τί δὲ
φροντιστέον ἡμῖν τῶν τοῦ πατρὸς ἀπειλῶν; κρονό-
ληρος καὶ κορυβαίμων ἐστί, καὶ μετέωρον αὐτὸν ἀρά-
μενοι τὴν ταχίστην ἐξοίσομεν.' καθῆκε δέ τις καὶ
χαμαιτύπην καὶ προηγώγευσε γαμετήν, καὶ τὰ τῶν
πατέρων ἐφόδια τοῦ γήρως ἐσύλησε καὶ περιέκοψε.
μιαρὸν τὸ φῦλον, ὑποκριταὶ φιλίας, ἄγευστοι παρρη-
σίας, πλουσίων μὲν κόλακες πενήτων δὲ ὑπερόπται,
ὡς ἐκ λυρικῆς τέχνης ἐπὶ τοὺς νέους ἀγόμενοι, ce-
cnpótec ὅθ' οἱ τρέφοντες γελῶσι, καὶ ψυχῆς ὑποβο-
λιμαῖα καὶ νόθα μέρη βίου, πρὸς δὲ τὸ τῶν πλου- C
σίων νεῦμα ζῶντες, τῇ τύχῃ μὲν ἐλεύθεροι, τῇ προ-
αιρέσει δὲ δοῦλοι· ὅταν δὲ μὴ ὑβρίζωνται, τότε ὑβρί-
ζεσθαι δοκοῦντες, ὅτι μάτην παρατρέφονται. ὥστε εἴ
τῳ μέλει τῶν πατέρων τῆς τῶν τέκνων εὐαγωγίας,
ἐκδιωκτέον τὰ μυσαρὰ ταῦτα θρέμματα, ἐκδιωκτέον δ'
οὐχ ἥκιστα καὶ τὰς τῶν συμφοιτητῶν μοχθηρίας· καὶ
γὰρ οὗτοι τὰς ἐπιεικεστάτας φύσεις ἱκανοὶ διαφθείρειν
εἰσί.

18. Ταῦτα μὲν οὖν καλὰ καὶ συμφέροντα· ἃ δὲ
μέλλω λέγειν, ἀνθρώπινα. οὐδὲ γὰρ αὖ πάλιν τοὺς
πατέρας ἔγωγε ἀξιῶ τελέως τραχεῖς καὶ σκληροὺς εἶναι D
τὴν φύσιν, ἀλλὰ πολλαχοῦ καὶ συγχωρῆσαί τινα τῷ
νεωτέρῳ τῶν ἁμαρτημάτων, καὶ ἑαυτοὺς ἀναμιμνή-
σκειν ὅτι ἐγένοντο νέοι. καὶ καθάπερ ἰατροὶ τὰ πι-
κρὰ τῶν φαρμάκων τοῖς γλυκέσι χυμοῖς καταμιγνύν-
τες τὴν τέρψιν ἐπὶ τὸ συμφέρον πάροδον εὗρον,
οὕτω δεῖ τοὺς πατέρας τὴν τῶν ἐπιτιμημάτων ἀποτο-
μίαν τῇ πραότητι μιγνύναι, καὶ τοτὲ μὲν ταῖς ἐπι-
θυμίαις τῶν παίδων ἐφεῖναι καὶ χαλάσαι τὰς ἡνίας,

1, 49—51 H. 6, 44—45 R.

Digitized by Google

τοτὲ δ' αὖ πάλιν ἀντιτεῖναι, καὶ μάλιστα μὲν εὐκό-
E λως φέρειν τὰς ἁμαρτίας, εἰ δὲ μή γε, πρὸς καιρὸν
ὀργισθέντας ταχέως ἀποφλεγμῆναι. μᾶλλον γὰρ ὀξύ-
θυμον εἶναι δεῖ τὸν πατέρα ἢ βαρύθυμον, ὡς τό γε
δυσμενὲς καὶ δυσκατάλλακτον μισοτεκνίας οὐ μικρὸν 5
τεκμήριόν ἐστι. καλὸν δὲ καὶ ἔνια τῶν ἁμαρτημάτων
μηδὲ εἰδέναι δοκεῖν, ἀλλὰ τὸ τοῦ γήρως ἀμβλυῶττον
καὶ δύσκωφον ἐπὶ τὰ γιγνόμενα μεταφέρειν, ὡς ἔνια
τῶν πραττομένων ὁρῶντας μὴ ὁρᾶν καὶ ἀκούοντας μὴ
ἀκούειν. φίλων ἁμαρτήματα φέρομεν· τί θαυμαστὸν 10
εἰ τέκνων; δούλων πολλάκις κραιπαλώντων μέθην
οὐκ ἐξηλέγξαμεν **. ἐφείσω ποτέ, ἀλλὰ καὶ χορή-
γησον· ἠγανάκτησάς ποτε, ἀλλὰ καὶ σύγγνωθι. ἐβου-
F κόλησέ ποτε δι' οἰκέτου· τὴν ὀργὴν κατάσχες. ἐξ
ἀγροῦ ποτὲ ζεῦγος ἀφείλετο, ἦλθέ ποτε χθιζῆς μέθης 15
ἀποπνέων, ἀγνόησον· μύρων ὄζων, σίγησον. οὕτω
σκιρτῶσα νεότης πωλοδαμνεῖται.

19. Πειρατέον δὲ τοὺς τῶν ἡδονῶν ἥττους καὶ
πρὸς τὰς ἐπιτιμήσεις δυσηκόους γάμῳ καταζεῦξαι, δε-
σμὸς γὰρ οὗτος τῆς νεότητος ἀσφαλέστατος. ἐγγυᾶ- 20
σθαι δὲ δεῖ τοῖς υἱέσι γυναῖκας μήτε εὐγενεστέρας
πολλῷ μήτε πλουσιωτέρας· τὸ γὰρ 'τὴν κατὰ σαυτὸν
ἔλα' σοφόν. ὡς οἵ γε μακρῷ κρείττους ἑαυτῶν λαμ-
βάνοντες οὐ τῶν γυναικῶν ἄνδρες, τῶν δὲ προικῶν
14 δοῦλοι λανθάνουσι γιγνόμενοι. 25

20. Βραχέα δὲ προσθεὶς ἔτι περιγράψω τὰς ὑπο-
θήκας. πρὸ πάντων γὰρ δεῖ τοὺς πατέρας τῷ μηδὲν
ἁμαρτάνειν ἀλλὰ πάντα ἃ δεῖ πράττειν ἐναργὲς ἑαυ-
τοὺς παράδειγμα τοῖς τέκνοις παρέχειν, ἵνα πρὸς τὸν
τούτων βίον ὥσπερ κάτοπτρον ἀποβλέποντες ἀποτρέ- 30

1, 51—53 H. 6, 45—47 R.

12. Hiatum significavi 14. κατάσχες Emperius: κατάσχε

Digitized by Google

πωνται τῶν αἰσχρῶν ἔργων καὶ λόγων. ὡς οἵτινες τοῖς ἁμαρτάνουσιν υἱοῖς ἐπιτιμῶντες τοῖς αὐτοῖς ἁμαρτήμασι περιπίπτουσιν, ἐπὶ τῷ ἐκείνων ὀνόματι λανθάνουσιν ἑαυτῶν κατήγοροι γιγνόμενοι, τὸ δ' ὅλον φαύλως ζῶντες οὐδὲ τοῖς δούλοις παρρησίαν ἄγουσιν ἐπιτιμᾶν, μή τι γε τοῖς υἱοῖς. χωρὶς δὲ τούτων γέ- B νοιντο ἂν αὐτοῖς τῶν ἀδικημάτων σύμβουλοι καὶ διδάσκαλοι. ὅπου γὰρ γέροντές εἰσιν ἀναίσχυντοι, ἐνταῦθ' ἀνάγκη καὶ νέους ἀναιδεστάτους εἶναι. πειρατέον οὖν εἰς τὸν τῶν τέκνων σωφρονισμὸν πάνθ' ὅσα προσῆκεν ἐπιτηδεύειν, ζηλώσαντας Εὐρυδίκην, ἥτις Ἰλλυρὶς οὖσα καὶ τριβάρβαρος, ὅμως ἐπὶ τῇ μαθήσε. τῶν τέκνων ὀψὲ τῆς ἡλικίας ἥψατο παιδείας. ἱκανῶς δὲ αὐτῆς τὴν φιλοτεκνίαν σημαίνει τοὐπίγραμμα, ὅπερ ἀνέθηκε Μούσαις

Εὐρυδίκη Ἱεραπολιῆτις τόνδ' ἀνέθηκε
Μούσαις εὔιστον ψυχῇ ἑλοῦσα πόθον. C
γράμματα γὰρ μνημεῖα λόγων μήτηρ γεγαυῖα
παίδων ἡβώντων ἐξεπόνησε μαθεῖν.

τὸ μὲν οὖν πάσας τὰς προειρημένας συμπεριλαβεῖν παραινέσεις τύχης ἴσως ἔργον ἐστί· τὸ δὲ τὰς πλείους ζηλῶσαι καὶ αὐτὸ μὲν εὐμοιρίας δεόμενόν ἐστι καὶ πολλῆς ἐπιμελείας, ἀνυστὸν δ' οὖν ἀνθρωπίνῃ φύσει καθέστηκεν.

1, 53—54 H. 6, 47—48 R.

8. ὅπου] Plat. Legg. p. 729 C 21. τύχης*: εὐχῆς

D

ΠΩΣ ΔΕΙ

ΤΟΝ ΝΕΟΝ ΠΟΙΗΜΑΤΩΝ

ΑΚΟΥΕΙΝ.

1. Εἰ μέν, ὡς Φιλόξενος ὁ ποιητὴς ἔλεγεν, ὦ Μάρκε Σήδατε, τῶν κρεῶν τὰ μὴ κρέα ἥδιστά ἐστι καὶ τῶν ἰχθύων οἱ μὴ ἰχθύες, ἐκείνοις ἀποφαίνεσθαι παρῶμεν οἷς ὁ Κάτων ἔφη τῆς καρδίας τὴν ὑπερῴαν εὐαισθητοτέραν ὑπάρχειν. ὅτι δὲ τῶν ἐν φιλοσοφίᾳ λεγομένων οἱ σφόδρα νέοι τοῖς μὴ δοκοῦσι φιλοσόφως μηδ' ἀπὸ σπουδῆς λέγεσθαι χαίρουσι μᾶλλον καὶ παρέχουσιν ὑπηκόους ἑαυτοὺς καὶ χειροήθεις, δῆλόν ἐστιν ἡμῖν. οὐ γὰρ μόνον τὰ Αἰσώπεια μυθάρια καὶ τὰς ποιητικὰς ὑποθέσεις ἀλλὰ καὶ τὸν Ἄβαριν τὸν Ἡρακλείδου καὶ τὸν Λύκωνα τὸν Ἀρίστωνος διερχόμενοι καὶ τὰ περὶ τῶν ψυχῶν δόγματα μεμιγμένα μυθολογίᾳ μεθ' ἡδονῆς ἐνθουσιῶσι. διὸ δεῖ μὴ μόνον ἐν ταῖς περὶ ἐδωδὴν καὶ πόσιν ἡδοναῖς διαφυλάττειν εὐσχήμονας αὐτούς, ἔτι δὲ μᾶλλον ἐν ταῖς ἀκροάσεσιν καὶ ἀναγνώσεσιν ἐθίζειν, ὥσπερ ὄψῳ χρωμένους μετρίως τῷ τέρποντι, τὸ χρήσιμον ἀπ' αὐτοῦ καὶ τὸ σωτήριον

1, 55—56 H. 6, 49—50 R.

2. Σήδατε Basileensis: σήδαπε 11. καὶ ante τὰ adiecit W.

Digitized by Google

διώκειν. οὔτε γὰρ πόλιν αἱ κεκλειμέναι πύλαι τηροῦσιν ἀνάλωτον, ἂν διὰ μιᾶς παραδέξηται τοὺς πολεμίους, οὔτε νέον αἱ περὶ τὰς ἄλλας ἡδονὰς ἐγκράτειαι σῴζουσιν, ἄν γε δι' ἀκοῆς λάθῃ προέμενος αὑτόν, 15
ἀλλ' ὅσον μᾶλλον αὕτη τοῦ φρονεῖν καὶ λογίζεσθαι πεφυκότος ἅπτεται, τοσοῦτο μᾶλλον ἀμεληθεῖσα φθείρει καὶ βλάπτει τὸν παραδεξάμενον. ἐπεὶ τοίνυν οὔτ' ἴσως δυνατόν ἐστιν οὔτ' ὠφέλιμον ποιημάτων ἀπείργειν τὸν τηλικοῦτον ἡλίκος οὑμός τε τὸ νῦν Σώκλαρός ἐστι καὶ ὁ σὸς Κλέανδρος, εὖ μάλα παραφυλάττωμεν αὐτούς, ὡς ἐν ταῖς ἀναγνώσεσι μᾶλλον ἢ ταῖς ὁδοῖς παιδαγωγίας δεομένους. ἅπερ οὖν ἐμοὶ περὶ ποιημάτων εἰπεῖν πρῴην ἐπῆλθε, νῦν πρός σε γεγραμμένα πέμψαι διενοήθην. καὶ λαβὼν ταῦτα δίελθε, κἂν B
δοκῇ σοι μηδὲν εἶναι φαυλότερα τῶν ἀμεθύστων καλουμένων, ἃ τινες ἐν τοῖς πότοις περιάπτονται καὶ προσλαμβάνουσι, μεταδίδου τῷ Κλεάνδρῳ καὶ προκαταλάμβανε τὴν φύσιν αὐτοῦ διὰ τὸ μηδαμοῦ νωθρὸν ἀλλὰ πανταχοῦ σφοδρὸν καὶ δεδορκὸς εὐαγωγοτέραν ὑπὸ τῶν τοιούτων οὖσαν.

'πουλύποδος κεφαλῇ ἔνι μὲν κακὸν ἐν δὲ καὶ ἐσθλόν,'

ὅτι βρωθῆναι μέν ἐστιν ἥδιστος, δυσόνειρον δ' ὕπνον ἐμποιεῖ, φαντασίας ταραχώδεις καὶ ἀλλοκότους δεχόμενον, ὡς λέγουσιν. οὕτω δὴ καὶ ποιητικῇ πολὺ μὲν C
τὸ ἡδὺ καὶ τρόφιμον νέου ψυχῆς ἔνεστιν, οὐκ ἔλαττον δὲ τὸ παράφορον καὶ ταρακτικόν, ἂν μὴ τυγχάνῃ παιδαγωγίας ὀρθῆς ἡ ἀκρόασις. οὐ γὰρ μόνον ὡς ἔοικε περὶ τῆς Αἰγυπτίων χώρας ἀλλὰ καὶ περὶ τῆς ποιητικῆς ἔστιν εἰπεῖν ὅτι

1, 56—58 H. 6, 50—52 B.

17. προσλαμβάνουσι Stephanus: προλαμβάνουσι

Digitized by Google

φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα πολλὰ δὲ λυγρά'
τοῖς χρωμένοις ἀναδίδωσιν.
'ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς
πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονέοντων.'
οὐ γὰρ ἅπτεται τὸ ἀπατηλὸν αὐτῆς ἀβελτέρων κο-
D μιδῆ καὶ ἀνοήτων. διὸ καὶ Σιμωνίδης μὲν ἀπεκρίνατο
πρὸς τὸν εἰπόντα 'τί δὴ μόνους οὐκ ἐξαπατᾷς Θετ-
ταλούς'; 'ἀμαθέστεροι γάρ εἰσιν ἢ ὡς ὑπ' ἐμοῦ ἐξα-
πατᾶσθαι'. Γοργίας δὲ τὴν τραγῳδίαν εἶπεν ἀπάτην,
ἣν ὅ τ' ἀπατήσας δικαιότερος τοῦ μὴ ἀπατήσαντος
καὶ ὁ ἀπατηθεὶς σοφώτερος τοῦ μὴ ἀπατηθέντος.
πότερον οὖν τῶν νέων ὥσπερ τῶν Ἰθακησίων σκληρῷ
τινι τὰ ὦτα καὶ ἀτέγκτῳ κηρῷ καταπλάττοντες ἀναγ-
κάζωμεν αὐτοὺς τὸ Ἐπικούρειον ἀκάτιον ἀραμένους
ποιητικὴν φεύγειν καὶ παρεξελαύνειν, ἢ μᾶλλον ὀρθῷ
τινι λογισμῷ περιστέλλοντες καὶ καταδοῦντες τὴν κρί-
σιν, ὅπως μὴ παραφέρηται τῷ τέρποντι πρὸς τὸ βλά-
πτον, ἀπευθύνωμεν καὶ παραφυλάττωμεν;
E 'οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος'
ὑγιαίνοντα νοῦν εἶχεν, ὅτι πολλῶν μεθυσκομένων καὶ
παροινούντων τὰς ἀμπέλους περιῶν ἐξέκοπτεν ἀντὶ
τοῦ τὰς κρήνας ἐγγυτέρω προσάγειν καὶ 'μαινόμενον'
θεόν, ὡς φησιν ὁ Πλάτων, 'ἑτέρῳ θεῷ νήφοντι κολα-
ζόμενον' σωφρονίζειν. ἀφαιρεῖ γὰρ ἡ κρᾶσις τοῦ
οἴνου τὸ βλάπτον, οὐ συναναιροῦσα τὸ χρήσιμον.
μηδ' ἡμεῖς οὖν τὴν ποιητικὴν ἡμερίδα τῶν Μουσῶν

1, 58—60 H. 6, 52—53 R.

1. Homer. δ 230 4. Id. Ξ 216 13. σκληρῷ Mehlerus: κηρῷ 17. περιστέλλοντες*: περιστάντες 20. Homer. Z 130 23. προσάγειν*: προσαγαγεῖν 24. Πλάτων] Legg. VI. p. 773 D

Digitized by Google

ἐκκόπτωμεν μηδ' ἀφανίζωμεν, ἀλλ' ὅπου μὲν ὑφ' F
ἡδονῆς ἀκράτου πρὸς δόξαν αὐθαδῶς θρασυνόμενον
ἐξυβρίζει καὶ ὑλομανεῖ τὸ μυθῶδες αὐτῆς καὶ θεατρι-
κόν, ἐπιλαμβανόμενοι κολούωμεν καὶ πιέζωμεν· ὅπου
δ' ἅπτεταί τινος μούσης τῇ χάριτι καὶ τὸ γλυκὺ τοῦ
λόγου καὶ ἀγωγὸν οὐκ ἄκαρπόν ἐστιν οὐδὲ κενόν,
ἐνταῦθα φιλοσοφίαν εἰσάγωμεν καὶ καταμιγνύωμεν.
ὥσπερ γὰρ ὁ μανδραγόρας ταῖς ἀμπέλοις παραφυό-
μενος καὶ διαδιδοὺς τὴν δύναμιν εἰς τὸν οἶνον μα-
λακωτέραν ποιεῖ τὴν καταφορὰν τοῖς πίνουσιν, οὕτω
τοὺς λόγους ἡ ποίησις ἐκ φιλοσοφίας ἀναλαμβάνουσα
μιγνυμένους πρὸς τὸ μυθῶδες ἐλαφρὰν καὶ προσφιλῆ
παρέχει τοῖς νέοις τὴν μάθησιν. ὅθεν οὐ φευκτέον
ἐστὶ τὰ ποιήματα τοῖς φιλοσοφεῖν μέλλουσιν, ἀλλὰ
προφιλοσοφητέον τοῖς ποιήμασι ἐθιζομένους ἐν τῷ 16
τέρποντι τὸ χρήσιμον ζητεῖν καὶ ἀγαπᾶν· εἰ δὲ μή,
διαμάχεσθαι καὶ δυσχεραίνειν. ἀρχὴ γὰρ αὕτη παι-
δεύσεως.

'ἔργου δὲ παντὸς ἦν τις ἄρχηται καλῶς,
καὶ τὰς τελευτὰς εἰκός ἐσθ' οὕτως ἔχειν'

κατὰ τὸν Σοφοκλέα.

2. Πρῶτον μὲν οὖν εἰσάγειν εἰς τὰ ποιήματα δεῖ
τὸν νέον μηδὲν οὕτω μεμελετημένον ἔχοντα καὶ πρό-
χειρον ὡς τὸ 'πολλὰ ψεύδονται ἀοιδοὶ' τὰ μὲν ἑκόν-
τες τὰ δ' ἄκοντες. ἑκόντες μέν, ὅτι πρὸς ἡδονὴν
ἀκοῆς καὶ χάριν, ἣν οἱ πλεῖστοι διώκουσιν, αὐστηρο-
τέραν ἡγοῦνται τὴν ἀλήθειαν τοῦ ψεύδους. ἡ μὲν B
γὰρ ἔργῳ γιγνομένη, κἂν ἀτερπὲς ἔχῃ τὸ τέλος, οὐκ
ἐξίσταται· τὸ δὲ πλαττόμενον λόγῳ ῥᾷστα παραχωρεῖ
καὶ τρέπεται πρὸς τὸ ἥδιον ἐκ τοῦ λυποῦντος. οὔτε

1, 60—61 H. 6, 53—55 R.

19. Nauck. p. 246 24. Aristot. Metaph. I

Digitized by Google

γὰρ μέτρον οὔτε τρόπος οὔτε λέξεως ὄγκος οὔτ' εὐκαιρία μεταφορᾶς οὔθ' ἁρμονία καὶ σύνθεσις ἔχει τοσοῦτον αἰμυλίας καὶ χάριτος ὅσον εὖ πεπλεγμένη διάθεσις μυθολογίας, ἀλλ' ὥσπερ ἐν γραφαῖς κινητικώτερόν ἐστι χρῶμα γραμμῆς διὰ τὸ ἀνδρείκελον καὶ ἀπατηλόν, οὕτως ἐν ποιήμασι μεμιγμένον πιθανότητι
C ψεῦδος ἐκπλήττει καὶ ἀγαπᾶται μᾶλλον τῆς ἀμύθου καὶ ἀπλάστου περὶ μέτρον καὶ λέξιν κατασκευῆς. ὅθεν ὁ Σωκράτης ἔκ τινων ἐνυπνίων ποιητικῆς ἁψάμενος αὐτὸς μέν, ἅτε δὴ γεγονὼς ἀληθείας ἀγωνιστὴς τὸν ἅπαντα βίον, οὐ πιθανὸς ἦν οὐδ' εὐφυὴς ψευδῶν δημιουργός, τοὺς δ' Αἰσώπου μύθους ἔπεσιν ἐνέτεινεν, ὡς ποίησιν οὐκ οὖσαν ᾗ ψεῦδος μὴ πρόσεστι. θυσίας μὲν γὰρ ἀχόρους καὶ ἀναύλους ἴσμεν, οὐκ ἴσμεν δ' ἄμυθον οὐδ' ἀψευδῆ ποίησιν. τὰ δ' Ἐμπεδοκλέους ἔπη καὶ Παρμενίδου καὶ θηριακὰ Νικάνδρου καὶ γνωμολογίαι Θεόγνιδος λόγοι εἰσὶ κιχράμενοι παρὰ ποιητι-
D κῆς ὥσπερ ὄχημα τὸ μέτρον καὶ τὸν ὄγκον, ἵνα τὸ πεζὸν διαφύγωσιν. ὅταν οὖν ἄτοπόν τι καὶ δυσχερὲς ἐν τοῖς ποιήμασι λέγηται περὶ θεῶν ἢ δαιμόνων ἢ ἀρετῆς ὑπ' ἀνδρὸς ἐλλογίμου καὶ δόξαν ἔχοντος, ὃ μὲν ὡς ἀληθῆ προσδεξάμενος λόγον οἴχεται φερόμενος καὶ διέφθαρται τὴν δόξαν, ὃ δὲ μεμνημένος ἀεὶ καὶ κατέχων ἐναργῶς τῆς ποιητικῆς τὴν περὶ τὸ ψεῦδος γοητείαν καὶ δυνάμενος λέγειν ἑκάστοτε πρὸς αὐτήν

'ὦ μηχάνημα λυγκὸς αἰολώτερον,'

τί παίζουσα τὰς ὀφρῦς συνάγεις, τί δ' ἐξαπατῶσα
E προσποιεῖ διδάσκειν; οὐδὲν πείσεται δεινὸν οὐδὲ πι-

1, 61–63 H. 6, 55–57 B.

12. μύθους ἔπεσιν ἐνέτεινεν*: τοῖς ἔπεσι μύθους ἐνόμιζεν 17. κιχράμενοι Madvigius: κεχρημένοι 26. Nauck. p. 694 λυγκὸς idem: λυγγὸς

Digitized by Google

στεύσει φαῦλον, ἀλλ' ἐπιλήψεται μὲν τοῦ φοβουμένου τὸν Ποσειδῶνα καὶ ταρβοῦντος μὴ τὴν γῆν ἀναρρήξῃ καὶ ἀπογυμνώσῃ τὸν Ἅιδην, ἐπιλήψεται δὲ τοῦ τῷ Ἀπόλλωνι χαλεπαίνοντος ὑπὲρ τοῦ πρώτου τῶν Ἀχαιῶν,

'ὃν αὐτὸς ὑμνῶν αὐτὸς ἐν δαίτῃ παρών
αὐτὸς τάδ' εἰπὼν αὐτός ἐστιν ὁ κτανών.'

παύσεται δὲ τὸν φθιτὸν Ἀχιλλέα καὶ τὸν Ἀγαμέμνονα τὸν καθ' Ἅιδου δακρύων, ἀδυνάτους καὶ ἀσθενεῖς χεῖρας ἐπιθυμίᾳ τοῦ ζῆν ὀρέγοντας. ἂν δέ που συνταράττηται τοῖς πάθεσι καὶ κρατῆται φαρμασσόμενος, οὐκ ὀκνήσει πρὸς ἑαυτὸν εἰπεῖν

'ἀλλὰ φώσδε τάχιστα λιλαίεο· ταῦτα δὲ πάντα
ἴσθ', ἵνα καὶ μετόπισθε τεῇ εἴπῃσθα γυναικί.' F

καὶ γὰρ τοῦτο χαριέντως Ὅμηρος εἰς τὴν νεκυίαν εἶπεν, ὡς γυναικὸς ἀκρόασιν οὖσαν διὰ τὸ μυθῶδες. τοιαῦτα γάρ ἐστιν ἃ πλάττουσιν ἑκόντες οἱ ποιηταί· πλείονα δ' ἃ μὴ πλάττοντες ἀλλ' οἰόμενοι καὶ δοξάζοντες αὐτοὶ προσαναχρώννυνται τὸ ψεῦδος ἡμῖν. οἷον ἐπὶ τοῦ Διὸς εἰρηκότος Ὁμήρου

'ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο, 17
τὴν μὲν Ἀχιλλῆος τὴν δ' Ἕκτορος ἱπποδάμοιο,
ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ,
ᾤχετο δ' εἰς Ἀίδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων'

τραγῳδίαν ὁ Αἰσχύλος ὅλην τῷ μύθῳ περιέθηκεν, ἐπιγράψας Ψυχοστασίαν καὶ παραστήσας ταῖς πλάστιγξι τοῦ Διὸς ἔνθεν μὲν τὴν Θέτιν ἔνθεν δὲ τὴν Ἠῶ,

1, 63—65 H. 6, 57—59 R.

1. τοῦ G. Hermanus: αὐτοῦ 3. τοῦ adiecit idem 6. Nauck. p. 83 13. Homer. λ 222 20. Ὁμήρου] X 63 26. Αἰσχύλος] Nauck. p. 69.

Digitized by Google

δεομένας ὑπὲρ τῶν υἱέων μαχομένων. τοῦτο δὲ παντὶ δῆλον, ὅτι μυθοποίημα καὶ πλάσμα πρὸς ἡδονὴν ἢ ἔκπληξιν ἀκροατοῦ γέγονε. τὸ δέ

B 'Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται'

καὶ τό

'θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ,'

ταῦτα δ' ἤδη κατὰ δόξαν εἴρηται καὶ πίστιν αὐτῶν, ἣν ἔχουσιν ἀπάτην περὶ θεῶν καὶ ἄγνοιαν εἰς ἡμᾶς ἐκφερόντων καὶ μεταδιδόντων. πάλιν αἱ περὶ τὰς νεκυίας τερατουργίαι καὶ διαθέσεις ὀνόμασι φοβεροῖς ἐνδημιουργοῦσαι φάσματα καὶ εἴδωλα ποταμῶν φλεγομένων καὶ τόπων ἀγρίων καὶ κολασμάτων σκυθρωπῶν οὐ πάνυ πολλοὺς διαλανθάνουσιν ὅτι τὸ μυ-

C θῶδες αὐτοῖς πολὺ καὶ τὸ ψεῦδος ὥσπερ τροφαῖς τὸ φαρμακῶδες ἐγκέκραται. καὶ οὔθ' Ὅμηρος οὔτε Πίνδαρος οὔτε Σοφοκλῆς πεπεισμένοι ταῦτα ἔχειν οὕτως ἔγραψαν

'ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον
βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί'

καί

'πὰρ δ' ἴσαν Ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην'

καί

'στενωπὸς Ἅιδου καὶ παλίρροια βυθοῦ.'

ὅσοι μέντοι τὸν θάνατον ὡς οἰκτρὸν ἢ τὴν ἀταφίαν ὡς δεινὸν ὀλοφυρόμενοι καὶ δεδιότες φωνὰς ἐξενηνόχασι

'μή μ' ἄκλαυστον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν'

1, 65—66 H. 6, 59—60 R.

4. Homer. Δ 84 6. Nauck. p. 39 19. Bergk. Pindari Fr. 107 (95) 22. Homer. ω 11 24. Nauck. p. 246 28. Homer. λ 72

Digitized by Google

καί

'ψυχὴ δ' ἐκ ῥεθέων πταμένη 'Αιδόσδε βεβήκει,
ὃν πότμον γοόωσα, λιποῦς' ἀδρότητα καὶ ἥβην' D

καί

'μή μ' ἀπολέσῃς ἄωρον· ἡδὺ γὰρ τὸ φῶς
λεύσσειν· τὰ δ' ὑπὸ γῆν μή μ' ἰδεῖν ἀναγκάσῃς',

αὗται πεπονθότων εἰσὶ καὶ προεαλωκότων ὑπὸ δόξης καὶ ἀπάτης. διὸ μᾶλλον ἅπτονται καὶ διαταράττουειν ἡμᾶς, ἀναπιμπλαμένους τοῦ πάθους καὶ τῆς ἀσθενείας ἀφ' ἧς λέγονται. πρὸς ταῦτα δὴ πάλιν παρασκευάζωμεν εὐθὺς ἐξ ἀρχῆς ἔχειν ἔναυλον ὅτι ποιητικὴ μὲν οὐ πάνυ μέλον ἐστὶ τῆς ἀληθείας, ἡ δὲ περὶ ταῦτα ἀλήθεια καὶ τοῖς μηδὲν ἄλλο πεποιημένοις ἔργον ἢ γνῶσιν καὶ μάθησιν τοῦ ὄντος εὖ μάλα δυσθήρατός E ἐστι καὶ δύσληπτος, ὡς ὁμολογοῦσιν αὐτοί. καὶ τὰ Ἐμπεδοκλέους ἔστω πρόχειρα ταυτί

'οὔτ' ἐπιδερκτὰ τάδ' ἀνδράσιν οὔτ' ἐπακουστά
οὔτε νόῳ περιληπτά'

καὶ τὰ Ξενοφάνους

'καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ γένετ' οὐδέ τις ἔσται
εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων'

καὶ νὴ Δία τὰ Σωκράτους ἐξομνυμένου παρὰ Πλάτωνι τὴν περὶ τούτων γνῶσιν. ἧττον γὰρ ὡς εἰδότι F τι περὶ τούτων προσέξουσι τοῖς ποιηταῖς ἐν οἷς τοὺς φιλοσόφους ἰλιγγιῶντας ὁρῶσιν.

3. Ἔτι δὲ μᾶλλον ἐπιστήσομεν αὐτὸν ἅμα τῷ προσάγειν τοῖς ποιήμασιν ὑπογράφοντες τὴν ποιητικὴν

1, 66—68 H. 6, 60—62 R.

2. Hom. Π 856, Χ 362 5. Eurip. Iph. A. 1218. 16. Ἐμπεδοκλέους] Karsten. Philos. Gr. Rel. vol. 3. p. 90 ταυτί*: ταυτὶ οὕτως 19. Ξενοφάνους] Karsten. vol. 1. p. 51

Digitized by Google

ὅτι μιμητικὴ τέχνη καὶ δύναμίς ἐστιν ἀντίστροφος τῇ ζω-
γραφίᾳ. καὶ μὴ μόνον ἐκεῖνο τὸ θρυλούμενον ἀκηκοὼς
ἔστω, ζωγραφίαν μὲν εἶναι φθεγγομένην τὴν ποίησιν,
ποίησιν δὲ σιγῶσαν τὴν ζωγραφίαν, ἀλλὰ πρὸς τούτῳ
18 διδάσκωμεν αὐτὸν ὅτι γεγραμμένην καῦραν ἢ πίθηκον 5
ἢ Θερσίτου πρόσωπον ἰδόντες ἡδόμεθα καὶ θαυμάζο-
μεν οὐχ ὡς καλὸν ἀλλ' ὡς ὅμοιον. οὐσίᾳ μὲν γὰρ οὐ
δύναται καλὸν γενέσθαι τὸ αἰσχρόν· ἡ δὲ μίμησις, ἄν τε
περὶ φαῦλον ἄν τε περὶ χρηστὸν ἐφίκηται τῆς ὁμοιότη-
τος, ἐπαινεῖται. καὶ τοὐναντίον ἂν αἰσχροῦ σώματος εἰ- 10
κόνα καλὴν παράσχῃ, τὸ πρέπον καὶ τὸ εἰκὸς οὐκ ἀπέ-
δωκεν. γράφουσι δὲ καὶ πράξεις ἀτόπους ἔνιοι, καθά-
περ Τιμόμαχος τὴν Μηδείας τεκνοκτονίαν καὶ Θέων τὴν
Ὀρέστου μητροκτονίαν καὶ Παρράσιος τὴν Ὀδυσσέως
Β προσποίητον μανίαν καὶ Χαιρεφάνης ἀκολάστους ὁμι- 15
λίας γυναικῶν πρὸς ἄνδρας. ἐν οἷς μάλιστα δεῖ τὸν
νέον ἐθίζεσθαι, διδασκόμενον ὅτι τὴν πρᾶξιν οὐκ
ἐπαινοῦμεν ἧς γέγονεν ἡ μίμησις, ἀλλὰ τὴν τέχνην
εἰ μεμίμηται προσηκόντως τὸ ὑποκείμενον. ἐπεὶ τοί-
νυν καὶ ποιητικὴ πολλάκις ἔργα φαῦλα καὶ πάθη 20
μοχθηρὰ καὶ ἤθη μιμητικῶς ἀπαγγέλλει, δεῖ τὸ θαυμα-
ζόμενον ἐν τούτοις καὶ κατορθούμενον μήτ' ἀποδέχε-
σθαι τὸν νέον ὡς ἀληθὲς μήτε δοκιμάζειν ὡς καλόν,
ἀλλ' ἐπαινεῖν μόνον ὡς ἐναρμόττον τῷ ὑποκειμένῳ
προσώπῳ καὶ οἰκεῖον. ὥσπερ γὰρ ὑὸς βοὴν καὶ ψό- 25
C φον τροχιλίας καὶ πνευμάτων ῥοῖζον καὶ θαλάττης
κτύπον ἀκούοντες ἐνοχλούμεθα καὶ δυσχεραίνομεν, ἂν
δέ τις πιθανῶς ταῦτα μιμῆται, καθάπερ Παρμένων
τὴν ὗν καὶ Θεόδωρος τὰς τροχιλίας, ἡδόμεθα, καὶ
νοσώδη μὲν ἄνθρωπον καὶ ὕπουλον ὡς ἀτερπὲς θέαμα 30
φεύγομεν, τὸν δ' Ἀριστοφῶντος Φιλοκτήτην καὶ τὴν

1, 68—69 H. 6, 62—63 B.

Digitized by Google

Σιλανίωνος Ἰοκάστην ὁμοίους φθίνουσι καὶ ἀποθνήσκουσι πεποιημένους ὁρῶντες χαίρομεν, οὕτως ὁ νέος ἀναγιγνώσκων ἃ Θερσίτης ὁ γελωτοποιὸς ἢ Σίσυφος ὁ φθόρος ἢ Βάτραχος ὁ πορνοβοσκὸς λέγων ἢ πράτ-
5 των πεποίηται, διδασκέσθω τὴν μιμουμένην ταῦτα δύ- D
ναμιν καὶ τέχνην ἐπαινεῖν, ἃς δὲ διαθέσεις καὶ πράξεις μιμεῖται καὶ προβάλλεσθαι καὶ κακίζειν. οὐ γάρ ἐστι ταὐτὸ τὸ καλόν τι καὶ καλῶς τι μιμεῖσθαι. καλῶς γάρ ἐστι τὸ πρεπόντως καὶ οἰκείως, οἰκεῖα δὲ καὶ
10 πρέποντα τοῖς αἰσχροῖς τὰ αἰσχρά. καὶ γὰρ αἱ Δαμωνίδα τοῦ χωλοῦ κρηπῖδες, ἃς ἀπολέσας εὔχετο τοῖς τοῦ κλέψαντος ἐναρμόσαι ποσί, φαῦλαι μὲν ἦσαν, ἐκείνῳ δ' ἥρμοττον. καὶ τό

'εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι
15 κάλλιστον ἀδικεῖν'

καὶ τό E

'τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο,
τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος ἔνθα κερδανεῖς'

καί

20 'τάλαντον ἡ προίξ. μὴ λάβω; ζῆν δ' ἔστι μοι
τάλαντον ὑπεριδόντι; τεύξομαι δ' ὕπνου
προέμενος; οὐ δώσω δὲ κἂν Ἅιδου δίκην
ὡς ἠσεβηκὼς εἰς τάλαντον ἀργυροῦν;

μοχθηροὶ μέν εἰσι λόγοι καὶ ψευδεῖς, Ἐτεοκλεῖ δὲ καὶ
25 Ἰξίονι καὶ τοκογλύφῳ πρεσβύτῃ πρέποντες. ἂν οὖν ὑπομιμνήσκωμεν τοὺς παῖδας ὅτι ταῦτα οὐκ ἐπαινοῦντες οὐδὲ δοκιμάζοντες ἀλλ' ὡς ἄτοπα καὶ φαῦλα F

1, 69—71 H. 6, 63—65 R.

1. ὁμοίους Reiskius: ὁμοίως 5. φθόρος*: φθορεύς 8. τὸ καλόν τι*: καλόν τι vel τὸ καλόν 14. Eurip. Phoen. 524 17. Nauck. p. 652 20. Meinek. IV. p. 668

Digitized by Google

φαύλοις καὶ ἀτόποις ἤθεσι καὶ προσώποις περιτιθέντες γράφουσιν, οὐκ ἂν ὑπὸ τῆς δόξης βλάπτοιντο τῶν ποιητῶν. ἀλλὰ τοὐναντίον ἡ πρὸς τὸ πρόσωπον ὑποψία διαβάλλει καὶ τὸ πρᾶγμα καὶ τὸν λόγον, ὡς φαῦλον ὑπὸ φαύλου καὶ λεγόμενον καὶ πραττόμενον. οἷόν ἐστι καὶ τὸ τῆς συγκοιμήσεως τοῦ Πάριδος ἐκ τῆς μάχης ἀποδράντος. οὐδένα γὰρ ἄλλον ἄνθρωπον ἡμέρας συγκοιμώμενον γυναικὶ ποιήσας ἢ τὸν ἀκόλαστον καὶ μοιχικὸν ἐν αἰσχύνῃ δῆλός ἐστι καὶ ψόγῳ τιθέμενος τὴν τοιαύτην ἀκρασίαν.

19 4. Ἐν δὲ τούτοις εὖ μάλα προσεκτέον εἴ τινας ὁ ποιητὴς αὐτὸς ἐμφάσεις δίδωσι κατὰ τῶν λεγομένων ὡς δυσχεραινομένων ὑπ' αὐτοῦ. καθάπερ ὁ Μένανδρος ἐν τῷ προλόγῳ τῆς Θαΐδος πεποίηκεν

> 'ἐμοὶ μὲν οὖν ἄεισε τοιαύτην, θεά,
> θρασεῖαν ὡραίαν δὲ καὶ πιθανὴν ἅμα,
> ἀδικοῦσαν ἀποκλείουσαν αἰτοῦσαν πυκνά,
> μηδενὸς ἐρῶσαν, προσποιουμένην δ' ἀεί.'

Β ἄριστα δ' Ὅμηρος τῷ γένει τούτῳ κέχρηται· καὶ γὰρ προδιαβάλλει τὰ φαῦλα καὶ προσυνίστησι τὰ χρηστὰ τῶν λεγομένων. προσυνίστησι μὲν οὕτως

> 'αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον'

καί

> 'τόνδ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς'.

ἐν δὲ τῷ προδιαβάλλειν μονονοὺ μαρτύρεται καὶ διαγορεύει μήτε χρῆσθαι μήτε προσέχειν ὡς οὖσιν ἀτόποις καὶ φαύλοις. οἷον τόν τ' Ἀγαμέμνονα μέλλων διηγεῖσθαι τῷ ἱερεῖ χρώμενον ἀπηνῶς προείρηκεν

1, 71—72 H. 6, 65—66 R.

7. ἄνθρωπον W: ἀνθρώπων 15. Meinek. IV. p. 131
22. Homer. ζ 148 24. Id. B 189

Digitized by Google

'ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἤνδανε θυμῷ,
ἀλλὰ κακῶς ἀφίει',

τοῦτ' ἔστιν ἀγρίως καὶ αὐθαδῶς καὶ παρὰ τὸ προσῆ- C
κον· τῷ τ' Ἀχιλλεῖ τοὺς θρασεῖς λόγους περιτίθησιν

'οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο'

τὴν αὐτοῦ κρίσιν ὑπειπών

'Πηλείδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν
Ἀτρείδην προσέειπε, καὶ οὔ πω λῆγε χόλοιο.'

καλὸν γὰρ εἰκὸς οὐδὲν εἶναι μετ' ὀργῆς καὶ αὐστηρῶς
λεγόμενον. ὁμοίως καὶ ἐπὶ τῶν πράξεων

'ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα,
πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας.' D

εὖ δὲ καὶ ταῖς ἐπιρρήσεσι χρῆται, καθάπερ τινὰ ψῆ-
φον ἰδίαν ἐπιφέρων τοῖς πραττομένοις ἢ λεγομένοις,
ἐπὶ μὲν τῆς μοιχείας τοῦ Ἄρεος τοὺς θεοὺς ποιῶν
λέγοντας

'οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν,'

ἐπὶ δὲ τῆς τοῦ Ἕκτορος ὑπερφροσύνης καὶ μεγα-
λαυχίας

'ὣς ἔφατ' εὐχόμενος, νεμέσησε δὲ πότνια Ἥρη,'

ἐπὶ δὲ τῆς Πανδάρου τοξείας

'ὣς φάτ' Ἀθηναίη, τῷ δὲ φρένας ἄφρονι πεῖθεν.'

αὗται μὲν οὖν αἱ τῶν λόγων ἀποφάσεις καὶ δόξαι E
παντός εἰσι κατιδεῖν τοῦ προσέχοντος· ἑτέρας δ' ἐκ
τῶν πραγμάτων αὐτῶν παρέχουσι μαθήσεις, ὥσπερ ὁ
Εὐριπίδης εἰπεῖν λέγεται πρὸς τοὺς τὸν Ἰξίονα λοι-
δοροῦντας ὡς ἀσεβῆ καὶ μιαρόν, 'οὐ μέντοι πρότερον

1, 72—73 H. 6, 67—68 R.

1. Homer. A 24 5. Id. A 225 7. Id. A 223 11. Id. Ψ 24 17. Id. θ 329 20. Id. Θ 198 22. Id. Δ 104 26. Εὐριπίδης] Nauck. p. 389

Digitized by Google

αὐτὸν ἐκ τῆς σκηνῆς ἐξήγαγον ἢ τῷ τροχῷ προσηλῶσαι'. παρὰ δ' Ὁμήρῳ σιωπώμενόν ἐστι τὸ τοιοῦτο γένος τῆς διδασκαλίας, ἔχον δ' ἀναθεώρησιν ὠφέλιμον ἐπὶ τῶν διαβεβλημένων μάλιστα μύθων, οὓς ταῖς πάλαι μὲν ὑπονοίαις ἀλληγορίαις δὲ νῦν λεγομέναις παραβιαζόμενοι καὶ διαστρέφοντες ἔνιοι μοιχευομένην φασὶν Ἀφροδίτην ὑπ' Ἄρεος μηνύειν Ἥλιον, ὅτι τῷ τῆς Ἀφροδίτης ἀστέρι συνελθὼν ὁ τοῦ Ἄρεος μοιχικὰς ἀποτελεῖ γενέσεις, Ἡλίου δ' ἐπαναφερομένου καὶ καταλαμβάνοντος οὐ λανθάνουσιν. τὸν δὲ τῆς Ἥρας καλλωπισμὸν ἐπὶ τὸν Δία καὶ τὰς περὶ τὸν κεστὸν γοητείας ἀέρος τινὰ κάθαρσιν εἶναι βούλονται τῷ πυρώδει πλησιάζοντος, ὥσπερ οὐκ αὐτοῦ τὰς λύσεις τοῦ ποιητοῦ διδόντος. ἐν μὲν γὰρ τοῖς περὶ τῆς Ἀφροδίτης διδάσκει τοὺς προσέχοντας ὅτι μουσικὴ φαύλη καὶ ᾄσματα πονηρὰ καὶ λόγοι μοχθηρὰς ὑποθέσεις λαμβάνοντες ἀκόλαστα ποιοῦσιν ἤθη καὶ βίους ἀνάνδρους καὶ ἀνθρώπους τρυφὴν καὶ μαλακίαν καὶ γυναικοκρατίαν ἀγαπῶντας

'εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐνάς'.

διὸ καὶ τὸν Ὀδυσσέα τῷ κιθαρῳδῷ προστάττοντα πεποίηκεν

'ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον',

καλῶς ὑφηγούμενος τὸ παρὰ τῶν φρονίμων καὶ νοῦν ἐχόντων χρῆναι λαμβάνειν τοὺς μουσικοὺς καὶ ποιητικοὺς τὰς ὑποθέσεις. ἐν δὲ τοῖς περὶ τῆς Ἥρας ἄριστα τὴν ἀπὸ φαρμάκων καὶ γοητείας καὶ μετὰ δόλου πρὸς τοὺς ἄνδρας ὁμιλίαν καὶ χάριν ἔδειξεν οὐ μόνον ἐφήμερον καὶ ἀψίκορον καὶ ἀβέβαιον οὖσαν,

1, 73—74 H. 6, 68—70 R.

12. τινὰ*: τινας 19. γυναικοκρατίαν Meziriacus: γυναικοκρασίαν 20. Hom. θ 249 23. Id. θ 492

Digitized by Google

ἀλλὰ καὶ μεταβάλλουσαν εἰς ἔχθραν καὶ ὀργήν, ὅταν τὰ τῆς ἡδονῆς ἀπομαρανθῇ. τοιαῦτα γὰρ ὁ Ζεὺς ἀπειλεῖ καὶ λέγει πρὸς αὐτήν

'ὄφρα ἴδῃς ἦν τοι χραίσμῃ φιλότης τε καὶ εὐνή,
ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο καὶ μ' ἀπάτησας'.

ἡ γὰρ τῶν φαύλων διάθεσις ἔργων καὶ μίμησις ἂν προσαποδῷ τὴν συμβαίνουσαν αἰσχύνην καὶ βλάβην τοῖς ἐργασαμένοις, ὠφέλησεν οὐκ ἔβλαψε τὸν ἀκροώμενον. οἱ γοῦν φιλόσοφοι παραδείγμασι χρῶνται, C
νουθετοῦντες καὶ παιδεύοντες ἐξ ὑποκειμένων· οἱ δὲ ποιηταὶ ταῦτα ποιοῦσι πλάττοντες αὐτοὶ πράγματα καὶ μυθολογοῦντες. ὁ μὲν οὖν Μελάνθιος εἴτε παίζων εἴτε σπουδάζων ἔλεγε διασύζεσθαι τὴν Ἀθηναίων πόλιν ὑπὸ τῆς τῶν ῥητόρων διχοστασίας καὶ ταραχῆς· οὐ γὰρ ἀποκλίνειν ἅπαντας εἰς τὸν αὐτὸν τοῖχον, ἀλλὰ γίγνεσθαί τινα τοῦ βλάπτοντος ἀνθολκὴν ἐν τῇ διαφορᾷ τῶν πολιτευομένων. αἱ δὲ τῶν ποιητῶν ὑπεναντιώσεις πρὸς αὑτοὺς ἀνταναφέρουσαι τὴν πίστιν οὐκ ἐῶσιν ἰσχυρὰν ῥοπὴν γενέσθαι πρὸς τὸ βλάπτον. ὅπου μὲν οὖν αὐτοῖς τὸ τιθέναι σύνεγγυς ἐκφανεῖς ποιεῖ τὰς ἀντιλογίας, δεῖ τῷ βελτίονι συνηγορεῖν ὥσπερ ἐν τούτοις D

'πόλλ', ὦ τέκνον, σφάλλουσιν ἀνθρώπους θεοί'.
'τὸ ῥᾷστον εἶπας, αἰτίασασθαι θεούς'.

καὶ πάλιν

'χρυσοῦ σε πλήθει, τούσδε δ' οὐ χαίρειν χρεών'.
'σκαιὸν τὸ πλουτεῖν κἄλλο μηδὲν εἰδέναι'

καί

'τί δῆτα θύειν δεῖ σε κατθανούμενον';
'ἄμεινον· οὐδεὶς κάματος εὐσεβεῖν θεούς.'

1, 74–76 H. 6, 70—71 R.

4. Hom. O 32 23. Nauck. p. 345 27. τὸ Stobaeus Flor. 93, 7 (Nauck. p. 542): γε 29. Nauck. p. 694 θύειν Cobetus: οὔειν

Digitized by Google

τὰ γὰρ τοιαῦτα τὰς λύσεις ἔχει προδήλους, ἄν, ὥσπερ εἴρηται, πρὸς τὰ βελτίονα τῇ κρίσει τοὺς νέους κατευθύνωμεν. ὅσα δ' εἴρηται μὲν ἀτόπως εὐθὺς δ'
E οὐ λέλυται, ταῦτα δεῖ τοῖς ἀλλαχόθι πρὸς τοὐναντίον εἰρημένοις ὑπ' αὐτῶν ἀνταναιρεῖν, μὴ ἀχθομένους τῷ 5
ποιητῇ μηδὲ χαλεπαίνοντας ἀλλ' ἐν ἤθει καὶ μετὰ παιδιᾶς προσφερομένους. εὐθύς, εἰ βούλει, πρὸς τὰς Ὁμηρικὰς τῶν θεῶν ῥίψεις ὑπ' ἀλλήλων καὶ τρώσεις ὑπ' ἀνθρώπων καὶ διαφορὰς καὶ χαλεπότητας

'οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι' 10

καὶ νοεῖς νὴ Δία λόγους κρείττονας ἀλλαχόθι καὶ βελτίονας τῶν τοιούτων

'θεοὶ ῥεῖα ζώοντες'

καί

'τῷ ἔνι τέρπονται μάκαρες θεοὶ ἤματα πάντα' 15

καί

F 'ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι,
ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ' ἀκηδέες εἰσίν'.

αὗται γάρ εἰσιν ὑγιαίνουσαι περὶ θεῶν δόξαι καὶ ἀληθεῖς, ἐκεῖνα δὲ πέπλασται πρὸς ἔκπληξιν ἀνθρώπων. 20
πάλιν Εὐριπίδου λέγοντος

21 'πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων
σφάλλουσιν ἡμᾶς κρείττονες πεφυκότες'

οὐ χεῖρόν ἐστιν ὑπενεγκεῖν τό

'εἰ θεοί τι δρῶσι φαῦλον, οὐκ εἰσὶν θεοί', 25

βέλτιον εἰρημένον ὑπ' αὐτοῦ. καὶ τοῦ Πινδάρου σφόδρα πικρῶς καὶ παροξυντικῶς εἰρηκότος

1, 76—77 H. 6, 71—73 R.

7. προσφερομένους*: λεγομένους 10. Hom. H 358 11. λόγους — τοιούτων*: καὶ λέγεις κρεῖττον ἀλλαχόθι καὶ βέλτιον τὰ τοιαῦτα 13. Homer. Z 138 15. Id. ζ 46 17. Id. Ω 525 22. Nauck. p. 519 25. Id.. p. 355

Digitized by Google

'χρὴ δὲ πᾶν ἔρδοντ' ἀμαυρῶσαι τὸν ἐχθρόν',
ἀλλ' αὐτός γε σὺ λέγεις ὅτι
'τὸ πὰρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά',
καὶ τοῦ Σοφοκλέους
'τὸ κέρδος ἡδύ, κἂν ἀπὸ ψευδῶν εἴη',
καὶ μὴν σοῦ γ' ἀκηκόαμεν ὡς
'οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι'.
πρὸς δ' ἐκεῖνα τὰ περὶ τοῦ πλούτου B
'δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα
καὶ πρὸς τὰ βατὰ καὶ πόθεν πένης ἀνήρ
οὐδ' ἐντυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν.
καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον
γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν'
ἀντιπαραθήσει πολλὰ τῶν Σοφοκλέους, ὧν καὶ ταῦτά ἐστι
'γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ'
καί
'οὐδὲν κακίων πτωχός, εἰ καλῶς φρονοῖ
καί
'ἀλλὰ τῶν πολλῶν καλῶν
τίς χάρις, εἰ κακόβουλος
φροντὶς ἐκτρέφει τὸν εὐαίωνα πλοῦτον';
ὁ δὲ Μένανδρος ἐπῆρε μὲν ἀμέλει τὴν φιληδονίαν καὶ ὑπεχαύνωσε τοῖς ἐρωτικοῖς καὶ διαπύροις ἐκείνοις

1, 76—77 H. 6, 73—74 B.

1. Isthm. IV 48 3. Isthm. VII 47 6. Nauck. p. 246 ἴῃ Brunckius 8. Nauck. p. 118 10. Id. p. 118 ἔς Stobaeus Flor. 91, 27: πρός 11. καὶ ὁπόθεν] χὠπόθεν Stobaeus 17. Nauck. p. 247. 19. Id. p. 247 21 Id. p. 207

Digitized by Google

'ἅπανθ' ὅσα ζῇ καὶ τὸν ἥλιον βλέπει
τὸν κοινὸν ἡμῖν, δοῦλα ταῦτ' ἔσθ' ἡδονῆς'.

πάλιν δ' ἐπέστρεψε καὶ περιέσπασε πρὸς τὸ καλὸν ἡμᾶς καὶ τὴν θρασύτητα τῆς ἀκολασίας ἐξέκοψεν εἰπών

'ὄνειδος αἰσχρὸς βίος ὅμως κἂν ἡδὺς ᾖ'.

D ταῦτα γὰρ ἐκείνοις μέν ἐστιν ὑπεναντία, βελτίω δὲ καὶ χρησιμώτερα. δυοῖν οὖν θάτερον ἡ τοιαύτη τῶν ἐναντίων ποιήσει παράθεσις καὶ κατανόησις, ἢ παράξει πρὸς τὸ βέλτιον ἢ καὶ τοῦ χείρονος ἀποστήσει τὴν πίστιν. ἂν δ' αὐτοὶ μὴ διδῶσι τῶν ἀτόπως εἰρημένων λύσεις, οὐ χεῖρόν ἐστιν ἑτέρων ἐνδόξων ἀποφάσεις ἀντιτάττοντας ὥσπερ ἐπὶ ζυγοῦ ῥέπειν πρὸς τὸ βέλτιον. οἷον τοῦ Ἀλέξιδος κινοῦντος ἐνίους ὅταν λέγῃ

'τὰς ἡδονὰς δεῖ συλλέγειν τὸν σώφρονα.
τρεῖς δ' εἰσὶν αἵ γε τὴν δύναμιν κεκτημέναι
E τὴν ὡς ἀληθῶς συντελοῦσαν τῷ βίῳ,
τὸ φαγεῖν τὸ πιεῖν τὸ τῆς Ἀφροδίτης τυγχάνειν.
τὰ δ' ἄλλα προσθήκας ἅπαντα χρὴ καλεῖν',

ὑπομνηστέον ὅτι Σωκράτης τοὐναντίον ἔλεγε, τοὺς μὲν φαύλους ζῆν τοῦ ἐσθίειν καὶ πίνειν ἕνεκα, τοὺς δ' ἀγαθοὺς ἐσθίειν καὶ πίνειν ἕνεκα τοῦ ζῆν. πρὸς δὲ τὸν γράψαντα 'ποτὶ τὸν πονηρὸν οὐκ ἄχρηστον ὅπλον ἁ πονηρία', τρόπον τινὰ συνεξομοιοῦσθαι κελεύοντα τοῖς πονηροῖς, τὸ τοῦ Διογένους παραβαλεῖν ἔστιν·
F ἐρωτηθεὶς γὰρ ὅπως ἄν τις ἀμύναιτο τὸν ἐχθρόν, 'αὐτὸς' ἔφη 'καλὸς κἀγαθὸς γενόμενος'. δεῖ δὲ τῷ Διογένει καὶ πρὸς τὸν Σοφοκλέα χρήσασθαι· πολλὰς

1, 79—80 H. 6, 74—76 R.

1. Meinek. IV. p. 266 5. Id. IV. p. 282 15. Id. III. p. 518. 18. τὸ φαγεῖν τὸ πιεῖν* (445 F): τὸ πιεῖν τὸ φαγεῖν

Digitized by Google

γὰρ ἀνθρώπων μυριάδας ἐμπέπληκεν ἀθυμίας περὶ τῶν μυστηρίων ταῦτα γράψας

'ὡς τρισόλβιοι
κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη
μόλωσ' ἐς Ἄιδου· τοῖσδε γὰρ μόνοις ἐκεῖ
ζῆν ἔστι, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ κακά'.

Διογένης δ' ἀκούσας τι τοιοῦτο 'τί λέγεις'; ἔφη. 'κρείττονα μοῖραν ἕξει Παταικίων ὁ κλέπτης ἀποθανὼν ἢ Ἐπαμεινώνδας ὅτι μεμύηται;' Τιμοθέῳ μὲν γὰρ 22
ἄδοντι τὴν Ἄρτεμιν ἐν τῷ θεάτρῳ μαινάδα θυάδα φοιβάδα λυσσάδα Κινησίας εὐθὺς ἀντεφώνησε 'τοιαύτη σοι θυγάτηρ γένοιτο'. χάριεν δὲ καὶ τὸ τοῦ Βίωνος πρὸς τὸν Θέογνιν λέγοντα

'πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτε τι εἰπεῖν
οὔθ' ἕρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται'

'πῶς οὖν σὺ πένης ὢν φλυαρεῖς τοσαῦτα καὶ καταδολεσχεῖς ἡμῶν';

5. Δεῖ δὲ μηδὲ τὰς ἐκ τῶν παρακειμένων ἢ συμ- B
φραζομένων παραλιπεῖν ἀφορμὰς πρὸς τὴν ἐπανόρθωσιν, ἀλλ' ὥσπερ οἱ ἰατροὶ τῆς κανθαρίδος οὔσης θανασίμου τοὺς πόδας ὅμως καὶ τὰ πτερὰ βοηθεῖν οἴονται καὶ ἀναλύειν τὴν δύναμιν, οὕτως ἐν τοῖς ποιήμασι, κἂν ὄνομα κἂν ῥῆμα παρακείμενον ἀμβλυτέραν ποιῇ τὴν πρὸς τὸ χεῖρον ἀπαγωγήν, ἐπιλαμβάνεσθαι καὶ προσδιασαφεῖν, ὡς ἐπὶ τούτων ἔνιοι ποιοῦσι

'τοῦτό νύ που γέρας ἐστὶν ὀιζυροῖσι βροτοῖσι,
κείρασθαί τε κόμην βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν'

καί

1, 80—82 H. 6, 76—78 R.

3. Nauck. p. 247 14. Theogn. 177 22. Post δύναμιν videtur excidisse τοῦ φαρμάκου 26. Homer. δ 197

Digitized by Google

'ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι,
ζώειν ἀχνυμένοις'.

C οὐ γὰρ ἁπλῶς εἶπε πᾶσιν ἀνθρώποις ὑπὸ θεῶν ἐπικεκλῶσθαι λυπηρὸν βίον, ἀλλὰ τοῖς ἄφροσι καὶ ἀνοήτοις, οὓς δειλαίους καὶ οἰκτροὺς διὰ μοχθηρίαν ὄντας εἴωθε 'δειλοὺς' καὶ 'ὀιζυροὺς' προσαγορεύειν.

6. Ἄλλος τοίνυν τρόπος ἐστὶ τὰς ἐν τοῖς ποιήμασιν ὑποψίας πρὸς τὸ βέλτιον ἐκ τοῦ χείρονος μεθιστὰς ὁ διὰ τῶν ὀνομάτων τῆς συνηθείας, περὶ ὃν δεῖ τὸν νέον γεγυμνάσθαι μᾶλλον ἢ περὶ τὰς λεγομένας γλώττας. ἐκεῖνο μὲν γὰρ φιλόλογον, καὶ οὐκ ἀηδὲς ὅτι 'ῥιγεδανὸς' κακοθάνατός ἐστιν εἰδέναι· 'δάνον' γὰρ Μακεδόνες τὸν θάνατον καλοῦσι, 'καμμονίην' δὲ νίκην Αἰολεῖς τὴν ἐξ ἐπιμονῆς καὶ καρτερίας, Δρύοπες δὲ 'πόπους' τοὺς δαίμονας. τουτὶ
D δ' ἀναγκαῖον καὶ χρήσιμον, εἰ μέλλομεν ἐκ τῶν ποιημάτων ὠφεληθήσεσθαι καὶ μὴ βλαβήσεσθαι, τὸ γιγνώσκειν πῶς τοῖς τῶν θεῶν ὀνόμασιν οἱ ποιηταὶ χρῶνται καὶ πάλιν τοῖς τῶν κακῶν καὶ ἀγαθῶν, καὶ τί τὴν Τύχην καὶ τὴν Μοῖραν νοοῦντες ὀνομάζουσι, καὶ πότερον ταῦτα τῶν ἁπλῶς ἢ τῶν πολλαχῶς λεγομένων ἐστὶ παρ' αὐτοῖς, ὥσπερ ἄλλα πολλά. καὶ γὰρ 'οἶκον' ποτὲ μὲν τὴν οἰκίαν καλοῦσιν

'οἶκον ἐς ὑψόροφον'

ποτὲ δὲ τὴν οὐσίαν

'ἐσθίεταί μοι οἶκος,'

καὶ 'βίοτον' ποτὲ μὲν τὸ ζῆν

1, 82—84 H. 6, 78—79 R.

1. Homer. Ω 525 3. εἶπε*: εἶπε καὶ 16. μέλλομεν Madvigius: μέλλοιμεν 24. Hom. ε 42 26. Id. δ 318 27. καὶ*: καὶ τὸν βίοτον W: βίον

Digitized by Google

'ἀμενήνωσεν δέ οἱ αἰχμὴν
κυανοχαῖτα Ποσειδάων, βιότοιο μεγήρας'

ποτὲ δὲ τὰ χρήματα

'βίοτον δέ μοι ἄλλοι ἔδουσι',

καὶ τῷ 'ἀλύειν' ποτὲ μὲν ἀντὶ τοῦ δάκνεσθαι καὶ ἀπορεῖσθαι κέχρηται

'ὣς ἔφαθ', ἣ δ' ἀλύουσ' ἀπεβήσετο, τείρετο δ' αἰνῶς'

ποτὲ δ' ἀντὶ τοῦ γαυριᾶν καὶ χαίρειν

'ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην';

καὶ τῷ 'θοάζειν' ἢ τὸ κινεῖσθαι σημαίνουσιν, ὡς Εὐριπίδης

'κῆτος θοάζον ἐξ Ἀτλαντικῆς ἁλός',

ἢ τὸ καθέζεσθαι καὶ θαάσσειν, ὡς ΣοΦοκλῆς

'τίνας πόθ' ἕδρας τάσδε μοι θοάζετε F
ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι';

χάριεν δὲ καὶ τὸ τὴν χρείαν τῶν ὀνομάτων συνοικειοῦν τοῖς ὑποκειμένοις πράγμασιν, ὡς οἱ γραμματικοὶ διδάσκουσιν, ἄλλην πρὸς ἄλλα δύναμιν λαμβανόντων, οἷόν ἐστι

'νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι'.

τῷ μὲν γὰρ 'αἰνεῖν' σημαίνεται τὸ ἐπαινεῖν, αὐτῷ δὲ τῷ ἐπαινεῖν ἀντὶ τοῦ παραιτεῖσθαι νῦν κέχρηται, καθάπερ ἐν τῇ συνηθείᾳ 'καλῶς' φαμὲν 'ἔχειν' καὶ 'χαίρειν' κελεύομεν, ὅταν μὴ δεώμεθα μηδὲ λαμβάνωμεν. οὕτω δὲ καὶ τὴν 'ἐπαινὴν Περσεφόνειαν' 23
ἔνιοί φασιν ὡς παραιτητὴν εἰρῆσθαι. ταύτην δὴ τὴν

1, 84—86 H. 6, 79—80 R.

1. Hom. N 562 4. Id. ν 419 7. Id. Ε 352 10. Id. ε 332 392 13. Nauck. p. 523 15. O. T. 2 21. Hesiod. O. et D. 643

Digitized by Google

διαίρεσιν καὶ διάκρισιν τῶν ὀνομάτων ἐν τοῖς μείζοσι καὶ σπουδαιοτέρος παραφυλάττοντες ἀπὸ τῶν θεῶν ἀρχώμεθα διδάσκειν τοὺς νέους ὅτι χρῶνται τοῖς τῶν θεῶν ὀνόμασιν οἱ ποιηταὶ ποτὲ μὲν αὐτῶν ἐκείνων ἐφαπτόμενοι τῇ ἐννοίᾳ, ποτὲ δὲ δυνάμεις τινὰς ὧν οἱ θεοὶ δοτῆρές εἰσι καὶ καθηγεμόνες ὁμωνύμως προσαγορεύοντες. οἷον εὐθὺς ὁ Ἀρχίλοχος, ὅταν μὲν εὐχόμενος λέγῃ

B ‘κλῦθ’ ἄναξ Ἥφαιστε καί μοι σύμμαχος γουνουμένῳ
Ἴλαος γενοῦ, χαρίζευ δ’ οἷάπερ χαρίζεαι’,

αὐτὸν τὸν θεὸν ἐπικαλούμενος δῆλός ἐστιν· ὅταν δὲ τὸν ἄνδρα τῆς ἀδελφῆς ἠφανισμένον ἐν θαλάττῃ καὶ μὴ τυχόντα νομίμου ταφῆς θρηνῶν λέγῃ μετριώτερον ἂν τὴν συμφορὰν ἐνεγκεῖν

‘εἰ κείνου κεφαλὴν καὶ χαρίεντα μέλεα
Ἥφαιστος καθαροῖσιν ἐν εἵμασιν ἀμφεπονήθη’,

τὸ πῦρ οὕτως, οὐ τὸν θεὸν προσηγόρευσε. πάλιν δ’ ὁ μὲν Εὐριπίδης εἰπὼν ἐν ὅρκῳ

‘μὰ τὸν μετ’ ἄστρων Ζῆν’ Ἄρη τε φοίνιον’

αὐτοὺς τοὺς θεοὺς ὠνόμασε· τοῦ δὲ Σοφοκλέους λέγοντος

C ‘τυφλὸς γάρ, ὦ γυναῖκες, οὐδ’ ὁρῶν Ἄρης
συὸς προσώπῳ πάντα τυρβάζει κακά’·

τὸν πόλεμον ἔστιν ὑπακοῦσαι, καθάπερ αὖ τὸν χαλκὸν Ὁμήρου λέγοντος

‘τῶν νῦν αἷμα κελαινὸν ἐύρροον ἀμφὶ Σκάμανδρον
ἐσκέδας’ ὀξὺς Ἄρης’.

1, 86—87 H. 6, 80—82 B.

9. Bergk. p. 553 16. Id. p. 538 19. Εὐριπίδης] Phoen. 1013 23. Nauck. p. 247 26. Ὁμήρου] H 329

Digitized by Google

πολλῶν οὖν οὕτω λεγομένων εἰδέναι δεῖ καὶ μνημονεύειν ὅτι καὶ τῷ τοῦ Διὸς καὶ Ζηνὸς ὀνόματι ποτὲ μὲν τὸν θεὸν ποτὲ δὲ τὴν τύχην πολλάκις δὲ τὴν εἱ- D
μαρμένην προσαγορεύουσιν. ὅταν μὲν γὰρ λέγωσι

'Ζεῦ πάτερ, Ἰδηθεν μεδέων'

καί

'ὦ Ζεῦ, τίς εἶναί φησι σοῦ σοφώτερος';

τὸν θεὸν αὐτὸν λέγουσιν· ὅταν δὲ ταῖς αἰτίαις πάντων τῶν γιγνομένων ἐπονομάζωσι τὸν Δία καὶ λέγωσι

'Διὸς δ' ἐτελείετο βουλή',

τὴν εἱμαρμένην. οὐ γὰρ τὸν θεὸν ὁ ποιητὴς οἴεται κακὰ μηχανᾶσθαι τοῖς ἀνθρώποις, ἀλλὰ τὴν τῶν πραγμάτων ἀνάγκην ὀρθῶς ὑποδείκνυσιν, ὅτι καὶ πόλεσι E
καὶ στρατοπέδοις καὶ ἡγεμόσιν, ἂν μὲν σωφρονῶσιν, εὖ πράττειν πέπρωται καὶ κρατεῖν τῶν πολεμίων, ἂν δ' εἰς πάθη καὶ ἁμαρτίας ἐμπεσόντες ὥσπερ οὗτοι διαφέρωνται πρὸς ἀλλήλους καὶ στασιάζωσιν, ἀσχημονεῖν καὶ ταράττεσθαι καὶ κακῶς ἀπαλλάττειν.

'εἱμαρμένον γὰρ τῶν κακῶν βουλευμάτων
κακὰς ἀμοιβὰς ἐστι καρποῦσθαι βροτοῖς.'

καὶ μὴν ὁ Ἡσίοδος τὸν Προμηθέα ποιῶν τῷ Ἐπιμηθεῖ παρακελευόμενον

'μή ποτε δῶρα
δέξασθαι πὰρ Ζηνὸς Ὀλυμπίου ἀλλ' ἀποπέμπειν',

ἐπὶ τῇ τῆς τύχης δυνάμει τῷ Διὸς ὀνόματι κέχρηται· F

1, 86—87 H. 6, 82—83 R

5. Hom. Γ 276. H 202. Ω 308 7. Nauck. p. 694
11. Homer. A 5. Ante Διός erat πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄιδι προΐαψεν, quod expunxi 20. Nauck. p. 695 24. O. et D. 86

Digitized by Google

τὰ γὰρ τυχηρὰ τῶν ἀγαθῶν Διὸς δῶρα κέκληκε, πλούτους καὶ γάμους καὶ ἀρχὰς καὶ πάντα ὅλως τὰ ἐκτός, ὧν ἡ κτῆσις ἀνόνητός ἐστι τοῖς χρῆσθαι καλῶς μὴ δυναμένοις. διὸ καὶ τὸν Ἐπιμηθέα φαῦλον ὄντα καὶ ἀνόητον οἴεται δεῖν φυλάττεσθαι καὶ δεδιέναι τὰς εὐτυχίας, ὡς βλαβησόμενον καὶ διαφθαρησόμενον ὑπ' αὐτῶν. καὶ πάλιν ὅταν λέγῃ

'μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρί
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων',

θεόδοτον νῦν τὸ τυχηρὸν εἴρηκεν, ὡς οὐκ ἄξιον ἐγ-
24 καλεῖν τοῖς διὰ τὴν τύχην πενομένοις, ἀλλὰ τὴν μετ' ἀργίας καὶ μαλακίας καὶ πολυτελείας ἀπορίαν κακίζειν αἰσχρὰν καὶ ἐπονείδιστον οὖσαν. οὕπω γὰρ αὐτὸ τοὔνομα τῆς τύχης λέγοντες, εἰδότες δὲ τὴν τῆς ἀτακτως καὶ ἀορίστως περιφερομένης αἰτίας δύναμιν ἰσχυρὰν καὶ ἀφύλακτον οὖσαν ἀνθρωπίνῳ λογισμῷ τοῖς τῶν θεῶν ὀνόμασιν ἐξέφραζον, ὥσπερ ἡμεῖς καὶ πράγματα καὶ ἤθη καὶ νὴ Δία λόγους καὶ ἄνδρας εἰώθαμεν δαιμονίους καὶ θείους προσαγορεύειν. οὕτω δὴ τὰ πολλὰ τῶν ἀτόπως περὶ τοῦ Διὸς λέγεσθαι δοκούντων ἐπανορθωτέον, ὧν ἐστι καὶ ταῦτα

'δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
B κηρῶν ἔμπλειοι, ὁ μὲν ἐσθλῶν, αὐτὰρ ὁ δειλῶν'

καί

'ὅρκια μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεσσεν,
ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισι'

καί

'τότε γάρ ῥα κυλίνδετο πήματος ἀρχὴ
Τρωσί τε καὶ Δαναοῖσι Διὸς μεγάλου διὰ βουλάς',

1, 88—89 H. 6, 83—85 R.

8. O. et D. 717 22. Homer. Ω 527 23. Plat. Rep. II. p. 379 D 25. Homer. H 69 28. Id. θ 81

Digitized by Google

ὡς περὶ τῆς τύχης ἢ τῆς εἱμαρμένης λεγομένων, ἐν αἷς τὸ ἀσυλλόγιστον ἡμῖν τῆς αἰτίας συνεκφαίνεται καὶ τὸ ὅλως οὐ καθ' ἡμᾶς. ὅπου δὲ τὸ προσῆκον καὶ κατὰ λόγον καὶ εἰκός ἐστιν, ἐνταῦθα κυρίως ὀνομάζεσθαι τὸν θεὸν νομίζωμεν, ὥσπερ ἐν τούτοις

'αὐτὰρ ὃ τῶν ἄλλων ἐπεπωλεῖτο στίχας ἀνδρῶν, C
Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο·
Ζεὺς γάρ οἱ νεμέσα ὅτ' ἀμείνονι φωτὶ μάχοιτο'

καί

'Ζεὺς γὰρ τὰ μὲν μέγιστα φροντίζει βροτῶν,
τὰ μικρὰ δ' ἄλλοις δαίμοσιν παρεὶς ἐᾷ'.

σφόδρα δὲ δεῖ καὶ τοῖς ἄλλοις ὀνόμασι προσέχειν, κατὰ πολλὰ κινουμένοις καὶ μεθισταμένοις ὑπὸ τῶν ποιητῶν. οἷόν ἐστι καὶ τὸ τῆς ἀρετῆς. ἐπεὶ γὰρ οὐ μόνον ἔμφρονας παρέχεται καὶ δικαίους καὶ ἀγαθοὺς D ἐν πράξεσι καὶ λόγοις, ἀλλὰ καὶ δόξας ἐπιεικῶς καὶ δυνάμεις περιποιεῖται, παρὰ τοῦτο ποιοῦνται καὶ τὴν εὐδοξίαν ἀρετὴν καὶ τὴν δύναμιν ὀνομάζοντες, ὥσπερ 'ἐλάαν' τὸν ἀπὸ τῆς ἐλάας, καὶ 'φηγὸν' τὸν ἀπὸ τῆς φηγοῦ καρπὸν ὁμωνύμως τοῖς φέρουσιν. οὐκοῦν ὁ νέος ἡμῖν, ὅταν μὲν λέγωσι

'τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν'

καί

'τῆμος σφῇ ἀρετῇ Δαναοὶ ῥήξαντο φάλαγγας'

καί

1, 89—90 H. 6, 85—87 R.

2. συνεκφαίνεται*: συμβαίνεται 3. τὸ ὅλως*: ὅλως 5. νομίζωμεν W: νομίζομεν 6. Homer. Λ 540 8. νεμέσαcχ' Aristot. Rhet. II 9, νεμεσᾶθ' Plutarch. de Vita et Poesi Hom. §. 132. ὅτ' iidem: ἄν 10. Nauck. p. 695 13. πολλὰ Reiskius: πολλὰ πράγματα 18. τὴν addidit Reiskius 22. Hesiod. O. et D. 289 24. Homer. Λ 90

Digitized by Google

'εἰ δὲ θανεῖν θέμις, ὧδε θανεῖν καλόν,
εἰς ἀρετὴν καταδυσαμένους βίον',

E εὐθὺς οἰέσθω λέγεσθαι ταῦτα περὶ τῆς ἀρίστης καὶ θειοτάτης ἕξεως ἐν ἡμῖν, ἣν ὀρθότητα λόγου καὶ ἀκρότητα λογικῆς φύσεως καὶ διάθεσιν ὁμολογουμένην ψυχῆς νοοῦμεν. ὅταν δ' ἀναγιγνώσκῃ πάλιν τό τε

'Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε'

καὶ τό

'πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ',

μὴ 'καθήσθω' τοὺς πλουσίους ἐκπεπληγμένος καὶ 'τεθηπὼς' καθάπερ ὤνιον εὐθὺς ἀργυρίου τὴν ἀρετὴν ἔχοντας, μηδ' ἐπὶ τῇ τύχῃ κεῖσθαι τὴν αὐτοῦ φρόνησιν αὔξειν ἢ κολούειν νομίζων, ἀλλ' ἀντὶ δόξης ἢ δυνάμεως ἢ εὐτυχίας ἤ τινος ὁμοίου τῇ ἀρετῇ κεχρῆ-
F σθαι τὸν ποιητὴν ἡγείσθω. καὶ γὰρ τῇ κακότητι ποτὲ μὲν ἰδίως σημαίνουσι κακίαν καὶ μοχθηρίαν ψυχῆς, ὡς Ἡσίοδος

'τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι',

ποτὲ δ' ἄλλην τινὰ κάκωσιν ἢ δυστυχίαν, ὡς Ὅμηρος

'αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν'.

ἐπεὶ καὶ τὴν εὐδαιμονίαν ἐξαπατηθείη τις ἂν οὕτω τοὺς ποιητὰς οἰόμενος λέγειν, ὡς οἱ φιλόσοφοι λέγουσι τὴν παντελῆ τῶν ἀγαθῶν ἕξιν ἢ κτῆσιν ἢ καὶ τελειότητα βίου κατὰ φύσιν εὑροοῦντος, ἀλλ' οὐχὶ καταχρωμένους πολλάκις τὸν πλούσιον εὐδαίμονα καλεῖν ἢ μακάριον καὶ τὴν δύναμιν ἢ τὴν δόξαν εὐδαιμονίαν. Ὅμηρος μὲν γὰρ ὀρθῶς κέχρηται τοῖς ὀνόμασιν

1, 90—92 H. 6, 87—88 B.

1. Nauck. p. 529 7. Homer. Υ 242 9. Hesiod. O. et D. 313 18. Id. O. et D. 287 19. Ὅμηρος] τ 360

Digitized by Google

'ὡς οὔ τοι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω'

καὶ Μένανδρος

'ἔχω δὲ πολλὴν οὐσίαν καὶ πλούσιος
καλοῦμ' ὑπὸ πάντων, μακάριος δ' ὑπ' οὐδενός',

Εὐριπίδης δὲ πολλὴν ἐργάζεται ταραχὴν καὶ σύγχυσιν ὅταν λέγῃ

'μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος' B

καί

'τί τὴν τυραννίδ', ἀδικίαν εὐδαίμονα,
τιμᾷς';

ἂν μή τις, ὥσπερ εἴρηται, ταῖς μεταφοραῖς καὶ καταχρήσεσι τῶν ὀνομάτων ἔπηται. ταῦτα μὲν οὖν ἱκανῶς περὶ τούτων.

7. Ἐκεῖνο δ' οὐχ ἅπαξ ἀλλὰ πολλάκις ὑπομνητέον ἐστὶ τοὺς νέους ἐνδεικνύμενον αὐτοῖς, ὅτι μιμητικὴν ἡ ποίησις ὑπόθεσιν ἔχουσα κόσμῳ μὲν καὶ λαμπρότητι χρῆται περὶ τὰς ὑποκειμένας πράξεις καὶ τὰ ἤθη, τὴν δ' ὁμοιότητα τοῦ ἀληθοῦς οὐ προλείπει, τῆς μιμήσεως ἐν τῷ πιθανῷ τὸ ἀγωγὸν ἐχούσης. διὸ C καὶ κακίας καὶ ἀρετῆς σημεῖα μεμιγμένα ταῖς πράξεσιν ἡ μὴ παντάπασι τῆς ἀληθείας ὀλιγωροῦσα μίμησις συνεκφέρει, ὥσπερ ἡ Ὁμήρου πολλὰ πάνυ τοῖς Στωϊκοῖς χαίρειν φράζουσα, μήτε τι φαῦλον ἀρετῇ προσεῖναι μήτε κακίᾳ χρηστὸν ἀξιοῦσιν, ἀλλὰ πάντως μὲν ἐν πᾶσιν ἁμαρτωλὸν εἶναι τὸν ἀμαθῆ, περὶ πάντα δ' αὖ κατορθοῦν τὸν ἀστεῖον. ταῦτα γὰρ ἐν ταῖς σχολαῖς ἀκούομεν. ἐν δὲ τοῖς πράγμασι καὶ τῷ βίῳ τῶν πολλῶν κατὰ τὸν Εὐριπίδην

1, 92—93 H. 6, 88—89 B.

1. Hom. δ 93 3. Meinek. IV, p. 266 7. Med. 603 9. Phoen. 552

Digitized by Google

'οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά,
D ἀλλ' ἔστι τις σύγκρασις'.

ἄνευ δὲ τοῦ ἀληθοῦς μάλιστα μὲν ἡ ποιητικὴ τῷ ποικίλῳ χρῆται καὶ πολυτρόπῳ. τὸ γὰρ ἐμπαθὲς καὶ παράλογον καὶ ἀπροσδόκητον, ᾧ πλείστη μὲν ἔκπληξις ἕπεται πλείστη δὲ χάρις, αἱ μεταβολαὶ παρέχουσι τοῖς μύθοις· τὸ δ' ἁπλοῦν ἀπαθὲς καὶ ἄμυθον. ὅθεν οὔτε νικῶντας ἀεὶ πάντα ποιοῦσι τοὺς αὐτοὺς οὔτ' εὐημεροῦντας οὔτε κατορθοῦντας. ἀλλ' οὐδὲ τοῖς θεοῖς, ὅταν εἰς ἀνθρωπίνας ἐμπέσωσι πράξεις, ἀπαθέσι χρῶνται καὶ ἀναμαρτήτοις, ἵνα μηδαμοῦ τό τε ταράττον καὶ τὸ ἐκπλῆττον ἀργῇ τῆς ποιήσεως ἀκίνδυνον καὶ ἀναγώνιστον γιγνόμενον.

E 8. Οὕτως οὖν τούτων ἐχόντων ἐπάγωμεν τοῖς ποιήμασι τὸν νέον μὴ τοιαύτας ἔχοντα δόξας περὶ τῶν καλῶν ἐκείνων καὶ μεγάλων ὀνομάτων, ὡς ἄρα σοφοὶ καὶ δίκαιοι οἱ ἄνδρες ἦσαν, ἄκροι τε βασιλεῖς καὶ κανόνες ἀρετῆς ἁπάσης καὶ ὀρθότητος. ἐπεὶ βλαβήσεται μεγάλα δοκιμάζων πάντα καὶ τεθηπώς, μὴ δυσχεραίνων δὲ μηδὲν μηδ' ἀκούων μηδ' ἀποδεχόμενος τοῦ ψέγοντος αὐτοὺς τοιαῦτα πράττοντας καὶ λέγοντας

'αἶ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
μήτε τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασι,
F μήτε τις Ἀργείων, νῶιν δ' ἐκδῦμεν ὄλεθρον,
ὄφρ' οἷοι Τροίης ἱερὰ κρήδεμνα λύοιμεν'

καί

'οἰκτροτάτην δ' ἤκουσα ὅπα Πριάμοιο θυγατρός
Κασσάνδρης, τὴν κτείνε Κλυταιμνήστρη δολόμητις
ἀμφ' ἐμοί'

1, 93—94 H. 6, 90—91 R

1. Nauck. p. 294 13. ἀναγώνιστον W: ἀνταγώνιστον
22. Homer. Π 97 37. Id. Λ 421

Digitized by Google

καί

'παλλακίδι προμιγῆναι, ἵν' ἐχθήρειε γέροντα.
τῇ πιθόμην καὶ ἔρεξα'

καί

'Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος'.

μηδὲν οὖν ἐπαινεῖν ἐθιζέσθω τοιοῦτον ὁ νέος, μηδὲ 26
προφάσεις λέγων μηδὲ παραγωγάς τινας εὐπρεπεῖς
ἐπὶ πράγμασι φαύλοις μηχανώμενος πιθανὸς ἔστω καὶ
πανοῦργος, ἀλλ' ἐκεῖνο μᾶλλον οἰέσθω, μίμησιν εἶναι
τὴν ποίησιν ἠθῶν καὶ βίων, καὶ ἀνθρώπων οὐ τελείων
οὐδὲ καθαρῶν οὐδ' ἀνεπιλήπτων παντάπασιν, ἀλλὰ
μεμιγμένων πάθεσι καὶ δόξαις ψευδέσι καὶ ἀγνοίαις,
διὰ δ' εὐφυΐαν αὐτοὺς πολλάκις μετατιθέντων πρὸς
τὸ κρεῖττον. ἡ γὰρ τοιαύτη παρασκευὴ τοῦ νέου καὶ
διάνοια, τοῖς μὲν εὖ λεγομένοις καὶ πραττομένοις
ἐπαιρομένου καὶ συνενθουσιῶντος, τὰ δὲ φαῦλα μὴ B
προσιεμένου καὶ δυσχεραίνοντος, ἀβλαβῆ παρέξει τὴν
ἀκρόασιν. ὁ δὲ πάντα θαυμάζων καὶ πᾶσιν ἐξοικειού-
μενος καὶ καταδεδουλωμένος τῇ δόξῃ τὴν κρίσιν ὑπὸ
τῶν ἠρωϊκῶν ὀνομάτων, ὥσπερ οἱ τὴν Πλάτωνος ἀπο-
μιμούμενοι κυρτότητα καὶ τὴν Ἀριστοτέλους τραυλό-
τητα, λήσεται πρὸς πολλὰ τῶν φαύλων εὐχερὴς γενόμε-
νος. δεῖ δὲ μὴ δειλῶς μηδ' ὥσπερ ὑπὸ δεισιδαιμονίας
ἐν ἱερῷ φρίττειν ἅπαντα καὶ προσκυνεῖν, ἀλλὰ θαρρα-
λέως ἐθιζόμενον ἐπιφωνεῖν μηδὲν ἧττον τοῦ 'ὀρθῶς'
καὶ 'πρεπόντως' τὸ 'οὐκ ὀρθῶς' καὶ 'οὐ προσηκόν-
τως'. οἷον ὁ Ἀχιλλεὺς ἐκκλησίαν συνάγει τῶν στρα- C
τιωτῶν νοσούντων, ἀσχάλλων μὲν ἀργοῦντι τῷ πο-
λέμῳ μάλιστα πάντων διὰ τὴν ἐν ταῖς στρατείαις
ἐπιφάνειαν αὐτοῦ καὶ δόξαν, ἰατρικὸς δ' ὢν καὶ μεθ'

1, 94—96 H. 6, 91—93 R.

2. Hom. I 452 5. Id. Γ 365

Digitized by Google

ἡμέραν ἐνάτην ᾗ ταῦτα κρίνεσθαι πέφυκεν αἰσθόμενος οὐκ οὖσαν συνήθη τὴν νόσον οὐδὲ συνεστῶσαν ἀπὸ κοινῶν αἰτιῶν, ἀναστὰς οὐ δημαγωγεῖ τὸν ὄχλον, ἀλλὰ τῷ βασιλεῖ γίγνεται σύμβουλος

'Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας ὀίω
ἆψ ἀπονοστήσειν',

D ὀρθῶς ταῦτα καὶ μετρίως καὶ πρεπόντως. τοῦ δὲ μάντεως δεδιέναι φήσαντος τὴν ὀργὴν τοῦ δυνατωτάτου τῶν Ἑλλήνων, οὐκέτ' ὀρθῶς οὐδὲ μετρίως, ἐπομόσας μηδένα προσοίσειν χεῖρας αὐτῷ ζῶντος αὐτοῦ, προστίθησιν

'οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς',

ἐνδεικνύμενος ὀλιγωρίαν καὶ περιφρόνησιν τοῦ ἄρχοντος. ἐκ δὲ τούτου μᾶλλον παροξυνθεὶς ἐπὶ τὸ ξίφος φέρεται, σφάττειν διανοούμενος, οὔτε πρὸς τὸ καλὸν ὀρθῶς οὔτε πρὸς τὸ συμφέρον. εἶτ' αὖθις μετανοήσας

'ἆψ ἐς κουλεὸν ὦσε μέγα ξίφος, οὐδ' ἀπίθησε
E μύθῳ Ἀθηναίης',

ὀρθῶς πάλιν καὶ καλῶς, ὅτι τὸν θυμὸν ἐκκόψαι παντάπασι μὴ δυνηθείς, ὅμως, πρὶν ἀνήκεστόν τι δρᾶσαι, μετέστησε καὶ κατέσχεν εὐπειθῆ τῷ λογισμῷ γενόμενον. πάλιν ὁ Ἀγαμέμνων ἐν μὲν τοῖς περὶ τὴν ἐκκλησίαν γιγνομένοις καὶ λεγομένοις ὑπ' αὐτοῦ καταγέλαστός ἐστιν, ἐν δὲ τοῖς περὶ Χρυσηίδα σεμνότερος καὶ βασιλικώτερος. ὁ μὲν γὰρ Ἀχιλλεὺς ἀγομένης τῆς Βρισηίδος

'δακρύσας ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθείς',

οὗτος δ' αὐτὸς εἰς τὴν ναῦν ἐμβιβάζων καὶ παραδι-

1, 96—97 H. 6, 93—94 R.

3. τὸν Aldina: πρὸς τὸν 5. Homer. A 59 12. Id. A 90 18. Id. A 220 28. Id. A 349

Digitized by Google

δοὺς καὶ ἀποπέμπων τὴν ἄνθρωπον ἧν ὀλίγῳ πρό- F
σθεν εἴρηκε τῆς γαμετῆς τῇ εὐνοίᾳ προκρίνειν, οὐδὲν
ἐρωτικὸν οὐδ' αἰσχρὸν ἐποίησε. καὶ μὴν ὁ Φοίνιξ
διὰ τὴν παλλακίδα κατάρατος ὑπὸ τοῦ πατρὸς γενό-
μενος

'τὸν μὲν ἐγώ' φησί 'βούλευσα κατακτάμεν ὀξέι
χαλκῷ·
ἀλλά τις ἀθανάτων παῦσεν χόλον, ὅς ῥ' ἐνὶ θυμῷ
δήμου θῆκε φάτιν καὶ ὀνείδεα πόλλ' ἀνθρώπων,
ὡς μὴ πατροφόνος μετ' Ἀχαιοῖσιν καλεοίμην'.

ὁ μὲν οὖν Ἀρίσταρχος ἐξεῖλε ταῦτα τὰ ἔπη φοβηθείς·
ἔχει δὲ πρὸς τὸν καιρὸν ὀρθῶς, τοῦ Φοίνικος τὸν
Ἀχιλλέα διδάσκοντος οἷόν ἐστιν ὀργὴ καὶ ὅσα διὰ 27
θυμὸν ἄνθρωποι τολμῶσι, μὴ χρώμενοι λογισμῷ μηδὲ
πειθόμενοι τοῖς παρηγοροῦσι. καὶ γὰρ τὸν Μελέαγρον
ἐπεισάγει τοῖς πολίταις ὀργιζόμενον, εἶτα πραϋνόμε-
νον, ὀρθῶς τὰ πάθη ψέγων, τὸ δὲ μὴ συνακολουθεῖν
ἀλλ' ἀντιτάττεσθαι καὶ κρατεῖν καὶ μετανοεῖν ἐπαινῶν
ὡς καλὸν καὶ συμφέρον. ἐνταῦθα μὲν οὖν ἡ διαφορὰ
πρόδηλος· ὅπου δ' ἀσαφῆ τὰ τῆς γνώμης, διοριστέον
οὕτω πως ἐφιστάντας τὸν νέον. εἰ μὲν ἡ Ναυσικάα
ξένον ἄνδρα τὸν Ὀδυσσέα θεασαμένη καὶ παθοῦσα τὸ
τῆς Καλυψοῦς πάθος πρὸς αὐτόν, ἅτε δὴ τρυφῶσα
καὶ γάμων ὥραν ἔχουσα, τοιαῦτα μωραίνει πρὸς τὰς B
θεραπαινίδας

'αἴ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
ἐνθάδε ναιετάων, καί οἱ ἅδοι αὐτόθι μίμνειν',

ψεκτέον τὸ θράσος αὐτῆς καὶ τὴν ἀκολασίαν· εἰ δὲ
τοῖς λόγοις τοῦ ἀνδρὸς τὸ ἦθος ἐνιδοῦσα καὶ θαυμά-
σασα τὴν ἔντευξιν αὐτοῦ πολὺν νοῦν ἔχουσαν εὔχεται

1, 97—98 H. 6, 94—96 R.

6. Hom. I 458 26. ἐμοὶ idem ζ 244: ἐμεῦ

Digitized by Google

τοιούτῳ συνοικεῖν μᾶλλον ἢ πλωτικῷ τινι καὶ ὀρχηστικῷ τῶν πολιτῶν, ἄξιον ἄγασθαι. πάλιν τῆς Πηνελόπης τοῖς μνηστῆρσι προσδιαλεγομένης οὐκ ἀπανθρώπως, ἐκείνων δ' αὐτῇ χαριζομένων ἱμάτια καὶ κόσμον ἄλλον, ἡδόμενος Ὀδυσσεύς

C ‘οὕνεκα τῶν μὲν δῶρα παρέλκετο, θέλγε δὲ θυμόν’,

εἰ μὲν ἐπὶ τῇ δωροδοκίᾳ καὶ πλεονεξίᾳ χαίρει, τὸν κωμῳδούμενον ὑπερβάλλει μαστροπείᾳ Πολίαγρον

‘εὐδαίμων Πολίαγρος
οὐράνιον αἶγα πλουτοφόρον τρέφων’·

εἰ δὲ μᾶλλον οἰόμενος ὑποχειρίους ἕξειν διὰ τὴν ἐλπίδα καὶ τὸ μέλλον οὐ προσδοκῶντας, λόγον ἔχει τὸ ἡδόμενον αὐτῷ καὶ θαρροῦν. ὁμοίως ἐπὶ τῇ διαριθμήσει τῶν χρημάτων, ἃ συνεξέθηκαν οἱ Φαίακες αὐτῷ καὶ ἀπέπλευσαν, εἰ μὲν ἀληθῶς ἐν ἐρημίᾳ το-
D σαύτῃ καὶ τῶν καθ' αὑτὸν ἀσαφείᾳ καὶ ἀδηλότητι γεγονὼς περὶ τῶν χρημάτων φοβεῖται

‘μή τι οἱ οἴχωνται κοίλης ἐπὶ νηὸς ἄγοντες’,

οἰκτείρειν ἄξιον ἢ βδελύττεσθαι νὴ Δία τὴν φιλοπλουτίαν· εἰ δ', ὥσπερ ἔνιοι λέγουσι, περὶ τῆς Ἰθάκης ἀμφιδοξῶν οἴεται τὴν τῶν χρημάτων σωτηρίαν ἀπόδειξιν εἶναι τῆς τῶν Φαιάκων ὁσιότητος (οὐ γὰρ ἂν ἀκερδῶς φέροντας αὐτὸν εἰς ἀλλοτρίαν ἐκβαλεῖν χώραν καὶ καταλιπεῖν, ἀποσχομένους τῶν χρημάτων), οὔτε φαύλῳ τεκμηρίῳ χρῆται, καὶ τὴν πρόνοιαν ἄξιον
E ἐπαινεῖν. ἔνιοι δὲ καὶ τὴν ἔκθεσιν αὐτὴν εἰ μὲν

1, 98—100 H. 6, 96—97 R

6. Homer. c 282 10. Meinek. IV. p. 667 19. Homer. ν 216 ἄγοντες idem: ἔχοντες

Digitized by Google

ἀληθῶς ἐγένετο καθεύδοντος ψέγουσι, καὶ Τυρρηνοὺς ἱστορίαν τινά φασι διαφυλάττειν ὡς ὑπνώδους φύσει τοῦ Ὀδυσσέως γενομένου καὶ δυσεντεύκτου διὰ τοῦτο τοῖς πολλοῖς ὄντος. εἰ δ' οὐκ ἦν ἀληθὴς ὁ ὕπνος, ἀλλ' αἰδούμενος μὲν ἀποπέμψαι τοὺς Φαίακας ἄνευ ξενίων καὶ φιλοφροσύνης, μὴ δυνάμενος δὲ τοὺς ἐχθροὺς λαθεῖν ἐκείνων συμπαρόντων ἐχρήσατο τῆς ἀπορίας παρακαλύμματι, κοιμωμένῳ ποιήσας ὅμοιον ἑαυτόν, ἀποδέχονται. καὶ ταῦτα δὴ τοῖς νέοις ὑποδεικνύοντες οὐκ ἐάσομεν φορὰν πρὸς τὰ φαῦλα γίγνεσθαι τῶν ἠθῶν ἀλλὰ τῶν βελτιόνων ζῆλον καὶ προαίρεσιν, εὐθὺς τοῖς μὲν τὸ ψέγειν τοῖς δὲ τὸ ἐπαινεῖν F ἀποδιδόντες. μάλιστα δὲ τοῦτο ποιεῖν δεῖ ἐν ταῖς τραγῳδίαις, ὅταν λόγους ἔχουσι πιθανοὺς καὶ πανούργους ἐν πράξεσιν ἀδόξοις καὶ πονηραῖς. οὐ πάνυ γὰρ ἀληθὲς τὸ τοῦ Σοφοκλέους λέγοντος

'οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά'·

καὶ γὰρ αὐτὸς εἴωθεν ἤθεσι φαύλοις καὶ ἀτόποις πράγμασι λόγους ἐπιγελῶντας καὶ φιλανθρώπους αἰτίας πορίζειν. καὶ ὁ σύσκηνος αὐτοῦ πάλιν ὁρᾷς ὅτι τήν τε Φαίδραν καὶ προσεγκαλοῦσαν τῷ Θησεῖ πεποίηκεν 28 ὡς διὰ τὰς ἐκείνου παρανομίας ἐρασθεῖσαν τοῦ Ἱππολύτου. τοιαύτην δὲ καὶ τῇ Ἑλένῃ παρρησίαν κατὰ τῆς Ἑκάβης ἐν ταῖς Τρωάσι δίδωσιν, οἰομένῃ δεῖν ἐκείνην κολάζεσθαι μᾶλλον ὅτι μοιχὸν αὐτῆς ἔτεκε. μηδὲν οὖν τούτων κομψὸν ἡγεῖσθαι καὶ πανοῦργον ὁ νέος ἐθιζέσθω, μηδὲ προσμειδιάτω ταῖς τοιαύταις εὑρεσιλογίαις, ἀλλὰ βδελυττέσθω τοὺς λόγους μᾶλλον ἢ τὰ ἔργα τῆς ἀκολασίας.

1, 100—101 H. 6, 97—99 R

17. Nauck. p. 247 18. αὐτὸς Emperius: οὗτος 19. Nauck. Eurip. Fr. 430[b] p. 113 24. Τρωάσι] V. 919

Digitized by Google

9. Ἐπὶ πᾶσι τοίνυν καὶ τὸ τὴν αἰτίαν ἑκάστου
B τῶν λεγομένων ἐπιζητεῖν χρήσιμόν ἐστιν. ὁ μὲν γὰρ
Κάτων ἔτι παιδάριον ὢν ἔπραττε μὲν ὃ προστάξειεν
ὁ παιδαγωγός, αἰτίαν δὲ καὶ λόγον ἀπῄτει τοῦ προ-
στάγματος· τοῖς δὲ ποιηταῖς οὐ πειστέον ὥσπερ παι- 5
δαγωγοῖς ἢ νομοθέταις, ἂν μὴ λόγον ἔχῃ τὸ ὑποκεί-
μενον. ἔξει δέ, ἄνπερ χρηστὸν ᾖ· ἂν δὲ μοχθηρόν,
ὀφθήσεται κενὸν καὶ μάταιον. ἀλλ' οἱ πολλοὶ τῶν
μὲν τοιούτων τὰς αἰτίας πικρῶς ἀπαιτοῦσι, καὶ δια-
πυνθάνονται πῶς λέλεκται 10

'μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν
πινόντων'

καί

'ὃς δέ κ' ἀνὴρ ἀπὸ ὧν ὀχέων ἕτερ' ἅρμαθ' ἵκηται,
C ἔγχει ὀρεξάσθω'. 15

τῶν δὲ μειζόνων ἀβασανίστως παραδέχονται τὴν πί-
στιν, οἷα καὶ ταῦτ' ἐστίν

'δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
ὅταν συνειδῇ μητρὸς ἢ πατρὸς κακά',

καί 20

'σμικρὸν φρονεῖν χρὴ τὸν κακῶς πεπραγότα'.

καίτοι ταῦτα τῶν ἠθῶν ἅπτεται καὶ τοὺς βίους διατα-
ράττει, κρίσεις ἐμποιοῦντα φαύλας καὶ δόξας ἀγεν-
νεῖς, ἂν μὴ πρὸς ἕκαστον αὐτῶν εἰθισμένοι λέγωμεν
D διὰ τί σμικρὸν φρονεῖν χρὴ τὸν κακῶς πεπραγότα 25
καὶ μὴ μᾶλλον ἀνταίρειν τῇ τύχῃ καὶ ποιεῖν ὑψηλὸν
ἑαυτὸν καὶ ἀταπείνωτον; διὰ τί δέ, ἂν ἐκ πατρὸς

1, 102—103 H. 6, 99—100 R

11. Hesiod. O. et D. 739 14. Homer. Δ 306 18. Eur. Hipp. 424 21. Nauck. p. 695 πεπραγότα Wagnerus: πεπραχότα 25. πεπραγότα*: πεπραχότα

Digitized by Google

φαύλου καὶ ἀνοήτου γεγονὼς αὐτὸς ὢν χρηστὸς καὶ φρόνιμος, οὐ προσήκει μοι διὰ τὴν ἐμὴν ἀρετὴν μέγα φρονεῖν ἀλλὰ καταπεπλῆχθαι καὶ ταπεινὸν εἶναι διὰ τὴν τοῦ πατρὸς ἀμαθίαν; ὁ γὰρ οὕτως ἁπάντων καὶ ἀντερείδων καὶ μὴ παντὶ λόγῳ πλάγιον ὥσπερ πνεύματι παραδιδοὺς ἑαυτὸν ἀλλ' ὀρθῶς ἔχειν νομίζων τὸ 'βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ φιλεῖ ἐπτοῆσθαι', πολλὰ διακρούσεται τῶν οὐκ ἀληθῶς οὐδ' ὠφελίμως λεγομένων. ταῦτα μὲν οὖν ἀβλαβῆ παρέξει τὴν τῶν ποιημάτων ἀκρόασιν.

10. Ἐπεὶ δ' ὥσπερ ἐν ἀμπέλου φύλλοις καὶ κλήμασιν εὐθαλοῦσι πολλάκις ὁ καρπὸς ἀποκρύπτεται καὶ λανθάνει κατασκιαζόμενος, οὕτως ἐν ποιητικῇ λέξει καὶ μυθεύμασι περικεχυμένοις πολλὰ διαφεύγει τὸν νέον ὠφέλιμα καὶ χρήσιμα (δεῖ δὲ τοῦτο μὴ πάσχειν μηδ' ἀποπλανᾶσθαι τῶν πραγμάτων, ἀλλ' ἐμφύεσθαι μάλιστα τοῖς πρὸς ἀρετὴν φέρουσι καὶ δυναμένοις πλάττειν τὸ ἦθος), οὐ χεῖρόν ἐστι καὶ περὶ τούτων διελθεῖν ἐν βραχέσιν, ἁψάμενον ὡς ἐν τύπῳ τῶν πραγμάτων, μήκη δὲ καὶ κατασκευὰς καὶ παραδειγμάτων ὄχλον ἐῶντα τοῖς ἐπιδεικτικώτερον γράφουσι. πρῶτον μὲν οὖν τὰ χρηστὰ καὶ τὰ φαῦλα γιγνώσκων ὁ νέος ἤθη καὶ πρόσωπα τοῖς λεγομένοις προσεχέτω καὶ ταῖς πράξεσιν ἃς ὁ ποιητὴς ἑκατέροις προσηκόντως ἀποδίδωσιν. οἷον ὁ Ἀχιλλεὺς πρὸς τὸν Ἀγαμέμνονα λέγει, καίπερ λέγων μετ' ὀργῆς

'οὐ γὰρ σοί ποτε ἶσον ἔχω γέρας, ὁππότ' Ἀχαιοί
Τρώων ἐκπέρσως' εὖ ναιόμενον πτολίεθρον',

ὁ δὲ Θερσίτης ταὐτῷ λοιδορούμενος λέγει

1, 103—105 H. 6, 100—102 B.

7. βλάξ] P. 41 A 27. Homer. A 163

Digitized by Google

'πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοί, ἄς τοι Ἀχαιοί
29 πρωτίστῳ δίδομεν, εὖτ' ἂν πτολίεθρον ἕλωμεν',

καὶ πάλιν ὁ Ἀχιλλεύς

'αἴ κέ ποθι Ζεύς
δῶσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι',

ὁ δὲ Θερσίτης

'ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν'.

πάλιν τοῦ Ἀγαμέμνονος ἐν τῇ ἐπιπωλήσει τὸν Διομήδην λοιδορήσαντος ὁ μὲν οὐδὲν ἀντεῖπεν

'αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο',

ὁ δὲ Σθένελος, οὗ μηδεὶς λόγος,

'Ἀτρεΐδη' φησί, 'μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν.

B ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι'.

ἡ γὰρ τοιαύτη διαφορὰ μὴ παρορωμένη διδάξει τὸν νέον ἀστεῖον ἡγεῖσθαι τὴν ἀτυφίαν καὶ μετριότητα, τὴν δὲ μεγαλαυχίαν καὶ περιαυτολογίαν ὡς φαῦλον εὐλαβεῖσθαι. χρήσιμον δὲ καὶ τὸ τοῦ Ἀγαμέμνονος κατανοεῖν ἐνταῦθα. τὸν μὲν γὰρ Σθένελον ἀπροσαύδητον παρῆλθε, τοῦ δ' Ὀδυσσέως οὐκ ἠμέλησεν ἀλλ' ἠμείψατο καὶ προσηγόρευεν

'ὡς γνῶ χωομένοιο· πάλιν δ' ὅ γε λάζετο μῦθον'.

τὸ μὲν γὰρ πᾶσιν ἀπολογεῖσθαι θεραπευτικὸν καὶ οὐκ
C ἀξιωματικόν· τὸ δὲ πάντων καταφρονεῖν ὑπερήφανον

1, 105—106 H. 6, 102—104 R.

1. Hom. B 226 2. κλισίῃς idem: κλισίῃ 5. Id. A 128 8. Id. B 231 11. Id. Δ 402 13. Id. Δ 404 24. Id. Δ 357

Digitized by Google

καὶ ἀνόητον. ἄριστα δ' ὁ Διομήδης ἐν μὲν τῇ μάχῃ σιωπᾷ κακῶς ἀκούων ὑπὸ τοῦ βασιλέως· μετὰ δὲ τὴν μάχην παρρησίᾳ χρῆται πρὸς αὐτόν

'ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσιν'.

εὖ δ' ἔχει καὶ φρονίμου διαφορὰν ἀνδρὸς καὶ μάντεως πανηγυρικοῦ μὴ παραλιπεῖν. ὁ μὲν γὰρ Κάλχας οὐ συνεῖδε τὸν καιρόν, ἀλλ' ἐν πλήθει παρ' οὐδὲν ἐποιήσατο κατηγορῆσαι τοῦ βασιλέως ὡς τὸν λοιμὸν αὐτοῖς ἐπαγαγόντος· ὁ δὲ Νέστωρ βουλόμενος ἐμβαλεῖν λόγον ὑπὲρ τῶν πρὸς τὸν Ἀχιλλέα διαλλαγῶν, ἵνα μὴ διαβαλεῖν δοκῇ τὸν Ἀγαμέμνονα πρὸς D τὸ πλῆθος ὡς ἁμαρτόντα καὶ χρησάμενον ὀργῇ,

'δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὔ τοι ἀεικές.
πολλῶν δ' ἀγρομένων τῷ πείσεαι ὅς κεν ἀρίστην
βουλὴν βουλεύσῃ'.

καὶ μετὰ τὸ δεῖπνον ἐξαποστέλλει τοὺς πρέσβεις· τοῦτο γὰρ ἦν ἐπανόρθωσις ἁμαρτίας, ἐκεῖνο δὲ κατηγορία καὶ προπηλακισμός.

Ἔτι δὲ καὶ τὰς ἐν τοῖς γένεσι διαφορὰς σκεπτέον, ὧν τοιοῦτός ἐστιν ὁ τρόπος. οἱ μὲν Τρῶες ἐπίασι μετὰ κραυγῆς καὶ θράσους, οἱ δ' Ἀχαιοί

'σιγῇ δειδιότες σημάντορας'.

τὸ γὰρ ἐν χερσὶ τῶν πολεμίων ὄντων φοβεῖσθαι τοὺς E ἄρχοντας ἀνδρείας ἅμα καὶ πειθαρχίας σημεῖον. ὅθεν ὁ μὲν Πλάτων ἐθίζει τοὺς ψόγους φοβεῖσθαι καὶ τὰ αἰσχρὰ μᾶλλον ἢ τοὺς πόνους καὶ τοὺς κινδύνους, ὁ δὲ Κάτων ἔλεγε φιλεῖν τοὺς ἐρυθριῶντας μᾶλλον ἢ τοὺς ὠχριῶντας. ἔστι δὲ καὶ τῶν ἐπαγγελιῶν ἴδιος χαρακτήρ. ὁ μὲν γὰρ Δόλων ἐπαγγέλλεται

1, 106—107 H. 6, 104—105 R.

3. Hom. I 34 12. Id. I 70 21. Id. Δ 431

Digitized by Google

'τόφρα γὰρ ἐς στρατὸν εἶμι διαμπερὲς ὄφρ' ἂν ἵκωμαι
νῆ' Ἀγαμεμνονέην',

ὁ δὲ Διομήδης ἐπαγγέλλεται μὲν οὐδέν, ἧττον δ' ἄν
F φησι φοβηθῆναι μεθ' ἑτέρου πεμπόμενος. Ἑλληνικὸν οὖν καὶ ἀστεῖον ἡ πρόνοια, βαρβαρικὸν δὲ καὶ φαῦλον ἡ θρασύτης· καὶ δεῖ τὸ μὲν ζηλοῦν τὸ δὲ δυσχεραίνειν. ἔχεται δέ τινος οὐκ ἀχρήστου θεωρίας καὶ τὸ περὶ τοὺς Τρῶας καὶ τὸν Ἕκτορα πάθος, τοῦ Αἴαντος αὐτῷ μονομαχεῖν μέλλοντος. ὁ μὲν γὰρ Αἰσχύλος Ἰσθμοῖ πύκτου πληγέντος εἰς τὸ πρόσωπον, καὶ κραυγῆς γενομένης 'οἷον' εἶπεν 'ἡ ἄσκησίς ἐστιν. οἱ θεώμενοι βοῶσιν, ὁ δὲ πληγεὶς σιωπᾷ'. τοῦ δὲ ποιητοῦ λέγοντος ὅτι τὸν Αἴαντα μετὰ τῶν ὅπλων προϊόντα λαμπρὸν οἱ μὲν Ἕλληνες ἔχαιρον ὁρῶντες,

30 'Τρῶας δὲ τρόμος αἰνὸς ἐπήλυθε γυῖα ἕκαστον,
Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσε',

τίς οὐκ ἂν ἀγάσαιτο τὴν διαφοράν; τοῦ μὲν κινδυνεύοντος ἡ καρδία πηδᾷ μόνον, ὥσπερ παλαίειν νὴ Δί' ἢ σταδιοδρομεῖν μέλλοντος, τῶν δὲ θεωμένων τρέμει καὶ πάλλεται τὸ σῶμα δι' εὔνοιαν καὶ φόβον ὑπὲρ τοῦ βασιλέως. ἐνταῦθα δὲ καὶ τὴν τοῦ κρατίστου πρὸς τὸν κάκιστον διαφορὰν ἀποθεωρητέον. ὁ μὲν γὰρ Θερσίτης

'ἔχθιστος δ' Ἀχιλῆι μάλιστ' ἦν ἠδ' Ὀδυσῆι',

B ὁ δ' Αἴας ἀεί τε τῷ Ἀχιλλεῖ προσφιλὴς καὶ πρὸς τὸν Ἕκτορα λέγει περὶ αὐτοῦ

1, 107 H. 6, 105—107 R.

1. Homer. K 325 15. προϊόντα*: ποιούντων 17. Homer. H 215 26. Id. B 220

Digitized by Google

'νῦν μὲν δὴ σάφα εἴσεαι οἰόθεν οἷος
οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι,
καὶ μετ' Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα'.

καὶ τοῦτο μὲν Ἀχιλλέως τὸ ἐγκώμιόν ἐστι, τὰ δ' ἑξῆς ὑπὲρ ἁπάντων εἴρηται χρησίμως

'ἡμεῖς δ' εἰμὲν τοῖοι οἵ ἂν σέθεν ἀντιάσαιμεν,
καὶ πολέες',

οὔτε μόνον οὔτ' ἄριστον ἀποφαίνων ἑαυτὸν ἀλλὰ μετὰ πολλῶν ὁμοίως δυνάμενον ἀμύνασθαι. ταῦτα C μὲν οὖν ἱκανὰ περὶ διαφορᾶς, ἂν μὴ κἀκεῖνο βουλώμεθα προσλαβεῖν, ὅτι τῶν Τρώων ἑαλώκασι πολλοὶ ζῶντες, οὐδεὶς δὲ τῶν Ἀχαιῶν, καὶ τῶν μὲν ὑποπεπτώκασιν ἔνιοι τοῖς πολεμίοις, ὥσπερ ὁ Ἄδραστος, οἱ Ἀντιμάχου παῖδες, ὁ Λυκάων, αὐτὸς ὁ Ἕκτωρ δεόμενος περὶ ταφῆς τοῦ Ἀχιλλέως, ἐκείνων δ' οὐδείς, ὡς βαρβαρικοῦ τοῦ ἱκετεύειν καὶ ὑποπίπτειν ἐν τοῖς ἀγῶσιν ὄντος, Ἑλληνικοῦ δὲ τοῦ νικᾶν μαχόμενον ἢ ἀποθνήσκειν.

11. Ἐπεὶ δ' ὥσπερ ἐν ταῖς νομαῖς ἡ μὲν μέλιττα διώκει τὸ ἄνθος, ἡ δ' αἶξ τὸν θαλλόν, ἡ δ' D ὗς τὴν ῥίζαν, ἄλλα δὲ ζῷα τὸ σπέρμα καὶ τὸν καρπόν, οὕτως ἐν ταῖς ἀναγνώσεσι τῶν ποιημάτων ὁ μὲν ἀπανθίζεται τὴν ἱστορίαν, ὁ δ' ἐμφύεται τῷ κάλλει καὶ τῇ κατασκευῇ τῶν ὀνομάτων, καθάπερ ὁ Ἀριστοφάνης περὶ τοῦ Εὐριπίδου φησί

'χρῶμαι γὰρ αὐτοῦ τοῦ στόματος τῷ στρογγύλῳ',

οἳ δὲ τῶν πρὸς τὸ ἦθος εἰρημένων ὠφελίμως ἔχονται, πρὸς οὓς δὲ νῦν ἡμῖν ὁ λόγος ἐστίν, ὑπομιμνή-

1, 108—109 H. 6, 107—108 R.

1. Hom. H 226 6. Id. H 231 9. δυνάμενον W: δυναμένων 11. καὶ ante πολλοὶ delevit W 26. Meinek. II. p. 1142

Digitized by Google

σκωμεν αὐτοὺς ὅτι δεινόν ἐστι τὸν μὲν φιλόμυθον μὴ λανθάνειν τὰ καινῶς ἱστορούμενα καὶ περιττῶς, μηδὲ τὸν φιλόλογον ἐκφεύγειν τὰ καθαρῶς πεφραμένα καὶ ῥητορικῶς, τὸν δὲ φιλότιμον καὶ φιλόκαλον καὶ μὴ παιδιᾶς ἀλλὰ παιδείας ἕνεκα ποιημάτων ἁπτόμενον ἀργῶς καὶ ἀμελῶς ἀκούειν τῶν πρὸς ἀνδρείαν ἢ σωφροσύνην ἀναπεφωνημένων. οἷα καὶ ταῦτ' ἐστί

Τυδείδη, τί παθόντε λελάσμεθα θούριδος ἀλκῆς;
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵσταο· δὴ γὰρ ἔλεγχος
ἔσσεται, εἴ κεν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ'.

τὸ γὰρ ἐν κινδύνῳ τοῦ διαφθαρῆναι καὶ ἀπολέσθαι μετὰ πάντων ὄντα τὸν φρονιμώτατον ὁρᾶν τὸ αἰσχρὸν δεδοικότα καὶ τὸ ἐπονείδιστον ἀλλὰ μὴ θάνατον, ἐμπαθῆ ποιήσει πρὸς ἀρετὴν τὸν νέον. καὶ τό

χαῖρε δ' Ἀθηναίῃ πεπνυμένῳ ἀνδρὶ δικαίῳ'

τοιοῦτον ἐπιλογισμὸν δίδωσι, μήτε πλουσίῳ τινὶ μήτε καλῷ τὸ σῶμα μήτ' ἰσχυρῷ τὴν θεὸν χαίρουσαν ἀλλὰ φρονίμῳ καὶ δικαίῳ ποιήσας. καὶ πάλιν τὸν Ὀδυσσέα φάσκουσα μὴ περιορᾶν μηδὲ προλείπειν

οὔνεκ' ἐπητής ἐστι καὶ ἀγχίνοος καὶ ἐχέφρων',

ἐνδείκνυται μόνον εἶναι τῶν ἡμετέρων θεοφιλὲς καὶ θεῖον ἀρετήν, εἴγε δὴ τὰ ὅμοια χαίρειν τοῖς ὁμοίοις πέφυκεν. ἐπεὶ δὲ μεγάλου δοκοῦντος εἶναι καὶ ὄντος τοῦ κρατεῖν ὀργῆς μεῖζόν ἐστιν ἡ φυλακὴ καὶ ἡ πρόνοια τοῦ μὴ περιπεσεῖν ὀργῇ μηδ' ἁλῶναι, καὶ ταῦτα δεῖ τοῖς ἀναγιγνώσκουσιν ὑποδεικνύειν μὴ παρ-

1, 109—110 H. 6, 108—110 R.

5. παιδιᾶς Reiskius: παιγνίας 9. ἀλλ' ἄγε Homerus Λ 313: ἀλλά γε 15. τὸ] διὰ τοῦ? 16. Homer. γ 52 21. Id. ν 332

Digitized by Google

ἔργως, ὅτι τὸν Πρίαμον ὁ Ἀχιλλεὺς οὐκ ἀνασχετικὸς ὢν οὐδὲ πρᾶος ἡσυχίαν ἄγειν κελεύει καὶ μὴ παροξύνειν αὐτόν

ἐμηκέτι νῦν μ' ἐρέθιζε, γέρον (νοέω δὲ καὶ αὐτός
Ἕκτορά τοι λῦσαι, Διόθεν δέ μοι ἄγγελος ἦλθε)
μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω,
καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς', B

καὶ τὸν Ἕκτορα λούσας καὶ περιστείλας αὐτὸς ἐπὶ τὴν ἀπήνην τίθησι, πρὶν ἠκισμένον ὑπὸ τοῦ πατρὸς ὀφθῆναι,

ἐμὴ δ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο,
παῖδα ἰδών, Ἀχιλῆι δ' ὀρινθείη φίλον ἦτορ
καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς'.

τὸ γὰρ ἐπισφαλῶς πρὸς ὀργὴν ἔχοντα καὶ φύσει τραχὺν ὄντα καὶ θυμοειδῆ μὴ λανθάνειν ἑαυτὸν ἀλλ' ἐξευλαβεῖσθαι καὶ φυλάττεσθαι τὰς αἰτίας καὶ προκαταλαμβάνειν τῷ λογισμῷ πόρρωθεν ὅπως οὐδ' C ἄκων τῷ πάθει περιπεσεῖται, θαυμαστῆς ἐστι προνοίας. οὕτω δὲ δεῖ καὶ πρὸς μέθην τὸν φίλοινον ἔχειν καὶ πρὸς ἔρωτα τὸν ἐρωτικόν· ὥσπερ ὁ Ἀγησίλαος οὐχ ὑπέμεινεν ὑπὸ τοῦ καλοῦ φιληθῆναι προιόντος, ὁ δὲ Κῦρος οὐδ' ἰδεῖν τὴν Πάνθειαν ἐτόλμησε, τῶν ἀπαιδεύτων τοὐναντίον ὑπεκκαύματα τοῖς πάθεσι συλλεγόντων καὶ πρὸς ἃ μάλιστα κακῶς καὶ ὀλισθηρῶς ἔχουσιν αὐτοὺς προϊεμένων. ὁ δ' Ὀδυσσεὺς οὐ μόνον ἑαυτὸν ἀνέχει θυμούμενον, ἀλλὰ καὶ τὸν Τηλέμαχον ἐκ τοῦ λόγου συνιδὼν χαλεπὸν ὄντα καὶ μισοπόνηρον D ἀμβλύνει καὶ παρασκευάζει πόρρωθεν ἡσυχίαν ἄγειν καὶ ἀνέχεσθαι, κελεύων

1, 110—111 H. 6, 110—111 B.

3. αὐτὸν*: αὐτὸν οὕτως 4. Homer. Ω 560 11. Id. Ω 584

Digitized by Google

'εἰ δέ μ' ἀτιμήσουσι δόμον κάτα, σὸν δὲ φίλον κῆρ
τετλάτω ἐν στήθεσσι κακῶς πάσχοντος ἐμεῖο,
ἦν περ καὶ διὰ δῶμα ποδῶν ἕλκωσι θύραζε
ἢ βέλεσιν βάλλωσι· σὺ δ' εἰσορόων ἀνέχεσθαι'. 5

ὥσπερ γὰρ τοὺς ἵππους οὐκ ἐν τοῖς δρόμοις χαλινοῦσιν ἀλλὰ πρὸ τῶν δρόμων, οὕτω τοὺς δυσκαθέκτους πρὸς τὰ δεινὰ καὶ θυμοειδεῖς προκαταλαμβάνοντες τοῖς λογισμοῖς καὶ προκαταρτύοντες ἐπὶ τοὺς ἀγῶνας ἄγουσι. δεῖ δὲ μηδὲ τῶν ὀνομάτων ἀμελῶς ἀκούειν, 10
E ἀλλὰ τὴν μὲν Κλεάνθους παιδιὰν παραιτεῖσθαι· κατειρωνεύεται γὰρ ἔστιν ὅτε προσποιούμενος ἐξηγεῖσθαι τό

'Ζεῦ πάτερ Ἰδηθεν μεδέων'

καὶ τό 15

'Ζεῦ ἄνα Δωδωναῖε'

κελεύων ἀναγιγνώσκειν ὑφ' ἕν, ὡς τὸν ἐκ τῆς γῆς ἀναθυμιώμενον ἀέρα διὰ τὴν ἀνάδοσιν ἀναδώδωναῖον ὄντα. καὶ Χρύσιππος δὲ πολλαχοῦ γλίσχρος ἐστίν, οὐ παίζων ἀλλ' εὑρησιλογῶν ἀπιθάνως, καὶ παραβια- 20
ζόμενος εὐρύοπα Κρονίδην εἶναι τὸν δεινὸν ἐν τῷ διαλέγεσθαι καὶ διαβεβηκότα τῇ δυνάμει τοῦ λόγου. βέλτιον δὲ ταῦτα τοῖς γραμματικοῖς παρέντας ἐκεῖνα
F μᾶλλον πιέζειν οἷς ἅμα τὸ χρήσιμον καὶ πιθανὸν ἔνεστιν 25

'οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλός'

καί

1, 111—112 H. 6, 111—113 R.

1. Homer. π 274 14. Id. Γ 320 16. Id. Π 233
20. εὑρησιλογῶν L. Dindorfius: εὑρεσιλογῶν 25. ἔνεστιν*: ἐστιν 26. Homer. Z 444

Digitized by Google

'πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι'.

τήν τε γὰρ ἀνδρείαν ἀποφαίνων μάθημα καὶ τὸ προσφιλῶς ἅμα καὶ κεχαρισμένως ἀνθρώποις ὁμιλεῖν ἀπ' ἐπιστήμης καὶ κατὰ λόγον γίγνεσθαι νομίζων προτρέπει μὴ ἀμελεῖν ἑαυτῶν, ἀλλὰ μανθάνειν τὰ καλὰ καὶ προσέχειν τοῖς διδάσκουσιν, ὡς καὶ τὴν σκαιότητα καὶ τὴν δειλίαν ἀμαθίαν καὶ ἄγνοιαν οὖσαν. σφόδρα δὲ τούτοις κἀκεῖνα σύμφωνά ἐστιν ἃ λέγει περὶ τοῦ Διὸς καὶ τοῦ Ποσειδῶνος

ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη, 32
ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη.

θειότατον γὰρ ἀποφαίνει τὴν φρόνησιν καὶ βασιλικώτατον, ἐν ᾗ τίθεται τὴν μεγίστην ὑπεροχὴν τοῦ Διός, ἅτε δὴ καὶ τὰς ἄλλας ἀρετὰς ἕπεσθαι ταύτῃ νομίζων. ἐθιστέον δ' ἅμα καὶ τούτων ἐγρηγορότως τὸν νέον ἀκούειν

'ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστί'

καί

'Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας;
ἦσχυνας μὲν ἐμὴν ἀρετήν, βλάψας δέ μοι ἵππους'

καί

'Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπας; B
ὤ πέπον, ἦ τ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων',

ὡς οὔτε ψευδομένων τῶν φρονίμων οὔτε κακομαχούντων ἐν τοῖς ἀγῶσιν οὔτε παρ' ἀξίαν ἑτέροις ἐγκαλούντων. καὶ τὸν Πάνδαρον δὲ πεισθῆναι λέγων διὰ

1, 112—113 H. 6, 113—114 B.

1. Homer. P 671 10. Id. N 354 17. Id. γ 20. 328 20. Id. Ψ 570 23. Id. P 170

Digitized by Google

τὴν ἀφροσύνην τὰ ὅρκια συγχέαι δῆλός ἐστιν οὐκ ἂν ἀδικῆσαι τὸν φρόνιμον ἡγούμενος. ὅμοια δ' ἔστι καὶ περὶ σωφροσύνης ὑποδεικνύειν ἐφιστάντα τοῖς οὕτω λεγομένοις

ᾧ δὲ γυνὴ Προίτου ἐπεμήνατο, δῖ' Ἄντεια,
κρυπταδίῃ φιλότητι μιγήμεναι· ἀλλὰ τὸν οὔ τι
C πεῖθ' ἀγαθὰ φρονέοντα, δαΐφρονα Βελλεροφόντην'

καί

ἣ δ' ἤτοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικές,
δῖα Κλυταιμνήστρη· φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν'.

ἐν μὲν οὖν τούτοις τῇ φρονήσει τὴν τοῦ σωφρονεῖν αἰτίαν ἀποδίδωσιν, ἐν δὲ ταῖς παρὰ τὰς μάχας κελεύσεσιν ἑκάστοτε λέγων

αἰδώς, ὦ Λύκιοι. πόσε φεύγετε; νῦν θοοὶ ἔστε'

καί

ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος
αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν'

D ἀνδρείους ἔοικε ποιεῖν τοὺς σώφρονας διὰ τὸ αἰδεῖσθαι τὰ αἰσχρὰ καὶ τὰς ἡδονὰς δυναμένους ὑπερβαίνειν καὶ τοὺς κινδύνους ὑφίστασθαι. ἀφ' ὧν καὶ Τιμόθεος ὁρμηθεὶς οὐ κακῶς ἐν τοῖς Πέρσαις τοὺς Ἕλληνας παρεκάλει

σέβεσθ' αἰδῶ συνεργὸν ἀρετᾶς δοριμάχου',

Αἰσχύλος δὲ καὶ τὸ πρὸς δόξαν ἔχειν ἀτύφως καὶ μὴ διασοβεῖσθαι μηδ' ἐπαίρεσθαι τοῖς παρὰ τῶν πολλῶν ἐπαίνοις ἐν τῷ φρονεῖν τίθεται περὶ τοῦ Ἀμφιαράου. γράφων

1, 113—114 H. 6, 114—116 B.

5. Homer. Z 160 10. Id. γ 265 15. Id. Π 422
17. Id. N 121 24. Bergk. p. 1271[3] 25. Αἰσχύλος] Sept. 599

Digitized by Google

'οὐ γὰρ δοκεῖν ἄριστος ἀλλ' εἶναι θέλεί,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος, E
ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα'·

τὸ γὰρ ἐφ' ἑαυτῷ καὶ τῇ διαθέσει τῇ περὶ αὐτὸν οὔσῃ κρατίστῃ μεγαλοφρονεῖν νοῦν ἔχοντος ἀνδρός ἐστι. πάντων οὖν ἀναγομένων εἰς τὴν φρόνησιν ἀποδείκνυται πᾶν εἶδος ἀρετῆς ἐπιγιγνόμενον ἐκ λόγου καὶ διδασκαλίας.

12. Ἡ μὲν οὖν μέλιττα φυσικῶς ἐν τοῖς δριμυτάτοις ἄνθεσι καὶ ταῖς τραχυτάταις ἀκάνθαις ἐξανευρίσκει τὸ λειότατον μέλι καὶ χρηστικώτατον, οἱ δὲ παῖδες, ἂν ὀρθῶς ἐντρέφωνται τοῖς ποιήμασιν, καὶ ἀπὸ τῶν φαύλους καὶ ἀτόπους ὑποψίας ἐχόντων ἕλκειν τι χρήσιμον ἀμωσγέπως μαθήσονται καὶ ὠφέλιμον. αὐτίκα γοῦν ὕποπτός ἐστιν ὁ Ἀγαμέμνων ὡς διὰ δωροδοκίαν ἀφεὶς τῆς στρατείας τὸν πλούσιον ἐκεῖνον τὸν τὴν Αἴθην χαρισάμενον αὐτῷ F

'δῶρ', ἵνα μή οἱ ἔποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν
ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκεν
Ζεὺς ἄφενος'.

ὀρθῶς δέ γε ἐποίησεν, ὡς Ἀριστοτέλης φησίν, ἵππον ἀγαθὴν ἀνθρώπου τοιούτου προτιμήσας· οὐδὲ γὰρ κυνὸς ἀντάξιος οὐδ' ὄνου μὰ Δία δειλὸς ἀνὴρ καὶ ἄναλκις, ὑπὸ πλούτου καὶ μαλακίας διερρυηκώς. πάλιν αἴσχιστα δοκεῖ τὸν υἱὸν ἡ Θέτις ἐφ' ἡδονὰς παρακαλεῖν καὶ ἀναμιμνήσκειν ἀφροδισίων. ἀλλὰ κἀνταῦθα δεῖ παραθεωρεῖν τὴν τοῦ Ἀχιλλέως ἐγκράτειαν, ὅτι τῆς Βρισηίδος ἐρῶν ἠκούσης πρὸς αὐτόν, εἰδὼς τὴν τοῦ βίου τελευτὴν ἐγγὺς οὖσαν οὐ σπεύδει τῶν 33

1, 114—115 H. 6, 116—117 B.

7. ἐκ λόγου Krebsius: ἑκάστου 17. τὸν* 18. Hom. Ψ 297

Digitized by Google

ἡδονῶν πρὸς ἀπόλαυσιν οὐδ' ὥσπερ οἱ πολλοὶ πενθεῖ τὸν φίλον ἀπραξίᾳ καὶ παραλείψει τῶν καθηκόντων, ἀλλὰ τῶν μὲν ἡδονῶν διὰ τὴν λύπην ἀπέχεται, ταῖς δὲ πράξεσι καὶ ταῖς στρατηγίαις ἐνεργός ἐστι. πάλιν ὁ Ἀρχίλοχος οὐκ ἐπαινεῖται λυπούμενος μὲν
B ἐπὶ τῷ ἀνδρὶ τῆς ἀδελφῆς διεφθαρμένῳ κατὰ θάλασσαν, οἴνῳ δὲ καὶ παιδιᾷ πρὸς τὴν λύπην μάχεσθαι διανοούμενος. αἰτίαν μέντοι λόγον ἔχουσαν εἴρηκεν

'οὔτε τι γὰρ κλαίων ἰήσομαι οὔτε κάκιον
θήσω τερπωλὰς καὶ θαλίας ἐφέπων'.

εἰ γὰρ ἐκεῖνος οὐδὲν ἐνόμιζεν ποιήσειν κάκιον τερπωλὰς καὶ θαλίας ἐφέπων, πῶς ἡμῖν τὰ παρόντα χεῖρον ἕξει φιλοσοφοῦσι καὶ πολιτευομένοις καὶ προϊ-
C οῦσιν εἰς ἀγορὰν καὶ καταβαίνουσιν εἰς Ἀκαδήμειαν καὶ γεωργίαν ἐφέπουσιν; ὅθεν οὐδ' αἱ παραδιορθώσεις φαύλως ἔχουσιν αἷς Κλεάνθης ἐχρήσατο καὶ Ἀντισθένης, ὁ μὲν εὖ μάλα τοὺς Ἀθηναίους ἰδὼν θορυβήσαντας ἐν τῷ θεάτρῳ

'τί δ' αἰσχρὸν εἰ μὴ τοῖσι χρωμένοις δοκεῖ';

παραβάλλων εὐθύς

'αἰσχρὸν τό γ' αἰσχρόν, κἂν δοκῇ κἂν μὴ δοκῇ',

ὁ δὲ Κλεάνθης περὶ τοῦ πλούτου

'φίλοις τε δοῦναι σῶμά τ' εἰς νόσους πεσόν
δαπάναισι σῶσαι'

μεταγράφων οὕτω

D 'πόρναις τε δοῦναι σῶμά τ' εἰς νόσους πεσόν
δαπάναις ἐπιτρῖψαι.

καὶ ὁ Ζήνων ἐπανορθούμενος τὸ τοῦ Σοφοκλέους

1, 115—116 H. 6, 117—119 B.

9. Bergk. p. 687[3] 19. Nauck. p. 293 23. Eur. El. 428

Digitized by Google

'ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,
κείνου 'στι δοῦλος, κἂν ἐλεύθερος μόλῃ'

μετέγραφεν

'οὐκ ἔστι δοῦλος, ἢν ἐλεύθερος μόλῃ',

τῷ ἐλευθέρῳ νῦν συνεκφαίνων τὸν ἀδεᾶ καὶ μεγαλόφρονα καὶ ἀταπείνωτον. τί δὴ κωλύει καὶ ἡμᾶς ταῖς τοιαύταις ὑποφωνήσεσι τοὺς νέους παρακαλεῖν πρὸς τὸ βέλτιον, οὕτω πως χρωμένους τοῖς λεγομένοις;

τόδ' ἐστὶ τὸ ζηλωτὸν ἀνθρώποις, ὅτῳ E
τόξον μερίμνης εἰς ὃ βούλεται πέσῃ.

οὐκ, ἀλλ'

ὅτῳ
τόξον μερίμνης εἰς ὃ συμφέρει πέσῃ.

τὸ γὰρ ἃ μὴ δεῖ βουλόμενον λαμβάνειν καὶ τυγχάνειν οἰκτρόν ἐστι καὶ ἄζηλον.

'οὐκ ἐπὶ πᾶσίν c' ἐφύτευς' ἀγαθοῖς,
'Αγάμεμνον, 'Ατρεύς.
δεῖ δέ σε χαίρειν καὶ λυπεῖσθαι'.

μὰ Δία, φήσομεν, ἀλλὰ δεῖ σε χαίρειν, μὴ λυπεῖσθαι τυγχάνοντα μετρίων·

οὐ γὰρ ἐπὶ πᾶσίν c' ἐφύτευς' ἀγαθοῖς
'Αγάμεμνον, 'Ατρεύς.

'αἰαῖ τόδ' ἤδη θεῖον ἀνθρώποις κακόν,
ὅταν τις εἰδῇ τἀγαθόν, χρῆται δὲ μή'. F

θηριώδες μὲν οὖν καὶ ἄλογον καὶ οἰκτρὸν εἰδότα τὸ βέλτιον ὑπὸ τοῦ χείρονος ἐξ ἀκρασίας καὶ μαλακίας ἄγεσθαι.

1, 116—117 H. 6, 119—120 R.

1. Nauck. p. 253 9. Id. p. 695 15. ἄζηλον*: ἄζηλον καὶ 16. Eur. Iph. A. 29 23. Nauck. p. 449

Digitized by Google

'τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος'. τρόπος μὲν οὖν καὶ λόγος ἢ τρόπος διὰ λόγου, καθάπερ ἵππεὺς διὰ χαλινοῦ καὶ διὰ πηδαλίου κυβερνήτης, οὐδὲν οὕτω φιλάνθρωπον οὐδὲ συγγενὲς ἐχούσης τῆς ἀρετῆς ὄργανον ὡς τὸν λόγον.

34 'πρὸς θῆλυ νεύει μᾶλλον ἢ 'πὶ τἄρρενα;
ὅπου προσῇ τὸ κάλλος, ἀμφιδέξιος'.

ἦν δὲ βέλτιον εἰπεῖν

ὅπου προσῇ τὸ σῶφρον, ἀμφιδέξιος

ὡς ἀληθῶς καὶ ἰσόρροπος· ὁ δ' ὑφ' ἡδονῆς καὶ ὥρας ὧδε κἀκεῖ μετοιακιζόμενος ἐπαρίστερος καὶ ἀβέβαιος.

'φόβος τὰ θεῖα τοῖσι σώφροσιν βροτῶν'.

καὶ μὴν οὐδαμῶς, ἀλλά

θάρσος τὰ θεῖα τοῖσι σώφροσιν βροτῶν,

φόβος δὲ τοῖς ἄφροσι καὶ ἀνοήτοις καὶ ἀχαρίστοις,
B ὅτι καὶ τὴν παντὸς αἰτίαν ἀγαθοῦ δύναμιν καὶ ἀρχὴν ὡς βλάπτουσαν ὑφορῶνται καὶ δεδίασι. τὸ μὲν οὖν τῆς ἐπανορθώσεως γένος τοιοῦτόν ἐστι.

13. Τὴν δ' ἐπὶ πλέον τῶν λεγομένων χρῆσιν ὑπέδειξεν ὀρθῶς ὁ Χρύσιππος, ὅτι δεῖ μετάγειν καὶ διαβιβάζειν ἐπὶ τὰ ὁμοειδῆ τὸ χρήσιμον. ὅ τε γὰρ Ἡσίοδος εἰπών

'οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη'

καὶ περὶ κυνὸς ταὐτὸ καὶ περὶ ὄνου λέγει καὶ περὶ πάντων ὁμοίως τῶν ἀπολέσθαι δυναμένων. καὶ πάλιν τοῦ Εὐριπίδου λέγοντος

1, 117—118 H. 6, 120—122 R.

1. Meinek. IV. p. 209 2. τρόπος*: καὶ τρόπος 3. ἵππεὺς Grotius: ἵππος καὶ διὰ*: καὶ 6. Nauck. p. 288 13. Id. p. 695 24. O. et D. 348

Digitized by Google

'τίς δ' ἔστι δοῦλος τοῦ θανεῖν ἄφροντις ὢν';

ὑπακουστέον ὅτι καὶ περὶ πόνου καὶ νόσου ταὐτὸν εἴ- C
ρηκεν. ὡς γὰρ φαρμάκου πρὸς ἓν ἁρμόσαντος νό-
σημα τὴν δύναμιν καταμαθόντες οἱ ἰατροὶ μετάγουσι
καὶ χρῶνται πρὸς ἅπαν τὸ παραπλήσιον, οὕτω καὶ
λόγον κοινοῦν καὶ δημοσιεύειν τὴν χρείαν δυνάμενον
οὐ χρὴ περιορᾶν ἑνὶ πράγματι συνηρτημένον ἀλλὰ
κινεῖν ἐπὶ πάντα τὰ ὅμοια, καὶ τοὺς νέους ἐθίζειν
τὴν κοινότητα συνορᾶν καὶ μεταφέρειν ὀξέως τὸ οἰ-
κεῖον, ἐν πολλοῖς παραδείγμασι ποιουμένους μελέτην
καὶ ἄσκησιν ὀξυηκοΐας, ἵνα τοῦ Μενάνδρου λέγοντος

'μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει'

τοῦτο καὶ περὶ δόξης καὶ περὶ ἡγεμονίας καὶ περὶ
λόγου δυνάμεως εἰρῆσθαι νομίζωσι, τὴν δὲ πρὸς τὸν D
'Αχιλλέα τὸν ἐν Σκύρῳ καθήμενον ἐν ταῖς παρθένοις
γεγενημένην ἐπίπληξιν ὑπὸ τοῦ 'Οδυσσέως

'σὺ δ', ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους,
ξαίνεις, ἀρίστου πατρὸς Ἑλλήνων γεγώς';

καὶ πρὸς τὸν ἄσωτον οἴωνται λέγεσθαι καὶ πρὸς τὸν
αἰσχροκερδῆ καὶ πρὸς τὸν ἀμελῆ καὶ ἀπαίδευτον

πίνεις, ἀρίστου πατρὸς Ἑλλήνων γεγώς,

ἢ κυβεύεις ἢ ὀρτυγοκοπεῖς ἢ καπηλεύεις ἢ τοκογλυ-
φεῖς, μηδὲν μέγα φρονῶν μηδ' ἄξιον τῆς εὐγενείας;

'μὴ πλοῦτον εἴπῃς. οὐχὶ θαυμάζω θεόν
ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο'. E

οὐκοῦν μηδὲ δόξαν εἴπῃς μηδὲ σώματος εὐμορφίαν

1, 118—120 H. 6, 122—124 R.

1. Nauck. p. 523 2. ταὐτὸν*: ταὐτὰ 6. κοινοῦν W: κοινὸν 11. ὀξυηκοΐας Stephanus: ὀξυκοΐας 12. Meinek. IV. p. 103 17. Nauck. p. 653 19. οἴωνται*: οἴόν τε 24. Nauck. p. 294 25. χὠ nescio quis: καὶ ὁ

Digitized by Google

μηδὲ στρατηγικὴν χλαμύδα μηδ' ἱερατικὸν στέφανον, ὧν καὶ τοὺς κακίστους ὁρῶμεν τυγχάνοντας.

'τῆς δειλίας γὰρ αἰσχρὰ γίγνεται τέκνα'

καὶ ναὶ μὰ Δία τῆς ἀκολασίας καὶ τῆς δεισιδαιμονίας καὶ τοῦ φθόνου καὶ τῶν ἄλλων νοσημάτων ἁπάντων. ἄριστα δ' εἰρηκότος Ὁμήρου τό

'Δύσπαρι εἶδος ἄριστε

καὶ τό

F 'Ἕκτορ εἶδος ἄριστε'

(ψόγου γὰρ ἀποφαίνει καὶ λοιδορίας ἄξιον ᾧ μηδέν ἐστιν ἀγαθὸν εὐμορφίας κάλλιον) ἐφαρμοστέον τοῦτο τοῖς ὁμοίοις, κολούοντα τοὺς μεγαλοφρονοῦντας ἐπὶ τοῖς μηδενὸς ἀξίοις, καὶ διδάσκοντα τοὺς νέους ὄνειδος ἡγεῖσθαι καὶ λοιδορίαν τὸ 'χρήμασιν ἄριστε' καὶ 'δείπνοις ἄριστε' καὶ 'παισὶν ἢ ὑποζυγίοις ἄριστε' καὶ νὴ Δία τὸ λέγειν ἐφεξῆς ἄριστε. δεῖ γὰρ ἐκ τῶν καλῶν διώκειν τὴν ὑπεροχὴν καὶ περὶ τὰ πρῶτα πρῶτον εἶναι καὶ μέγαν ἐν τοῖς μεγίστοις· ἡ δ' ἀπὸ μικρῶν δόξα καὶ φαύλων ἄδοξός ἐστι καὶ ἀφιλότιμος. τοῦτο δ' ἡμᾶς εὐθὺς ὑπομιμνήσκει τὸ παράδειγμα τοῦ τοὺς ψόγους ἀποθεωρεῖν καὶ τοὺς ἐπαίνους ἐν τοῖς Ὁμήρου μάλιστα ποιήμασιν· ἔμφασις γὰρ γίγνεται μεγάλη τοῦ τὰ σωματικὰ καὶ τυχηρὰ μὴ μεγάλης ἄξια σπουδῆς νομίζειν. πρῶτον μὲν γὰρ ἐν ταῖς δεξιώσεσι καὶ ἀνακλίσεσιν οὐ καλοὺς οὐδὲ πλουσίους οὐδ' ἰσχυροὺς προσαγορεύουσιν, ἀλλὰ τοιαύταις εὐφημίαις χρῶνται

B 'διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ'

1, 120—121 H. 6, 124—125 R.

3. Nauck. p. 695 7. Homer. Γ 39 9. Id. P 142
11. τοῦτο*: τοῦτο καὶ 20. τοῦ*: τὸ 28. Homer. B 173

Digitized by Google

καί

'Ἕκτορ υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε'

καί

'ὦ Ἀχιλεῦ Πηλέος υἱέ, μέγα κῦδος Ἀχαιῶν'

καί

'δῖε Μενοιτιάδη, τῷ ἐμῷ κεχαρισμένε θυμῷ'.

ἔπειτα λοιδοροῦσιν οὐδὲν ἐφαπτόμενοι τῶν σωματικῶν, ἀλλὰ τοῖς ἁμαρτήμασι τοὺς ψόγους ἐπιφέροντες

'οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο'

καί

'Αἶαν νεῖκος ἄριστε, κακοφραδές' C

καί

'Ἰδομενεῦ, τί πάρος λαβρεύαι; οὐδέ τί σε χρή λαβραγόρην ἔμεναι'

καί

'Αἶαν ἁμαρτοεπὲς βουγάιε'.

καὶ τέλος ὁ Θερσίτης ὑπὸ τοῦ Ὀδυσσέως οὐ χωλὸς οὐ φαλακρὸς οὐ κυρτὸς ἀλλ' ἀκριτόμυθος λοιδορεῖται, τὸν δ' Ἥφαιστον ἡ τεκοῦσα φιλοφρονουμένη προσηγόρευεν ἀπὸ τῆς χωλότητος

'ὄρσεο κυλλοπόδιον, ἐμὸν τέκος'.

οὕτως Ὅμηρος καταγελᾷ τῶν αἰσχυνομένων ἐπὶ χωλότησιν ἢ τυφλότησιν, οὔτε ψεκτὸν ἡγούμενος τὸ μὴ αἰσχρὸν οὔτ' αἰσχρὸν τὸ μὴ δι' ἡμᾶς ἀλλ' ἀπὸ τύχης γιγνόμενον. δύο δὴ περιγίγνεται μεγάλα τοῖς τῶν D ποιητῶν ἐθιζομένοις ἀκούειν, τὸ μὲν εἰς μετριότητα, μηδενὶ τύχην ἐπαχθῶς καὶ ἀνοήτως ὀνειδίζειν, τὸ δ'

1, 121 H. 6, 125—126 R.

2. Hom. H 47 4. Id. T 216 4. Id. Λ 608 9. Id. A 225 12. Id. Ψ 483 14. Id. Ψ 474 17. Id. N 824 22. Id. Φ 331

Digitized by Google

εἰς μεγαλοφροσύνην, αὐτοὺς χρησαμένους τύχαις μὴ ταπεινοῦσθαι μηδὲ ταράττεσθαι, φέρειν δὲ πράως καὶ σκώμματα καὶ λοιδορίας καὶ γέλωτας, μάλιστα μὲν τὸ τοῦ Φιλήμονος ἔχοντας πρόχειρον

᾽ἥδιον οὐδὲν οὐδὲ μουσικώτερον
ἔστ᾽ ἢ δύνασθαι λοιδορούμενον φέρειν᾽.

ἂν δὲ φαίνηταί τις ἐπιλήψεως δεόμενος, τῶν ἁμαρτημάτων καὶ τῶν παθῶν ἐπιλαμβάνεσθαι, ὥσπερ ὁ τραγικὸς Ἄδραστος, τοῦ Ἀλκμέωνος εἰπόντος πρὸς αὐτόν

E ᾽ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς᾽,

ἀπεκρίνατο

᾽σὺ δ᾽ αὐτόχειρ γε μητρὸς ἦ σ᾽ ἐγείνατο᾽.

καθάπερ γὰρ οἱ τὰ ἱμάτια μαστιγοῦντες οὐχ ἅπτονται τοῦ σώματος, οὕτως οἱ δυστυχίας τινὰς ἢ δυσγενείας ὀνειδίζοντες εἰς τὰ ἐκτὸς ἐντείνονται κενῶς καὶ ἀνοήτως, τῆς ψυχῆς δ᾽ οὐ θιγγάνουσιν οὐδὲ τῶν ἀληθῶς ἐπανορθώσεως δεομένων καὶ δήξεως.

14. Καὶ μὴν ὥσπερ ἐπάνω πρὸς τὰ φαῦλα καὶ F βλαβερὰ ποιήματα λόγους καὶ γνώμας ἀντιτάσσοντες ἐνδόξων καὶ πολιτικῶν ἀνδρῶν ἐδοκοῦμεν ἀφιστάναι καὶ ἀνακρούειν τὴν πίστιν, οὕτως ὅ τι ἂν ἀστεῖον εὕρωμεν παρ᾽ αὐτοῖς καὶ χρηστόν, ἐκτρέφειν χρὴ καὶ αὔξειν ἀποδείξεσι καὶ μαρτυρίαις φιλοσόφοις, ἀποδιδόντας τὴν εὕρεσιν ἐκείνοις. καὶ γὰρ δίκαιον καὶ ὠφέλιμον, ἰσχὺν τῆς πίστεως καὶ ἀξίωμα προσλαμβανούσης, ὅταν τοῖς ἀπὸ σκηνῆς λεγομένοις καὶ πρὸς λύραν ᾀδομένοις καὶ μελετωμένοις ἐν διδασκαλείῳ τὰ Πυθαγόρου δόγματα καὶ τὰ Πλάτωνος ὁμολογῇ, καὶ

1, 121—123 H. 6, 126—128 R.

5. Meinek. IV. p. 9 11. 13. Nauck. p. 695

Digitized by Google

τὰ Χίλωνος παραγγέλματα καὶ τὰ Βίαντος ἐπὶ τὰς αὐτὰς ἄγῃ γνώμας ἐκείνοις τοῖς παιδικοῖς ἀναγνώ- 36
μασιν. ὅθεν οὐ παρέργως ὑποδεικτέον ὅτι τὸ μέν

'οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήια ἔργα,
ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο'

καὶ τό

'Ζεὺς γάρ τοι νεμεσᾷ, ὅτ' ἀμείνονι φωτὶ μάχοιο'

οὐδὲν διαφέρει τοῦ 'γνῶθι σαυτόν', ἀλλὰ τὴν αὐτὴν ἔχει διάνοιαν ἐκείνῳ· τὸ δέ

'νήπιοι, οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός'

καὶ τό

'ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη'

ταὐτόν ἐστι τοῖς Πλάτωνος ἐν Γοργίᾳ καὶ Πολιτείᾳ Β
δόγμασι περὶ τοῦ 'τὸ ἀδικεῖν κάκιον εἶναι τοῦ ἀδικεῖσθαι' καὶ τοῦ κακῶς πάσχειν τὸ ποιεῖν κακῶς βλαβερώτερον. ἐπιρρητέον δὲ καὶ τῷ τοῦ Αἰσχύλου

'θάρσει· πόνου γὰρ ἄκρον οὐκ ἔχει χρόνον'

ὅτι τοῦτό ἐστι τὸ παρ' Ἐπικούρου θρυλούμενον ἀεὶ καὶ θαυμαζόμενον, ὡς 'οἱ μεγάλοι πόνοι συντόμως ἐξάγουσιν, οἱ δὲ χρόνιοι μέγεθος οὐκ ἔχουσιν'. ὧν τὸ μὲν εἴρηκεν ὁ Αἰσχύλος ἐναργῶς, τὸ δὲ τῷ εἰρημένῳ παρακείμενόν ἐστιν. εἰ γὰρ ὁ μέγας καὶ σύντονος οὐ παραμένει πόνος, οὐκ ἔστι μέγας ὁ παραμένων οὐδὲ δυσκαρτέρητος. τὰ δὲ τοῦ Θέσπιδος ταυτί

1, 123—124 H. 6, 128—129 B.

4. οὔ τοι τέκνον ἐμὸν Homerus Ε 428: τέκνον ἐμὸν οὔ τοι 7. Aristot. Rhet. II 9. Plutarch. de Vita et Poesi Homeri §. 132 10. Hesiod. O. et D. 40 12. Id. 265 13. Γοργίᾳ] P. 473 A 17. Nauck. p. 83

Digitized by Google

'ὁρᾷς ὅτι Ζεὺς τῷδε πρωτεύει θεῶν,
C οὐ ψεῦδος οὐδὲ κόμπον οὐ μῶρον γέλων
ἀσκῶν· τὸ δ' ἡδὺ μοῦνος οὐκ ἐπίσταται'

τί διαφέρει τοῦ 'πόρρω γὰρ ἡδονῆς καὶ λύπης ἵδρυται τὸ θεῖον', ὡς Πλάτων ἔλεγε. τὸ δέ

'φάσωμεν
πιστὸν κῦδος ἔχειν ἀρετάν·
πλοῦτος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ'

λεγόμενον ὑπὸ τοῦ Βακχυλίδου καὶ πάλιν ὑπὸ τοῦ Εὐριπίδου παραπλησίως

'ἐγὼ δ'
οὐδὲν πρεσβύτερον νομί-
ζω τᾶς σωφροσύνας, ἐπεί
τοῖς ἀγαθοῖς ἀεὶ σύνεστι'

καὶ τό

'τιμᾶν τὰν ἰτέτασθε, πλούτῳ δ' ἀρετὰν κατεργάσασθαι δοκεῖτ', ἐν ἐσθλοῖς δὲ καθήσεσθ' ἄνολβοι'

D ἆρ' οὐκ ἀπόδειξιν ἔχει ὧν οἱ φιλόσοφοι λέγουσι περὶ πλούτου καὶ τῶν ἐκτὸς ἀγαθῶν, ὡς χωρὶς ἀρετῆς ἀνωφελῶν ὄντων καὶ ἀνονήτων τοῖς ἔχουσι; τὸ γὰρ οὕτω συνάπτειν καὶ συνοικειοῦν τοῖς δόγμασιν ἐξάγει τὰ ποιήματα τοῦ μύθου καὶ τοῦ προσωπείου, καὶ σπουδὴν περιτίθησιν αὐτοῖς χρησίμως λεγομένοις· ἔτι δὲ προανοίγει καὶ προκινεῖ τὴν τοῦ νέου ψυχὴν τοῖς ἐν φιλοσοφίᾳ λόγοις. ἔρχεται γὰρ οὐκ ἄγευστος αὐτῶν παντάπασιν οὐδ' ἀνήκοος, οὐδ' ἀκρίτως ἀνάE πλεως ὧν ἤκουε τῆς μητρὸς ἀεὶ καὶ τίτθης καὶ νὴ

1, 124—126 H. 6, 129—131 R.

1. Nauck. p. 647 5. Πλάτων] Epist. III. p. 315 C
6. Bergk. p. 1237 [3] 11. Nauck. p. 523 16. Id. p. 523

Digitized by Google

Δία τοῦ πατρὸς καὶ τοῦ παιδαγωγοῦ, τοὺς πλουσίους εὐδαιμονιζόντων καὶ σεβομένων, φριττόντων δὲ τὸν θάνατον καὶ τὸν πόνον, ἄζηλον δὲ τὴν ἀρετὴν καὶ τὸ μηδὲν ἄνευ χρημάτων καὶ δόξης ἀγόντων. οἷς ἀντίφωνα τὰ τῶν φιλοσόφων ἀκούοντας αὐτοὺς τὸ πρῶτον ἔκπληξις ἴσχει καὶ ταραχὴ καὶ θάμβος, οὐ προσιεμένους οὐδ' ὑπομένοντας, ἂν μὴ καθάπερ ἐκ σκότους πολλοῦ μέλλοντες ἥλιον ὁρᾶν ἐθισθῶσιν οἷον ἐν νόθῳ φωτὶ κεκραμένης μύθοις ἀληθείας αὐγὴν ἔχοντι μαλακὴν ἁλύπως διαβλέπειν τὰ τοιαῦτα καὶ μὴ φεύγειν. προακηκοότες γὰρ ἐν τοῖς ποιήμασι καὶ προανεγνωκότες

'τὸν φύντα θρηνεῖν εἰς ὅς' ἔρχεται κακά, F
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων'

καί

'ἐπεὶ τί δεῖ βροτοῖσι πλὴν δυοῖν μόνον,
Δήμητρος ἀκτῆς πωματός θ' ὑδρηχόου';

καί

'ἰὼ τυραννὶ βαρβάρων ἀνδρῶν φίλη'

καί 37

'ἡ βροτῶν τ' εὐπραξία
τῶν τἀλάχιστα γίγνεται λυπουμένων'

ἧττον ταράττονται καὶ δυσκολαίνουσι παρὰ τοῖς φιλοσόφοις ἀκούοντες ὡς 'ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς' καὶ 'ὁ τῆς φύσεως πλοῦτος ὥρισται' καὶ 'τὸ εὔδαιμον καὶ μακάριον οὐ χρημάτων πλῆθος οὐδὲ πραγμάτων ὄγκος οὐδ' ἀρχαί τινες ἔχουσιν οὐδὲ δυνάμεις, ἀλλ' ἀλυπία καὶ πραότης παθῶν καὶ διάθεσις ψυχῆς

1, 126—127 H. 6, 131—133 R.

9. φωτὶ Reiskius: φωτὶ καὶ 13. Nauck. p. 395
17. Id. p. 507 20. 22. Id. p. 696

Digitized by Google

Β τὸ κατὰ φύσιν ὁρίζουσα. διὸ καὶ τούτων ἕνεκα καὶ τῶν προειρημένων ἁπάντων ἀγαθῆς δεῖ τῷ νέῳ κυβερνήσεως περὶ τὴν ἀνάγνωσιν, ἵνα μὴ προδιαβληθεὶς ἀλλὰ μᾶλλον προπαιδευθεὶς εὐμενὴς καὶ φίλος καὶ οἰκεῖος ὑπὸ ποιητικῆς ἐπὶ φιλοσοφίαν προπέμπηται.

1, 127 H. 6, 133 B.

Digitized by Google

ΠΕΡΙ
ΤΟΥ ΑΚΟΥΕΙΝ.

1. Τὴν γενομένην μοι σχολὴν περὶ τοῦ ἀκούειν, ὦ C
Νίκανδρε, ἀπέσταλκά σοι γράψας, ὅπως εἰδῇς τοῦ
πείθοντος ὀρθῶς ἀκούειν, ὅτε τῶν προσταττόντων
ἀπήλλαξαι τὸ ἀνδρεῖον ἀνειληφὼς ἱμάτιον. ἀναρχία
μὲν γάρ, ἣν ἔνιοι τῶν νέων ἐλευθερίαν ἀπαιδευσίᾳ
νομίζουσι, χαλεπωτέρους ἐκείνων τῶν ἐν παισὶ διδα- D
σκάλων καὶ παιδαγωγῶν δεσπότας ἐφίστησι τὰς ἐπι-
θυμίας ὥσπερ ἐκ δεσμῶν λυθείσας· καὶ καθάπερ
Ἡρόδοτός φησιν ἅμα τῷ χιτῶνι συνεκδύεσθαι τὴν
αἰδῶ τὰς γυναῖκας, οὕτως ἔνιοι τῶν νέων ἅμα τῷ
τὸ παιδικὸν ἱμάτιον ἀποθέσθαι συναποθέμενοι τὸ αἰ-
δεῖσθαι καὶ φοβεῖσθαι καὶ λύσαντες τὴν κατασχηματί-
ζουσαν αὐτοὺς περιβολὴν εὐθὺς ἐμπίπλανται τῆς
ἀναγωγίας. σὺ δὲ πολλάκις ἀκηκοὼς ὅτι ταὐτόν ἐστι
τὸ ἕπεσθαι θεῷ καὶ τὸ πείθεσθαι λόγῳ, νόμιζε τὴν
εἰς ἄνδρας ἐκ παίδων ἀγωγὴν οὐκ ἀρχῆς εἶναι τοῖς
εὖ φρονοῦσιν ἀποβολήν, ἀλλὰ μεταβολὴν ἄρχοντος, E
ἀντὶ μισθωτοῦ τινος ἢ ἀργυρωνήτου θεῖον ἡγεμόνα
τοῦ βίου λαμβάνουσι τὸν λόγον, ᾧ τοὺς ἑπομένους
ἄξιόν ἐστι μόνους ἐλευθέρους νομίζειν. μόνοι γὰρ ἃ
δεῖ βούλεσθαι μαθόντες, ὡς βούλονται ζῶσι· ταῖς δ'

1, 128—129 H. 6, 134—135 R.

9. Ἡρόδοτος] I 8

Digitized by Google

ἀπαιδεύτοις καὶ παραλόγοις ὁρμαῖς καὶ πράξεσιν ἀγεννὲς ἔνεστι καὶ μικρὸν ἐν πολλῷ τῷ μετανοοῦντι τὸ ἑκούσιον.

2. Ἐπεὶ δ' ὥσπερ τῶν ἐγγραφομένων εἰς τὰς πολιτείας οἱ μὲν ἀλλοδαποὶ καὶ ξένοι κομιδῇ πολλὰ μέμφονται καὶ δυσκολαίνουσι τῶν γιγνομένων, οἱ δ' ἐκ μετοίκων σύντροφοι καὶ συνήθεις τῶν νόμων ὄντες οὐ χαλεπῶς προσδέχονται τὰ ἐπιβάλλοντα καὶ στέργουσιν, οὕτως ἔδει πολὺν χρόνον ἐν φιλοσοφίᾳ παρατρεφόμενον καὶ πᾶν μάθημα καὶ ἄκουσμα παιδικὸν ἀπ' ἀρχῆς ἐθισθέντα προσφέρεσθαι λόγῳ φιλοσόφῳ μεμιγμένον, εὐμενῆ καὶ οἰκεῖον ἥκειν εἰς φιλοσοφίαν, ἣ μόνη τὸν ἀνδρεῖον καὶ τέλειον ὡς ἀληθῶς ἐκ λόγου τοῖς νέοις περιτίθησι κόσμον. οὐκ ἂν ἀηδῶς δ' οἶμαί σε προακοῦσαι περὶ τῆς ἀκουστικῆς αἰσθήσεως, ἣν ὁ Θεόφραστος παθητικωτάτην εἶναί φησι παῶν. οὔτε γὰρ ὁρατὸν οὐδὲν οὔτε γευστὸν οὔθ' ἁπτὸν ἐκστάσεις ἐπιφέρει καὶ ταραχὰς καὶ πτοίας τηλικαύτας ἡλίκαι καταλαμβάνουσι τὴν ψυχὴν κτύπων τινῶν καὶ πατάγων καὶ ἤχων τῇ ἀκοῇ προσπεσόντων. ἔστι δὲ λογικωτέρα μᾶλλον ἢ παθητικωτέρα. τῇ μὲν γὰρ κακίᾳ πολλὰ χωρία καὶ μέρη τοῦ σώματος παρέχει δι' αὐτῶν ἐνδῦσαν ἅψασθαι τῆς ψυχῆς, τῇ δ' ἀρετῇ μία λαβὴ τὰ ὦτα τῶν νέων ἐστίν, ἂν καθαρὰ καὶ ἄθρυπτα κολακείᾳ καὶ λόγοις ἄθικτα φαύλοις ἀπ' ἀρχῆς φυλάττηται. διὸ καὶ Ξενοκράτης τοῖς παισὶ μᾶλλον ἢ τοῖς ἀθληταῖς ἐκέλευε περιάπτειν ἀμφωτίδας, ὡς ἐκείνων μὲν τὰ ὦτα ταῖς πληγαῖς, τούτων δὲ τοῖς λόγοις τὰ ἤθη διαστρεφομένων, οὐκ ἀνηκοΐαν

1, 129—130 H. 6, 135—137 R.

4. ἐπεὶ] ἔτι Emperius 15. προακοῦσαι Madvigius: προσακοῦσαι 24. ἂν Reiskius: ἂν ἢ

Digitized by Google

οὐδὲ κωφότητα προμνώμενος, ἀλλὰ τῶν λόγων τοὺς φαύλους φυλάττεσθαι παραινῶν, πρὶν ἑτέρους χρηστούς, ὥσπερ φύλακας ἐντραφέντας ὑπὸ φιλοσοφίας τῷ ἤθει, τὴν μάλιστα κινουμένην αὐτοῦ καὶ ἀναπειθομένην χώραν κατασχεῖν. καὶ Βίας ὁ παλαιὸς Ἀμάσιδι, κελευσθεὶς τὸ χρηστότατον ὁμοῦ καὶ φαυλότατον ἀποπέμψαι κρέας τοῦ ἱερείου, τὴν γλῶτταν ἐξελὼν ἀπέπεμψεν, ὡς καὶ βλάβας καὶ ὠφελείας τοῦ λέγειν ἔχοντος μεγίστας. οἵ τε πολλοὶ τὰ μικρὰ παιδία καταφιλοῦντες αὐτοί τε τῶν ὥτων ἅπτονται κἀκεῖνα τοῦτο ποιεῖν κελεύουσιν, αἰνιττόμενοι μετὰ παιδιᾶς ὅτι δεῖ φιλεῖν μάλιστα τοὺς διὰ τῶν ὥτων ὠφελοῦντας. ἐπεὶ ὅτι γε πάσης ἀκροάσεως ἀπειργόμενος ὁ νέος καὶ λόγου μηδενὸς γευόμενος οὐ μόνον ἄκαρπος ὅλως καὶ ἀβλαστὴς διαμενεῖ πρὸς ἀρετήν, ἀλλὰ καὶ διαστρέφοιτ' ἂν πρὸς κακίαν, ὥσπερ ἐκ χώρας ἀκινήτου καὶ ἀργῆς ἄγρια πολλὰ τῆς ψυχῆς ἀναδιδούς, δῆλόν ἐστι. τὰς γὰρ ἐφ' ἡδονὴν ὁρμὰς καὶ πρὸς πόνον ὑποψίας (οὐ θυραίους οὐδ' ὑπὸ λόγων ἐπεισάκτους, ἀλλ' ὥσπερ αὐτόχθονας οὔσας μυρίων παθῶν καὶ νοσημάτων πηγάς) ἂν ἐᾷ τις ἀφέτους ἢ πεφύκασι χωρεῖν καὶ μὴ λόγοις χρηστοῖς ἀφαιρῶν ἢ παρατρέπων καταρτύῃ τὴν φύσιν, οὐκ ἔστιν ὃ τῶν θηρίων οὐκ ἂν ἡμερώτερον ἀνθρώπου φανείη.

3. Διὸ δὴ μεγάλην μὲν ὠφέλειαν, οὐκ ἐλάττω δὲ κίνδυνον τοῖς νέοις τοῦ ἀκούειν ἔχοντος οἶμαι καλῶς ἔχειν καὶ πρὸς αὐτὸν ἀεὶ καὶ πρὸς ἕτερον διαλέγεσθαι περὶ τοῦ ἀκούειν. ἐπεὶ καὶ τούτῳ κακῶς τοὺς πλείστους χρωμένους ὁρῶμεν, οἳ λέγειν ἀσκοῦσι πρὶν ἀκούειν ἐθισθῆναι· καὶ λόγου μὲν οἴονται μάθη-

1, 130—131 H. 6, 137—139 B.

15. διαμενεῖ Madvigius: διαμένει

Digitized by Google

σιν εἶναι καὶ μελέτην, ἀκροάσει δὲ καὶ τοὺς ὀπωσοῦν χρωμένους ὠφελεῖσθαι. καίτοι τοῖς μὲν σφαιρίζουσιν ἅμα τοῦ βαλεῖν καὶ τοῦ λαβεῖν τὴν σφαῖραν ἡ μάθησις· ἐν δὲ τῇ τοῦ λόγου χρείᾳ τὸ δέξασθαι καλῶς τοῦ προέσθαι πρότερόν ἐστιν, ὥσπερ τοῦ τεκεῖν τὸ συλλαβεῖν καὶ κατασχεῖν τι τῶν γονίμων. ταῖς μὲν οὖν ὄρνισι τὰς ὑπηνεμίους λοχείας καὶ ὠδῖνας ἀτελῶν τινων καὶ ἀψύχων ὑπολειμμάτων ἀρχὰς λέγουσιν εἶναι· τῶν δ' ἀκούειν μὴ δυναμένων νέων μηδ' F ὠφελεῖσθαι δι' ἀκοῆς ἐθισθέντων ὑπηνέμιος ὄντως ὁ λόγος ἐκπίπτων

'ἀκλειὴς ἀίδηλος ὑπαὶ νεφέεσσι κεδάσθη'.

τὰ μὲν γὰρ ἀγγεῖα πρὸς τὴν ὑποδοχὴν τῶν ἐγχεομένων ἐπικλίνουσι καὶ συνεπιστρέφουσιν, ἵν' ἔγχυσις ἀληθῶς, μὴ ἔκχυσις γένηται, αὐτοὺς δὲ τῷ λέγοντι παρέχειν καὶ συναρμόττειν τῇ προσοχῇ τὴν ἀκρόασιν, ὡς μηδὲν ἐκφύγῃ τῶν χρησίμως λεγομένων, οὐ μαν-
39 θάνουσιν, ἀλλ' ὅ πάντων καταγελαστότατόν ἐστιν, ἂν μέν τινι προστύχωσι διηγουμένῳ δεῖπνον ἢ πομπὴν ἢ ὄνειρον ἢ λοιδορίαν γεγενημένην αὐτῷ πρὸς ἄλλον, ἀκροῶνται σιωπῇ καὶ προσλιπαροῦσιν· ἂν δέ τις αὐτοὺς ἐπισπασάμενος διδάσκῃ τι τῶν χρησίμων ἢ παραινῇ τῶν δεόντων ἢ νουθετῇ πλημμελοῦντας ἢ καταπραΰνῃ χαλεπαίνοντας, οὐχ ὑπομένουσιν, ἀλλ' ἂν μὲν δύνωνται, περιγενέσθαι φιλοτιμούμενοι διαμάχονται πρὸς τὸν λόγον· εἰ δὲ μή, φεύγοντες ἀπίασι πρὸς ἑτέρους λόγους καὶ φλυάρους, ὡς ἀγγεῖα φαῦλα καὶ καθρὰ τὰ ὦτα πάντων μᾶλλον ἢ τῶν ἀναγκαίων B ἐμπιπλάντες. τοὺς μὲν οὖν ἵππους οἱ καλῶς τρέφοντες εὐστόμους τῷ χαλινῷ, τοὺς δὲ παῖδας εὐη-

1, 131—132 H. 6, 139—140 R.

17. ἐκφύγῃ*: ἐκφύγοι

Digitized by Google

κόους τῷ λόγῳ παρέχουσι, πολλὰ μὲν ἀκούειν μὴ πολλὰ δὲ λέγειν διδασκομένους. καὶ γὰρ τὸν Ἐπαμεινώνδαν ὁ Σπίνθαρος ἐπαινῶν ἔφη μήτε πλείονα γιγνώσκοντι μήτ' ἐλάττονα φθεγγομένῳ ῥᾳδίως ἐντυχεῖν ἑτέρῳ. καὶ τὴν φύσιν ἡμῶν ἑκάστῳ λέγουσι δύο μὲν ὦτα δοῦναι, μίαν δὲ γλῶτταν, ὡς ἐλάττονα λέγειν ἢ ἀκούειν ὀφείλοντι.

4. Πανταχοῦ μὲν οὖν τῷ νέῳ κόσμος ἀσφαλής ἐστιν ἡ σιωπή, μάλιστα δ' ὅταν ἀκούων ἑτέρου μὴ συνταράττῃ μηδ' ἐξυλακτῇ πρὸς ἕκαστον, ἀλλὰ κἂν C ὁ λόγος ᾖ μὴ λίαν ἀρεστός, ἀνέχηται καὶ περιμένῃ παύσασθαι τὸν διαλεγόμενον, καὶ παυσαμένου μὴ εὐθέως ἐπιβάλλῃ τὴν ἀντίρρησιν, ἀλλ' ὡς Αἰσχίνης φησί, διαλείπῃ χρόνον, εἴτε προσθεῖναί τι βούλοιτο τοῖς λελεγμένοις ὁ εἰρηκώς, εἴτε μεταθέσθαι καὶ ἀφελεῖν. οἱ δ' εὐθὺς ἀντικόπτοντες, οὔτ' ἀκούοντες οὔτ' ἀκουόμενοι, λέγοντες δὲ πρὸς λέγοντας ἀσχημονοῦσιν· ὁ δ' ἐγκρατῶς καὶ μετ' αἰδοῦς ἀκούειν ἐθισθεὶς τὸν μὲν ὠφέλιμον λόγον ἐδέξατο καὶ κατέσχε, τὸν δ' ἄχρηστον ἢ ψευδῆ μᾶλλον διεῖδε καὶ κατεφώρασε, φιλαλήθης φανείς, οὐ φιλόνεικος οὐδὲ προ- D πετὴς καὶ δύσερις. ὅθεν οὐ κακῶς ἔνιοι λέγουσιν ὅτι δεῖ τῶν νέων μᾶλλον ἐκπνευματοῦν τὸ οἴημα καὶ τὸν τῦφον ἢ τῶν ἀσκῶν τὸν ἀέρα τοὺς ἐγχέαι τι βουλομένους χρήσιμον· εἰ δὲ μή, γέμοντες ὄγκου καὶ φυσήματος οὐ προσδέχονται.

5. Φθόνος τοίνυν μετὰ βασκανίας καὶ δυσμενείας οὐδενὶ μὲν ἔργῳ παρὼν ἀγαθός, ἀλλὰ πᾶσιν ἐμπόδιος τοῖς καλοῖς, κάκιστος δ' ἀκροωμένῳ πάρεδρος

1, 132—133 H. 6, 140—142 B.

10. συνταράττῃ*: συνταράττηται 15. καὶ] ἢ καὶ Reiskius 28. ἀγαθός*: ἀγαθόν

Digitized by Google

καὶ σύμβουλος, ἀνιαρὰ καὶ ἀηδῆ καὶ δυσπρόσδεκτα ποιῶν τὰ ὠφέλιμα διὰ τὸ πᾶσι μᾶλλον ἥδεσθαι τοὺς
E φθονοῦντας ἢ τοῖς εὖ λεγομένοις. καίτοι πλοῦτος μὲν ὄντινα δάκνει καὶ δόξα καὶ κάλλος, ἑτέροις ὑπάρχοντα, φθονερός ἐστι μόνον· ἄχθεται γὰρ ἄλλων εὐτυχούντων· ὁ δὲ λόγῳ καλῶς λεγομένῳ δυσχεραίνων ὑπὸ τῶν ἰδίων ἀγαθῶν ἀνιᾶται. ὡς γὰρ τὸ φῶς τῶν βλεπόντων, καὶ ὁ λόγος τῶν ἀκουόντων ἀγαθόν ἐστιν, ἂν βούλωνται δέχεσθαι. τὸν μὲν οὖν ἐφ' ἑτέροις φθόνον ἄλλαι τινὲς ἀπαίδευτοι καὶ κακαὶ διαθέσεις ἐμποιοῦσιν, ὁ δὲ πρὸς τοὺς λέγοντας ἐκ φιλοδοξίας ἀκαίρου καὶ φιλοτιμίας ἀδίκου γεννώμενος οὐδὲ προσέχειν ἐᾷ τοῖς λεγομένοις τὸν οὕτω διακεί-
F μενον, ἀλλὰ θορυβεῖ καὶ περισπᾷ τὴν διάνοιαν, ἅμα μὲν τὴν ἑαυτῆς ἕξιν ἐπισκοποῦσαν εἰ λείπεται τῆς τοῦ λέγοντος, ἅμα δὲ τοὺς ἄλλους ἐπιβλέπουσαν εἰ ἄγανται καὶ θαυμάζουσιν, ἐκπληττομένην τε ὑπὸ τῶν ἐπαίνων καὶ ἀγριαίνουσαν πρὸς τοὺς παρόντας ἂν ἀποδέχωνται τὸν λέγοντα, τῶν δὲ λόγων τοὺς μὲν εἰρημένους ἐῶσαν καὶ προϊεμένην, ὅτι λυποῦσι μνημονευόμενοι, πρὸς δὲ τοὺς λείποντας ταραττομένην καὶ τρέμουσαν μὴ τῶν εἰρημένων βελτίονες γένωνται,
40 σπεύδουσαν δὲ τάχιστα παύσασθαι τοὺς λέγοντας ὅταν κάλλιστα λέγωσι, λυθείσης δὲ τῆς ἀκροάσεως πρὸς οὐδενὶ τῶν εἰρημένων οὖσαν ἀλλὰ τὰς φωνὰς καὶ διαθέσεις τῶν παρόντων ἐπιψηφίζουσαν, καὶ τοὺς μὲν ἐπαινοῦντας ὥσπερ ἐμμανῆ φεύγουσαν καὶ ἀποπηδῶσαν, προστρέχουσαν δὲ καὶ συναγελαζομένην τοῖς ψέγουσι τὰ εἰρημένα καὶ διαστρέφουσιν· ἂν δὲ μηδὲν ᾖ διαστρέψαι, παραβάλλουσαν ἑτέρους τινὰς ὡς ἄμεινον εἰρηκότας εἰς ταὐτὸ καὶ δυνατώτερον, ἕως

1, 133—135 H. 6, 142—144 R.

Digitized by Google

διαφθείρασα καὶ διαλυμηναμένη τὴν ἀκρόασιν ἀχρεῖον ἑαυτῇ καὶ ἀνόνητον ἀπεργάζηται.

6. Διὸ δεῖ τῇ φιληκοΐᾳ πρὸς τὴν φιλοδοξίαν B σπεισάμενον ἀκροᾶσθαι τοῦ λέγοντος ἵλεων καὶ πρᾶον, ὥσπερ ἐφ' ἑστίασιν ἱερὰν καὶ θυσίας ἀπαρχὴν παρειλημμένον, ἐπαινοῦντα μὲν οἷς ἐπιτυγχάνει τὴν δύναμιν, ἀγαπῶντα δὲ τὴν προθυμίαν αὐτὴν τοῦ φέροντος εἰς μέσον ἃ γιγνώσκει καὶ πείθοντος ἑτέρους δι' ὧν αὐτὸς πέπεισται. τοῖς μὲν οὖν κατορθουμένοις ἐπιλογιστέον ὡς οὐκ ἀπὸ τύχης οὐδ' αὐτομάτως ἀλλ' ἐπιμελείᾳ καὶ πόνῳ καὶ μαθήσει κατορθοῦται, καὶ μιμητέον γε ταῦτα θαυμάζοντάς γε δὴ καὶ ζηλοῦντας· τοῖς δ' ἁμαρτανομένοις ἐφιστάναι χρὴ τὴν διάνοιαν, ὑφ' ὧν αἰτιῶν καὶ ὅθεν ἡ παρατροπὴ γέγονεν. ὡς γὰρ ὁ Ξενοφῶν φησι τοὺς οἰκονομικοὺς καὶ ἀπὸ τῶν C φίλων ὀνίνασθαι καὶ ἀπὸ τῶν ἐχθρῶν, οὕτω τοὺς ἐγρηγορότας καὶ προσέχοντας οὐ μόνον κατορθοῦντες ἀλλὰ καὶ διαμαρτάνοντες ὠφελοῦσιν οἱ λέγοντες· καὶ γὰρ διανοήματος εὐτέλεια καὶ ῥήματος κενότης καὶ σχῆμα φορτικὸν καὶ πτόησις μετὰ χαρᾶς ἀπειροκάλου πρὸς ἔπαινον καὶ ὅσα τοιαῦτα μᾶλλον ἀκρωμένοις ἐφ' ἑτέρων ἢ λέγουσιν ἐφ' ἑαυτῶν καταφαίνεται. διὸ δεῖ μεταφέρειν τὴν εὐθύνην ἐφ' ἑαυτοὺς ἀπὸ τοῦ λέγοντος, ἀνασκοποῦντας εἴ τι τοιοῦτο λανθάνομεν ἁμαρτάνοντες. ῥᾷστον γάρ ἐστι τῶν ὄντων τὸ μέμ- D φεσθαι τὸν πλησίον, ἀχρήστως τε καὶ κενῶς γιγνόμενον, ἂν μὴ πρός τινα διόρθωσιν ἢ φυλακὴν ἀναφέρηται τῶν ὁμοίων. καὶ τὸ τοῦ Πλάτωνος οὐκ ὀκνητέον ἀεὶ πρὸς αὐτὸν ἐπὶ τῶν ἁμαρτανόντων

1, 135—136 H. 6, 144—146 R.

11. κατορθοῦται*: κατορθοῦνται 15. Ξενοφῶν] Oecon. I 17 25. μέμφεσθαι*: μέμψασθαι 26. τε] δὲ?

Digitized by Google

ἀναφθέγγεσθαι, 'μή που ἄρ' ἐγὼ τοιοῦτος;' ὡς γὰρ ἐν τοῖς ὄμμασι τῶν πλησίον ἐλλάμποντα τὰ ἑαυτῶν ὁρῶμεν, οὕτως ἐπὶ τῶν λόγων δεῖ τοὺς ἑαυτῶν ἐνεικονίζεσθαι τοῖς ἑτέρων, ἵνα μήτ' ἄγαν θρασέως καταφρονῶμεν ἄλλων, αὐτοῖς τε προσέχωμεν ἐν τῷ λέ-
E γειν ἐπιμελέστερον. χρήσιμον δὲ πρὸς τοῦτο καὶ τὸ τῆς παραβολῆς, ὅταν γενόμενοι καθ' αὑτοὺς ἀπὸ τῆς ἀκροάσεως καὶ λαβόντες τι τῶν μὴ καλῶς ἢ μὴ ἱκανῶς εἰρῆσθαι δοκούντων ἐπιχειρῶμεν εἰς ταὐτὸ καὶ προάγωμεν αὐτοὺς τὰ μὲν ὥσπερ ἀναπληροῦν, τὰ δ' ἐπανορθοῦσθαι, τὰ δ' ἑτέρως φράζειν, τὰ δ' ὅλως ἐξ ὑπαρχῆς εἰσφέρειν πειρώμενοι πρὸς τὴν ὑπόθεσιν. ὃ καὶ Πλάτων ἐποίησε πρὸς τὸν Λυσίου λόγον. τὸ μὲν γὰρ ἀντειπεῖν οὐ χαλεπὸν ἀλλὰ καὶ πάνυ ῥᾴδιον εἰρημένῳ λόγῳ· τὸ δ' ἕτερον ἀνανασταῖσαι βελτίονα παντάπασιν ἐργῶδες. ὥσπερ ὁ Λακεδαιμόνιος ἀκούσας ὅτι Φίλιππος Ὄλυνθον κατέσκαψεν 'ἀλλ' οὐκ ἀνασταῖσαί γε τοιαύτην' ἔφη 'πόλιν ἐκεῖνος ἂν δυνη-
F θείη'. ὅταν οὖν ἐν τῷ διαλέγεσθαι πρὸς τὴν τοιαύτην ὑπόθεσιν μὴ πολὺ φαινώμεθα τῶν εἰρηκότων διαφέροντες, πολὺ τοῦ καταφρονεῖν ἀφαιροῦμεν, καὶ τάχιστα κολούεται τὸ αὔθαδες ἡμῶν καὶ φίλαυτον ἐν ταῖς τοιαύταις ἐλεγχόμενον ἀντιπαραβολαῖς.

7. Τῷ τοίνυν καταφρονεῖν τὸ θαυμάζειν ἀντικείμενον εὐγνωμονεστέρας μέν ἐστι δήπου καὶ ἡμερωτέρας φύσεως, δεῖταί γε μὴν οὐδ' αὐτὸ μικρᾶς εὐλα-
41 βείας, τάχα δὲ καὶ μείζονος· οἱ μὲν γὰρ καταφρονητικοὶ καὶ θρασεῖς ἧττον ὠφελοῦνται ὑπὸ τῶν λεγόντων, οἱ δὲ θαυμαστικοὶ καὶ ἄκακοι μᾶλλον βλάπτονται, καὶ τὸν Ἡράκλειτον οὐκ ἐλέγχουσιν εἰπόντα 'βλὰξ

1, 136—137 H. 6, 146—147 R.

1. μή*: ἦ 30. βλάξ] P. 28 D

Digitized by Google

ἄνθρωπος ἐπὶ παντὶ λόγῳ ἐπτοῆσθαι φιλεῖ'. δεῖ δὲ
τὸν μὲν ἔπαινον ἀφελῶς τοῖς λέγουσι τὴν δὲ πίστιν
εὐλαβῶς προΐεσθαι τοῖς λόγοις, καὶ τῆς μὲν λέξεως
καὶ προφορᾶς τῶν ἀγωνιζομένων εὐμενῆ καὶ ἁπλοῦν
εἶναι θεατήν, τῆς δὲ χρείας καὶ τῆς ἀληθείας τῶν
λεγομένων ἀκριβῆ καὶ πικρὸν ἐξεταστήν, ἵν' οἱ μὲν
λέγοντες μὴ μισῶσιν, οἱ δὲ λόγοι μὴ βλάπτωσιν. ὡς B
πολλὰ ψευδῆ καὶ πονηρὰ δόγματα λανθάνομεν εὐνοίᾳ
καὶ πίστει τῇ πρὸς τοὺς λέγοντας ἐνδεχόμενοι. οἱ
μὲν οὖν Λακεδαιμονίων ἄρχοντες ἀνδρὸς οὐκ εὖ βε-
βιωκότος γνώμην δοκιμάσαντες ἑτέρῳ προσέταξαν
εἰπεῖν εὐδοκιμοῦντι περὶ τὸν βίον καὶ τὸ ἦθος, ὀρ-
θῶς πάνυ καὶ πολιτικῶς ἐθίζοντες τὸν δῆμον ὑπὸ
τοῦ τρόπου μᾶλλον ἢ τοῦ λόγου τῶν συμβουλευόν-
των ἄγεσθαι. τοὺς δ' ἐν φιλοσοφίᾳ λόγους ἀφαι-
ροῦντα χρὴ τὴν τοῦ λέγοντος δόξαν αὐτοὺς ἐφ' ἑαυ-
τῶν ἐξετάζειν. ὡς γὰρ πολέμου, καὶ ἀκροάσεως
πολλὰ τὰ κενά ἐστι. καὶ γὰρ πολιὰ τοῦ λέγοντος
καὶ πλάσμα καὶ ὀφρῦς καὶ περιαυτολογία, μάλιστα δ' C
αἱ κραυγαὶ καὶ οἱ θόρυβοι καὶ τὰ πηδήματα τῶν παρ-
όντων συνεκπλήττει τὸν ἄπειρον ἀκροατὴν καὶ νέον
ὥσπερ ὑπὸ ῥεύματος παραφερόμενον. ἔχει δέ τι καὶ
ἡ λέξις ἀπατηλόν, ὅταν ἡδεῖα καὶ πολλὴ καὶ μετ'
ὄγκου τινὸς καὶ κατασκευῆς ἐπιφέρηται τοῖς πράγμα-
σιν. ὡς γὰρ τῶν ὑπ' αὐλοῖς ᾀδόντων αἱ πολλαὶ
τοὺς ἀκούοντας ἁμαρτίαι διαφεύγουσιν, οὕτω περιττὴ
καὶ σοβαρὰ λέξις ἀντιλάμπει τῷ ἀκροατῇ πρὸς τὸ
δηλούμενον. ὁ μὲν γὰρ Μελάνθιος, ὡς ἔοικε, περὶ D
τῆς Διογένους τραγῳδίας ἐρωτηθεὶς οὐκ ἔφη κατιδεῖν
αὐτὴν ὑπὸ τῶν ὀνομάτων ἐπιπροσθουμένην· αἱ δὲ

1, 137—138 H. 6, 147—149 R.

1. ἐπτοῆσθαι Xylander: παιδεύεσθαι

Digitized by Google

τῶν πολλῶν διαλέξεις καὶ μελέται σοφιστῶν οὐ μόνον τοῖς ὀνόμασι παραπετάσμασι χρῶνται τῶν διανοημάτων, ἀλλὰ καὶ τὴν φωνὴν ἐμμελείαις τισὶ καὶ μαλακότησι καὶ παρισώσεσιν ἐφηδύνοντες ἐκβακχεύουσι καὶ παραφέρουσι τοὺς ἀκροωμένους, κενὴν ἡδονὴν διδόντες καὶ κενωτέραν δόξαν ἀντιλαμβάνοντες. ὥστ' αὐτοῖς συμβαίνει τὸ ὑπὸ Διονυσίου ῥηθέν. ἐκεῖνος γάρ,
E ὡς ἔοικεν, εὐδοκιμοῦντι κιθαρῳδῷ παρὰ τὴν θέαν ἐπαγγειλάμενος δωρεάς τινας μεγάλας ὕστερον οὐδὲν ἔδωκεν ὡς ἀποδεδωκὼς τὴν χάριν· 'ὅσον γάρ' ἔφη 'χρόνον ηὔφραινες ᾄδων, τοσοῦτον ἔχαιρες ἐλπίζων'. τοῦτον δὲ τὸν ἔρανον αἱ τοιαῦται πληροῦσιν ἀκροάσεις τοῖς λέγουσι· θαυμάζονται γὰρ ἐφ' ὅσον τέρπουσιν, εἶτα ἅμα τῆς ἀκοῆς ἐξερρύη τὸ ἡδὺ κἀκείνους προλέλοιπεν ἡ δόξα, καὶ μάτην τοῖς μὲν ὁ χρόνος τοῖς δὲ καὶ ὁ βίος ἀνάλωται.

8. Διὸ δεῖ τὸ πολὺ καὶ κενὸν ἀφαιροῦντα τῆς
F λέξεως αὐτὸν διώκειν τὸν καρπὸν καὶ μιμεῖσθαι μὴ τὰς στεφανηπλόκους ἀλλὰ τὰς μελίσσας. αἱ μὲν γὰρ ἐπιοῦσαι τὰ ἀνθηρὰ καὶ εὐώδη τῶν φύλλων συνείρουσι καὶ διαπλέκουσιν ἡδὺ μὲν ἐφήμερον δὲ καὶ ἄκαρπον ἔργον· αἱ δὲ πολλάκις ἴων καὶ ῥόδων καὶ ὑακίνθων διαπετόμενοι λειμῶνας ἐπὶ τὸν τραχύτατον καὶ δριμύτατον θύμον καταίρουσι καὶ τούτῳ προσκάθηνται

'ξανθὸν μέλι μηδόμεναι',

καὶ λαβοῦσαί τι τῶν χρησίμων ἀποπέτονται πρὸς τὸ οἰκεῖον ἔργον. οὕτως οὖν δεῖ τὸν φιλότεχνον καὶ
42 καθαρὸν ἀκροατὴν τὰ μὲν ἀνθηρὰ καὶ τρυφερὰ τῶν

1, 138—139 H. 6, 149—151 R.

19. στεφανηπλόκους*: στεφηπλόκους p. 1135[3] 26. Bergk.

Digitized by Google

ὀνομάτων καὶ τῶν πραγμάτων τὰ δραματικὰ καὶ πανηγυρικὰ κηφήνων βοτάνην σοφιστιώντων ἡγούμενον ἐᾶν, αὐτὸν δὲ τῇ προσοχῇ καταδυόμενον εἰς τὸν νοῦν τοῦ λόγου καὶ τὴν διάθεσιν τοῦ λέγοντος ἕλκειν ἀπ' αὐτῆς τὸ χρήσιμον καὶ ὠφέλιμον, μεμνημένον ὡς οὐκ εἰς θέατρον οὐδ' ᾠδεῖον ἀλλ' εἰς σχολὴν καὶ διδασκαλεῖον ἀφῖκται, τῷ λόγῳ τὸν βίον ἐπανορθωσόμενος. ὅθεν δὴ καὶ ποιητέον ἐπίσκεψιν καὶ κρίσιν τῆς ἀκροάσεως ἐξ αὑτοῦ καὶ τῆς περὶ αὐτὸν διαθέσεως, ἀναλογιζόμενον εἴ τι τῶν παθῶν γέγονε μαλακώτερον, εἴ τι τῶν ἀνιαρῶν κουφότερον, εἰ θάρσος εἰ φρόνημα βέβαιον, B εἰ πρὸς ἀρετὴν καὶ τὸ καλὸν ἐνθουσιασμός. οὐ γὰρ ἐκ κουρείου μὲν ἀναστάντα δεῖ τῷ κατόπτρῳ παραστῆναι καὶ τῆς κεφαλῆς ἅψασθαι, τὴν περικοπὴν τῶν τριχῶν ἐπισκοποῦντα καὶ τῆς κουρᾶς τὴν διαφοράν, ἐκ δὲ ἀκροάσεως ἀπιόντα καὶ σχολῆς οὐκ εὐθὺς ἀφορᾶν χρὴ πρὸς ἑαυτόν, καταμανθάνοντα τὴν ψυχὴν εἴ τι τῶν ὀχληρῶν ἀποτεθειμένη καὶ περιττῶν ἐλαφροτέρα γέγονε καὶ ἡδίων. 'οὔτε γὰρ βαλανείου' φησὶν ὁ 'Αρίστων 'οὔτε λόγου μὴ καθαίροντος ὄφελός ἐστιν'.

9. 'Ηδέσθω μὲν οὖν ὑπὸ λόγων ὠφελούμενος ὁ C νέος· οὐ δεῖ δὲ τὸ ἡδὺ τῆς ἀκροάσεως ποιεῖσθαι τέλος, οὐδ' οἴεσθαι δεῖν ἐκ σχολῆς ἀπιέναι φιλοσόφου μινυρίζοντα καὶ γεγανωμένον, οὐδὲ ζητεῖν μυρίζεσθαι δεόμενον ἐμβροχῆς καὶ καταπλάσματος, ἀλλὰ χάριν ἔχειν, ἄν τις ὥσπερ καπνῷ σμῆνος λόγῳ δριμεῖ τὴν διάνοιαν ἀχλύος πολλῆς καὶ ἀμβλύτητος γέμουσαν ἐκκαθήρῃ. καὶ γὰρ εἰ τοῖς λέγουσι προσήκει μὴ παντάπασιν ἡδονὴν ἐχούσης καὶ πιθανότητα λέξεως παραμελεῖν, ἐλάχιστα τούτου φροντιστέον ἐστὶ τῷ νέῳ,

1, 139—140 H. 6, 151—153 B.

Digitized by Google

τό γε πρῶτον. ὕστερον δέ που, καθάπερ οἱ πίνον-
D τες, ὅταν παύσωνται διψῶντες, τότε τὰ τορεύματα
τῶν ἐκπωμάτων ὑποθεωροῦσι καὶ στρέφουσιν, οὕτως
ἐμπλησθέντι δογμάτων καὶ ἀναπνεύσαντι δοτέον τὴν
λέξιν εἴ τι κομψὸν ἔχει καὶ περιττὸν ἐπισκοπεῖν. ὁ
δ' εὐθὺς ἐξ ἀρχῆς μὴ τοῖς πράγμασιν ἐμφυόμενος
ἀλλὰ τὴν λέξιν Ἀττικὴν ἀξιῶν εἶναι καὶ ἰσχνὴν
ὅμοιός ἐστι μὴ βουλομένῳ πιεῖν ἀντίδοτον, ἂν μὴ
τὸ ἀγγεῖον ἐκ τῆς Ἀττικῆς κωλιάδος ᾖ κεκεραμευμέ-
νον, μηδ' ἱμάτιον περιβαλέσθαι χειμῶνος, εἰ μὴ προ-
βάτων Ἀττικῶν εἴη τὸ ἔριον, ἀλλ' ὥσπερ ἐν τρίβωνι
Λυσιακοῦ λόγου λεπτῷ καὶ ψιλῷ καθήμενος ἄπρακτος
E καὶ ἀκίνητος. ταῦτα γὰρ τὰ νοσήματα πολλὴν μὲν
ἐρημίαν νοῦ καὶ φρενῶν ἀγαθῶν, πολλὴν δὲ τερ-
θρείαν καὶ στωμυλίαν ἐν ταῖς σχολαῖς πεποίηκε, τῶν
μειρακίων οὔτε βίον οὔτε πρᾶξιν οὔτε πολιτείαν φι-
λοσόφου παραφυλαττόντων ἀνδρός, ἀλλὰ λέξεις καὶ
ῥήματα καὶ τὸ καλῶς ἀπαγγέλλειν ἐν ἐπαίνῳ τιθεμέ-
νων, τὸ δ' ἀπαγγελλόμενον εἴτε χρήσιμον εἴτ' ἄχρη-
στον εἴτ' ἀναγκαῖον εἴτε κενόν ἐστι καὶ περιττὸν οὐκ
ἐπισταμένων οὐδὲ βουλομένων ἐξετάζειν.

10. Ἀκολουθεῖ δὲ τούτοις τὸ περὶ τῶν προβλη-
F μάτων παράγγελμα. δεῖ γὰρ τὸν ἐπὶ δεῖπνον ἥκοντα
τοῖς παρακειμένοις χρῆσθαι καὶ μηδὲν αἰτεῖν ἄλλο
μηδ' ἐξελέγχειν· ὁ δ' ἐπὶ λόγων ἀφιγμένος ἑστίασιν,
ἂν μὲν ἐπὶ ῥητοῖς, ἀκροάσθω σιωπῇ τοῦ λέγοντος
(οἱ γὰρ εἰς ἄλλας ὑποθέσεις ἐξάγοντες καὶ παρεμ-
βάλλοντες ἐρωτήματα καὶ προσδιαποροῦντες, οὐχ
ἡδεῖς οὐδ' εὐσυνάλλακτοι πρὸς ἀκρόασιν ὄντες, ὠφε-
λοῦνται μὲν οὐδέν, τὸν δὲ λέγοντα καὶ τὸν λόγον
ὁμοῦ συνταράσσουσιν)· ὅταν δὲ τοὺς ἀκούοντας ὁ

1, 140—142 H. 6, 153—155 B

Digitized by Google

λέγων ἐρωτᾶν καὶ προβάλλειν κελεύσῃ, χρήσιμόν τι δεῖ καὶ ἀναγκαῖον ἀεὶ προβάλλοντα φαίνεσθαι. ὁ μὲν γὰρ Ὀδυσσεὺς καταγελᾶται παρὰ τοῖς μνηστῆρσιν

43 'αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας'·

μεγαλοψυχίας γὰρ ἡγοῦνται σημεῖον, ὡς τὸ διδόναι τι τῶν μεγάλων, καὶ τὸ αἰτεῖν. μᾶλλον δ' ἄν τις ἀκροατοῦ καταγελάσειεν εἰς μικρὰ καὶ γλίσχρα προβλήματα τὸν διαλεγόμενον κινοῦντος. οἷον τερθρευόμενοί τινες τῶν νέων καὶ παρεπιδεικνύμενοι διαλεκτικὴν ἢ μαθηματικὴν ἕξιν εἰώθασι προβάλλειν περὶ τῆς τῶν ἀορίστων τομῆς, καὶ τίς ἡ κατὰ πλευρὰν ἢ κατὰ διάμετρον κίνησις. πρὸς οὓς ἔστιν εἰπεῖν τὸ ὑπὸ
B Φιλοτίμου πρὸς τὸν ἔμπυον καὶ φθισιῶντα ῥηθέν. ἐπεὶ γὰρ ἐλάλησεν αὐτῷ φαρμάκιον αἰτῶν πρὸς παρωνυχίαν, αἰσθόμενος ἀπὸ τῆς χρόας καὶ τῆς ἀναπνοῆς τὴν διάθεσιν 'οὐκ ἔστι σοι' φησίν 'ὦ βέλτιστε περὶ παρωνυχίας ὁ λόγος'. οὐδὲ σοὶ τοίνυν, ὦ νεανία, περὶ τοιούτων ζητημάτων ὥρα σκοπεῖν, ἀλλὰ πῶς οἰήματος καὶ ἀλαζονείας ἐρώτων τε καὶ φλυαρίας ἀπολυθεὶς εἰς βίον ἄτυφον καὶ ὑγιαίνοντα καταστήσεις σαυτόν.

11. Εὖ μάλα δὲ χρὴ καὶ πρὸς τὴν τοῦ λέγοντος ἐμπειρίαν ἢ φυσικὴν δύναμιν ἡρμοσμένον, ἐν οἷς αὐτὸς ἑαυτοῦ κράτιστός ἐστι, ποιεῖσθαι τὰς ἐρωτήσεις,
C καὶ μὴ παραβιάζεσθαι τὸν μὲν ἠθικώτερον φιλοσοφοῦντα φυσικὰς ἐπάγοντα καὶ μαθηματικὰς ἀπορίας, τὸν δὲ τοῖς φυσικοῖς κεμνυνόμενον εἰς συνημμένων ἐπικρίσεις ἕλκοντα καὶ ψευδομένων λύσεις. ὡς γὰρ ὁ τῇ κλειδὶ τὰ ξύλα σχίζειν τῇ δ' ἀξίνῃ τὴν θύραν

1, 142—143 H. 6, 155—156 R

4. Homer. ρ 222 8. οἷον*: οἷα 23. αὐτὸς] Nauck. p. 329

Digitized by Google

ἀνοίγειν πειρώμενος οὐκ ἐκεῖνα δόξειεν ἂν ἐπηρεάζειν, ἀλλ' αὐτὸν ἀποστερεῖν τῆς ἑκατέρου χρείας καὶ δυνάμεως, οὕτως οἱ παρὰ τοῦ λέγοντος ὃ μὴ πέφυκε μηδ' ἥσκηκεν αἰτοῦντες, ὃ δ' ἔχει καὶ δίδωσι μὴ δρεπόμενοι μηδὲ λαμβάνοντες, οὐ τοῦτο βλάπτονται μό-
D νον ἀλλὰ καὶ κακοήθειαν καὶ δυσμένειαν προσοφλισκάνουσι.

12. Φυλακτέον δὲ καὶ τὸ πολλὰ καὶ πολλάκις αὐτὸν προβάλλειν· ἔστι γὰρ καὶ τοῦτο τρόπον τινὰ παρεπιδεικνυμένου. τὸ δ' ἑτέρου προτείνοντος ἀκροᾶσθαι μετ' εὐκολίας φιλόλογον καὶ κοινωνικόν, ἂν μή τι τῶν ἰδίων ἐνοχλῇ καὶ κατεπείγῃ πάθος ἐπισχέσεως δεόμενον ἢ νόσημα παρηγορίας. τάχα μὲν γὰρ οὐδ' 'ἀμαθίην κρύπτειν ἄμεινον', ὥς φησιν Ἡράκλειτος, ἀλλ' εἰς μέσον τιθέναι καὶ θεραπεύειν. ἂν δ' ὀργή τις ἢ προσβολὴ δεισιδαιμονίας ἢ διαφορὰ πρὸς οἰκείους σύντονος ἢ περιμανὴς ἐξ ἔρωτος ἐπιθυμία

E 'κινοῦσα χορδὰς τὰς ἀκινήτους φρενῶν'

ἐπιταράξῃ τὴν διάνοιαν, οὐ φευκτέον εἰς ἑτέρους λόγους ἀποδιδράσκοντας τὸν ἔλεγχον, ἀλλὰ περὶ αὐτῶν τούτων ἀκουστέον ἐν ταῖς διατριβαῖς, καὶ μετὰ τὰς διατριβὰς ἰδίᾳ προσιόντας αὐτοὺς καὶ προσανακρίνοντας. ἀλλὰ μὴ τοὐναντίον, ὥσπερ οἱ πολλοὶ χαίρουσι τοῖς φιλοσόφοις περὶ ἄλλων διαλεγομένοις καὶ θαυμάζουσιν· ἂν δὲ τοὺς ἄλλους ἐάσας ὁ φιλόσοφος αὐτοῖς ἐκείνοις ἰδίᾳ παρρησιάζηται περὶ τῶν διαφερόντων καὶ ὑπομιμνήσκῃ, δυσχεραίνουσι καὶ πε-
F ρίεργον νομίζουσιν. ἐπιεικῶς γάρ, ὥσπερ τῶν τραγῳδῶν ἐν τοῖς θεάτροις, καὶ τῶν φιλοσόφων ἐν ταῖς

1, 143—144 H. 6, 156—158 R.

9. αὐτὸν Iägerus: αὐτὸν 19. Nauck. p. 696

Digitized by Google

σχολαῖς οἴονται δεῖν ἀκούειν, ἐν δὲ τοῖς ἔξω πράγμασιν οὐδὲν αὐτοὺς ἑαυτῶν διαφέρειν ἡγοῦνται, πρὸς μὲν τοὺς σοφιστὰς εἰκότως τοῦτο πεπονθότες (ἀναστάντες γὰρ ἀπὸ τοῦ θρόνου καὶ ἀποθέμενοι τὰ βιβλία καὶ τὰς εἰσαγωγὰς ἐν τοῖς ἀληθινοῖς τοῦ βίου μέρεσι μικροὶ καὶ ὑπὸ χεῖρα φαίνονται τοῖς πολλοῖς), περὶ δὲ τῶν ὄντως φιλοσόφων οὐ καλῶς ἀγνοοῦντες ὅτι καὶ σπουδὴ καὶ παιδιὰ καὶ νεῦμα καὶ μειδίαμα καὶ σκυθρωπασμὸς αὐτῶν, μάλιστα δ' ὁ πρὸς ἕκαστον ἰδίᾳ περαινόμενος λόγος ἔχει τινὰ καρπὸν ὠφέλιμον τοῖς ὑπομένειν καὶ προσέχειν ἐθισθεῖσι. 44

13. Δεῖται δὲ καὶ τὸ περὶ τοὺς ἐπαίνους καθῆκον εὐλαβείας τινὸς καὶ μετριότητος διὰ τὸ μήτε τὴν ἔλλειψιν αὐτοῦ μήτε τὴν ὑπερβολὴν ἐλευθέριον εἶναι. βαρὺς μὲν γὰρ ἀκροατὴς καὶ φορτικὸς ὁ πρὸς πᾶν ἄτεγκτος καὶ ἀτενὴς τὸ λεγόμενον, οἰήματος ὑπούλου καὶ περιαυτολογίας ἐνδιαθέτου μεστός, ὡς ἔχων τι τῶν λεγομένων βέλτιον εἰπεῖν, μήτ' ὀφρύος κατάστημα κινῶν μήτε φωνὴν εὐγνώμονος μάρτυρα φιλοκοΐας προϊέμενος, ἀλλὰ σιγῇ καὶ βαρύτητι καταπλάστῳ καὶ σχηματισμῷ θηρώμενος δόξαν εὐσταθοῦς καὶ βάθος ἔχοντος ἀνδρός, ὥσπερ χρημάτων τῶν ἐπαίνων ὅσον ἄλλῳ μεταδίδωσιν αὐτοῦ δοκῶν ἀφαιρεῖσθαι. πολλοὶ γάρ εἰσιν οἱ κακῶς καὶ παρὰ μέλος τὴν Πυθαγόρου φωνὴν ὑπολαμβάνοντες. ἐκεῖνος μὲν γὰρ ἐκ φιλοσοφίας ἔφησεν αὐτῷ περιγεγονέναι τὸ μηδὲν θαυμάζειν· οὗτοι δὲ τὸ μηδὲν ἐπαινεῖν μηδὲ τιμᾶν ἐν τῷ καταφρονεῖν τίθενται καὶ τὸ σεμνὸν ὑπεροψίᾳ διώκουσιν **. ὁ γὰρ φιλόσοφος λόγος τὸ μὲν ἐξ ἀπει-

1, 144—145 H. 6, 158—160 R.

18. ὀφρύος κατάστημα Lobeckius: ὀφρῦν κατὰ σχῆμα
29. Signavi hiatum ἀπειρίας Xylander: ἀπορίας

Digitized by Google

C ρίας καὶ ἀγνοίας θαῦμα καὶ θάμβος ἐξαιρεῖ γνώσει καὶ ἱστορίᾳ τῆς περὶ ἕκαστον αἰτίας, τὸ δ' εὔκολον καὶ μείλιχον καὶ φιλάνθρωπον οὐκ ἀπόλλυσι. τοῖς γὰρ ἀληθινῶς καὶ βεβαίως ἀγαθοῖς τιμή τε καλλίστη τὸ τιμῆσαί τινα τῶν ἀξίων, καὶ κόσμος εὐπρεπέστατος τὸ ἐπικοσμῆσαι τὸν ἐν περιουσίᾳ δόξης καὶ ἀφθονίᾳ γιγνόμενον. οἱ δὲ γλίσχροι περὶ τοὺς ἑτέρων ἐπαίνους ἔτι πένεσθαι καὶ πεινῆν ἐοίκασι τῶν ἰδίων. ὁ δ' ἐναντίος αὖ πάλιν τούτων, μηδὲν ἐπικρίνων ἀλλὰ κατὰ ῥῆμα καὶ συλλαβὴν ἐξιστάμενος καὶ κεκραD γώς, ἐλαφρός τις ὢν καὶ ὀρνεώδης, πολλάκις μὲν οὐδ' αὐτοῖς ἀρέσκει τοῖς ἀγωνιζομένοις, ἀεὶ δὲ λυπεῖ τοὺς ἀκροωμένους, ἀνασοβῶν καὶ συνεξανιστὰς παρὰ γνώμην, οἷον ἑλκομένους βίᾳ δι' αἰδῶ καὶ συνεπηχοῦντας. οὐδὲν δ' ὠφεληθεὶς διὰ τὸ ταραχώδη καὶ πολυπτόητον αὑτῷ περὶ τοὺς ἐπαίνους γεγονέναι τὴν ἀκρόασιν ἀπέρχεται τῶν τριῶν ἓν φερόμενος· εἴρων γὰρ ἢ κόλαξ ἢ περὶ λόγους ἀπειρόκαλος ἔδοξεν εἶναι. δίκην μὲν οὖν δικάζοντα δεῖ μήτε πρὸς ἔχθραν τινὰ Eμήτε πρὸς χάριν ἀκούειν ἀλλ' ἀπὸ γνώμης πρὸς τὸ δίκαιον· ἐν δὲ ταῖς φιλολόγοις ἀκροάσεσιν οὔτε νόμος οὐδεὶς οὔθ' ὅρκος ἡμᾶς ἀπείργει μὴ μετ' εὐνοίας ἀποδέχεσθαι τὸν διαλεγόμενον. ἀλλὰ καὶ τὸν Ἑρμῆν ταῖς Χάρισιν οἱ παλαιοὶ συγκαθίδρυσαν, ὡς μάλιστα τοῦ λόγου τὸ κεχαρισμένον καὶ προσφιλὲς ἀπαιτοῦντος. οὐδὲ γὰρ οἷόν τε παντελῶς οὕτως ἐκβόλιμον εἶναι τὸν λέγοντα καὶ διημαρτημένον, ὥστε μήτε νοῦν τινα παρασχεῖν ἄξιον ἐπαίνου μήτ' ἀπομνημόνευσιν ἑτέρων μήτ' αὐτὴν τὴν ὑπόθεσιν τοῦ λόγου καὶ

1, 145—146 H. 6, 160—161 R.

1. ἐξαιρεῖ W: ἐξαίρει 3. μείλιχον*: μέγα 6. τὸν ἐν*
10. ἐξιστάμενος Emperius: ἐφιστάμενος

Digitized by Google

προαίρεσιν, ἀλλὰ μηδὲ λέξιν ἢ διάθεσιν τῶν λεγομένων,
'ὡς ἀν' ἐχινόποδας καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν
φύονται μαλακῶν ἄνθεα λευκοΐων'. F
ὅπου γὰρ ἐμέτου τινὲς ἐγκώμια καὶ πυρετοῦ καὶ νὴ
Δία χύτρας ἐπιδεικνύμενοι πιθανότητος οὐκ ἀμοιροῦ-
σιν, ἢ που λόγος ὑπ' ἀνδρὸς ἀμωσγέπως δοκοῦντος
ἢ καλουμένου φιλοσόφου περαινόμενος οὐκ ἂν ὅλως
ἀναπνοήν τινα καὶ καιρὸν ἀκροαταῖς εὐμενέσι καὶ
φιλανθρώποις παράσχοι πρὸς ἔπαινον; οἱ γοῦν ἐν
ὥρᾳ πάντες, ὥς φησιν ὁ Πλάτων, ἀμηγέπη δάκνουσι
τὸν ἐρωτικόν, καὶ λευκοὺς μὲν θεῶν παῖδας ἀνακα-
λῶν μέλανας δ' ἀνδρικούς, καὶ τὸν γρυπὸν βασιλικὸν
καὶ τὸν σιμὸν ἐπίχαριν τὸν δ' ὠχρὸν μελίχρουν ὑπο- 45
κοριζόμενος ἀσπάζεται καὶ ἀγαπᾷ· δεινὸς γάρ ἐστιν
ὁ ἔρως ὥσπερ κιττὸς αὐτὸν ἐκ πάσης ἀναδῆσαι προ-
φάσεως. πολὺ δὴ μᾶλλον ὁ φιλήκοος καὶ φιλόλογος
ἀεί τινος αἰτίας εὑρετικὸς ἔσται, δι' ἣν οὐκ ἀπὸ τρό-
που τῶν λεγόντων ἕκαστον ἐπαινῶν φανεῖται. καὶ
γὰρ ὁ Πλάτων τὸν Λυσίου λόγον οὔτε κατὰ τὴν εὕ-
ρεσιν ἐπαινῶν καὶ τῆς ἀταξίας αἰτιώμενος ὅμως αὐ-
τοῦ τὴν ἀπαγγελίαν ἐπαινεῖ, καὶ ὅτι 'τῶν ὀνομάτων
σαφῶς καὶ στρογγύλως ἕκαστον ἀποτετόρνευται'.
μέμψαιτο δ' ἄν τις Ἀρχιλόχου μὲν τὴν ὑπόθεσιν, B
Παρμενίδου δὲ τὴν στιχοποιίαν, Φωκυλίδου δὲ τὴν
εὐτέλειαν, Εὐριπίδου δὲ τὴν λαλιάν, Σοφοκλέους δὲ
τὴν ἀνωμαλίαν, ὥσπερ ἀμέλει καὶ τῶν ῥητόρων ἐστὶν
ὁ μὲν οὐκ ἔχων ἦθος, ὁ δὲ πρὸς πάθος ἀργός, ὁ δ'
ἐνδεὴς χαρίτων· ἕκαστός γε μὴν ἐπαινεῖται κατὰ τὸ
ἴδιον τῆς δυνάμεως, ᾧ κινεῖν καὶ ἄγειν πέφυκεν.

1, 146—148 H. 6, 161—164 B.

6. ἀμωσγέπως Reiskius: ἄλλως γέ πως 10. Πλάτων] Rep. V. p. 474 E 19. Πλάτων] Phaedr. p. 234 E

Digitized by Google

ὥστε καὶ τοῖς ἀκούουσιν εὐπορίαν εἶναι καὶ ἀφθονίαν
τοῦ φιλοφρονεῖσθαι τοὺς λέγοντας. ἐνίοις γὰρ ἐξαρ-
κεῖ, κἂν μὴ διὰ φωνῆς ἐπιμαρτυρῶμεν, ὄμματος
πραότητα καὶ γαλήνην προσώπου καὶ διάθεσιν εὐμενῆ
καὶ ἄλυπον ἐμπαρασχεῖν. ἐκεῖνα μὲν γὰρ ἤδη καὶ
C πρὸς τοὺς ὅλως ἀποτυγχάνοντας ὥσπερ ἐγκύκλια καὶ
κοινὰ πάσης ἀκροάσεώς ἐστι, καθέδρα τέ τις ἄθρυ-
πτος καὶ ἀκλινὴς ἐν ὀρθῷ σχήματι καὶ πρόσβλεψις
αὐτῷ τῷ λέγοντι καὶ τάξις ἐνεργοῦ προσοχῆς, καὶ
προσώπου κατάστασις καθαρὰ καὶ ἀνέμφατος οὐχ
ὕβρεως οὐδὲ δυσκολίας μόνον ἀλλὰ καὶ φροντίδων
ἄλλων καὶ ἀσχολιῶν. ἐν ἔργῳ δὲ παντὶ τὸ μὲν κα-
λὸν ἐκ πολλῶν οἷον ἀριθμῶν εἰς ἕνα καιρὸν ἡκόν-
των ὑπὸ συμμετρίας τινὸς καὶ ἁρμονίας ἐπιτελεῖται,
τὸ δ' αἰσχρὸν ἐξ ἑνὸς τοῦ τυχόντος ἐλλείποντος ἢ
προσόντος ἀτόπως εὐθὺς ἑτοίμην ἔχει τὴν γένεσιν,
D ὥσπερ ἐπ' αὐτῆς τῆς ἀκροάσεως οὐ μόνον βαρύτης
ἐπισκυνίου καὶ ἀηδία προσώπου καὶ βλέμμα ῥεμβῶδες
καὶ περίκλασις σώματος καὶ μηρῶν ἐπάλλαξις ἀπρεπὴς
ἀλλὰ καὶ νεῦμα καὶ ψιθυρισμὸς πρὸς ἕτερον καὶ μει-
δίαμα χάσμαι τε ὑπνώδεις καὶ κατήφειαι καὶ πᾶν εἴ
τι τούτοις ἔοικεν ὑπεύθυνόν ἐστι καὶ δεῖται πολλῆς
εὐλαβείας.

14. Οἱ δὲ τοῦ μὲν λέγοντος οἴονταί τι ἔργον
εἶναι, τοῦ δ' ἀκούοντος οὐδέν, ἀλλ' ἐκεῖνον μὲν
ἀξιοῦσιν ἥκειν πεφροντικότα καὶ παρεσκευασμένον,
αὐτοὶ δ' ἄσκεπτοι καὶ ἀφρόντιδες τῶν καθηκόντων
ἐμβαλόντες καθέζονται καθάπερ ἀτεχνῶς ἐπὶ δεῖπνον
E ἥκοντες, εὖ παθεῖν πονουμένων ἑτέρων. καίτοι καὶ
συνδείπνου τι χαρίεντος ἔργον ἐστί, πολὺ δὲ μᾶλλον

1, 148—149 H. 6, 164—165 R.

7. τέ W: δέ 12. ἐν W: ὡς ἐν

Digitized by Google

ἀκροατοῦ. κοινωνὸς γάρ ἐστι λόγου καὶ συνεργὸς τοῦ λέγοντος, καὶ οὐ τὰ μὲν ἐκείνου πλημμελήματα πικρῶς ἐξετάζειν ὀφείλει κατὰ ῥῆμα καὶ πρᾶγμα προσάγων τὴν εὐθύνην, αὐτὸς δ' ἀνευθύνως ἀσχημονεῖν καὶ πολλὰ σολοικίζειν περὶ τὴν ἀκρόασιν, ἀλλ' ὥσπερ ἐν τῷ σφαιρίζειν τῷ βάλλοντι δεῖ συγκινούμενον εὐρύθμως φέρεσθαι τὸν δεχόμενον, οὕτως ἐπὶ τῶν λόγων ἐστί τις εὐρυθμία καὶ περὶ τὸν λέγοντα καὶ περὶ τὸν ἀκροώμενον, ἂν ἑκάτερος τὸ προσῆκον αὑτῷ φυλάττῃ. F

15. Δεῖ δὲ μηδὲ ταῖς φωναῖς τῶν ἐπαίνων ὡς ἔτυχε χρῆσθαι. καὶ γὰρ Ἐπίκουρος ἐπὶ τοῖς τῶν φίλων ἐπιστολίοις κροτοθορύβους γίγνεσθαι παρ' αὐτῶν λέγων ἀηδής ἐστιν. οἱ δὲ τὰς ξένας φωνὰς τοῖς ἀκροατηρίοις νῦν ἐπεισάγοντες, οὗτοι καὶ 'θείως' καὶ 'θεοφορήτως' καὶ 'ἀπροσίτως' ἐπιλέγοντες, ὡς οὐκέτι τοῦ 'καλῶς' καὶ τοῦ 'σοφῶς' καὶ τοῦ 'ἀληθῶς' ἐξαρκοῦντος, οἷς οἱ περὶ Πλάτωνα καὶ Σωκράτη καὶ Ὑπερείδην ἐχρῶντο σημείοις τῶν ἐπαίνων, ὑπερασχημονοῦσι καὶ διαβάλλουσι τοὺς λέγοντας ὡς ὑπερη- 46
φάνων τινῶν καὶ περιττῶν δεομένους ἐπαίνων. σφόδρα δ' ἀηδεῖς εἰσι καὶ οἱ μεθ' ὅρκου τοῖς λέγουσιν ὥσπερ ἐν δικαστηρίῳ τὰς μαρτυρίας ἀποδιδόντες. οὐχ ἧττον δὲ τούτων οἱ περὶ τὰς ποιότητας ἀστοχοῦντες, ὅταν φιλοσόφῳ μὲν ἐπιφωνῶσι 'δριμέως', γέροντι δ' 'εὐφυῶς' ἢ 'ἀνθηρῶς', τὰς τῶν παιζόντων καὶ πανηγυριζόντων ἐν ταῖς σχολαστικαῖς μελέταις φωνὰς ἐπὶ τοὺς φιλοσόφους μετακομίζοντες καὶ λόγῳ σωφρονοῦντι προσφέροντες ἔπαινον ἑταιρικόν, ὥσπερ B
ἀθλητῇ κρίνων ἢ ῥόδων στέφανον, οὐ δάφνης οὐδὲ

1, 149—150 H. 6, 165—167 R.

3. προσάγων Reiskius: προάγων 12. Ἐπίκουρος] Diog. L. X 5

Digitized by Google

κοτίνου περιτιθέντες. Εὐριπίδης μὲν οὖν ὁ ποιητής, ὡς ὑπολέγοντος αὐτοῦ τοῖς χορευταῖς ᾠδήν τινα πεποιημένην ἐφ' ἁρμονίας εἷς ἐγέλασεν, 'εἰ μή τις ἦς ἀναίσθητος' εἶπε 'καὶ ἀμαθής, οὐκ ἂν ἐγέλασας ἐμοῦ μιξολυδιστὶ ᾄδοντος'. ἀνὴρ δ' ἂν οἶμαι φιλόσοφος καὶ πολιτικὸς ἀκροατοῦ διακεχυμένου τρυφὴν ἐκκόψειεν εἰπών 'σύ μοι δοκεῖς ἀνόητος εἶναι καὶ ἀνάγωγος· οὐ γὰρ ἂν ἐμοῦ διδάσκοντος ἢ νουθετοῦντος ἢ διαλεγομένου περὶ θεῶν ἢ πολιτείας ἢ ἀρχῆς ἐτερέτιζες καὶ προσωρχοῦ τοῖς λόγοις'. ὅρα γὰρ ἀληθῶς οἷόν ἐστι φιλοσόφου λέγοντος ἀπορεῖν τοὺς ἔξωθεν ὑπὸ τῶν ἔνδον βοώντων καὶ ἀλαλαζόντων πότερον αὐλοῦντος ἢ κιθαρίζοντος ἢ ὀρχουμένου τινὸς ὁ ἔπαινός ἐστι.

16. Καὶ μὴν τῶν γε νουθεσιῶν καὶ τῶν ἐπιπλήξεων οὔτ' ἀναλγήτως οὔτ' ἀνάνδρως ἀκουστέον. οἱ γὰρ εὐκόλως καὶ ὀλιγώρως τὸ κακῶς ἀκούειν ὑπὸ τῶν φιλοσόφων φέροντες, ὥστε γελᾶν ἐλεγχόμενοι καὶ τοὺς ἐλέγχοντας ἐπαινεῖν, ὥσπερ οἱ παράσιτοι τοὺς τρέφοντας, ὅταν ὑπ' αὐτῶν λοιδορῶνται, πανταπασιν ἰταμοὶ καὶ θρασεῖς ὄντες, οὐ καλὴν οὐδ' ἀληθῆ διδόασιν ἀπόδειξιν ἀνδρείας· τὴν ἀναισχυντίαν. σκῶμμα μὲν γὰρ ἀνύβριστον ἐν παιδιᾷ τινι μετ' εὐτραπελίας ἀφειμένον ἐνεγκεῖν ἁλύπως καὶ ἱλαρῶς οὐκ ἀγεννὲς οὐδ' ἀπαίδευτον ἀλλ' ἐλευθέριον πάνυ καὶ Λακωνικόν ἐστιν· ἐπαφῆς δὲ καὶ νουθεσίας πρὸς ἐπανόρθωσιν ἤθους ὥσπερ φαρμάκῳ δάκνοντι λόγῳ χρωμένης ἐλέγχοντι μὴ συνεσταλμένον ἀκούειν μηδ' ἱδρῶτος καὶ ἱλίγγου μεστὸν μηδ' αἰσχύνῃ φλεγόμενον τὴν ψυχὴν ἀλλ' ἄτρεπτον καὶ σεσηρότα καὶ κατειρωνευό-

1, 150—151 H. 6, 167—169 R.

16. οἱ*: οἵ τε 29. μηδ'*

Digitized by Google

μενον, ἀνελευθέρου τινὸς δεινῶς καὶ ἀπαθοῦς πρὸς
τὸ αἰδεῖσθαι νέου διὰ συνήθειαν ἁμαρτημάτων καὶ
συνέχειαν, ὥσπερ ἐν σκληρᾷ σαρκὶ καὶ τυλώδει τῇ
ψυχῇ μώλωπα μὴ λαμβάνοντος. τούτων δὲ τοιούτων E
ὄντων οἱ τὴν ἐναντίαν διάθεσιν ἔχοντες νέοι κἂν
ἅπαξ ποτὲ ἀκούσωσι κακῶς, φεύγοντες ἀνεπιστρεπτὶ
καὶ δραπετεύοντες ἐκ φιλοσοφίας, καλὴν ἀρχὴν πρὸς
τὸ σωθῆναι τὸ αἰδεῖσθαι παρὰ τῆς φύσεως ἔχοντες,
ἀπολλύουσι διὰ τρυφὴν καὶ μαλακίαν, οὐκ ἐγκαρτε-
ροῦντες τοῖς ἐλέγχοις οὐδὲ τὰς ἐπανορθώσεις δεχό-
μενοι γεννικῶς, ἀλλ' ἐπὶ τὰς προσηνεῖς καὶ ἁπαλὰς
ἀποστρέφοντες ὁμιλίας τὰ ὦτα, κολάκων τινῶν ἢ
σοφιστῶν ἀνωφελεῖς καὶ ἀνοήτους ἡδείας δὲ φωνὰς
καταδόντων. ὥσπερ οὖν ὁ μετὰ τὴν τομὴν φεύγων
τὸν ἰατρὸν καὶ τὸν ἐπίδεσμον μὴ προσιέμενος τὸ μὲν
ἀλγεινὸν ἀνεδέξατο, τὸ δ' ὠφέλιμον οὐχ ὑπέμεινε F
τῆς θεραπείας οὕτως ὁ τῷ χαράξαντι καὶ τρώσαντι
λόγῳ τὴν ἀβελτερίαν ἀπουλῶσαι καὶ κατασταῖσαι μὴ
παρασχὼν ἀπῆλθε δηχθεὶς καὶ ἀλγήσας ἐκ φιλοσοφίας,
ὠφεληθεὶς δὲ μηδέν. οὐ γὰρ μόνον, ὡς Εὐριπίδης
φησί, τὸ Τηλέφου τραῦμα

'πριστοῖσι λόγχης θέλγεται ῥινήμασιν',

ἀλλὰ καὶ τὸν ἐκ φιλοσοφίας ἐμφυόμενον εὐφυέσι νέοις 47
δηγμὸν αὐτὸς ὁ τρώσας λόγος ἰᾶται. διὸ δεῖ πάσχειν
μέν τι καὶ δάκνεσθαι, μὴ συντρίβεσθαι δὲ μηδ' ἀθυ-
μεῖν τὸν ἐλεγχόμενον, ἀλλ' ὥσπερ ἐν τελετῇ κατηργ-
μένης αὐτοῦ φιλοσοφίας τοὺς πρώτους καθαρμοὺς
καὶ θορύβους ἀνασχόμενον ἐλπίζειν τι γλυκὺ καὶ λαμ-
πρὸν ἐκ τῆς παρούσης ἀδημονίας καὶ ταραχῆς. καὶ
γὰρ ἂν ἀδίκως ἡ ἐπιτίμησις γίγνεσθαι δοκῇ, καλὸν

1, 151–152 H. 6, 169—170 R.

22. Nauck. p. 462

Digitized by Google

ἀναςχέςθαι καὶ διακαρτερῆςαι λέγοντος· παυςαμένῳ δ' αὐτὸν ἐντυχεῖν ἀπολογούμενον καὶ δεόμενον τὴν παρρηςίαν ἐκείνην καὶ τὸν τόνον, ᾧ νῦν κέχρηται B πρὸς αὐτόν, εἴς τι τῶν ἀληθῶς ἁμαρτανομένων φυ-
5 λάττειν.

17. Ἔτι τοίνυν ὥςπερ ἐν γράμμαςι καὶ περὶ λύραν καὶ παλαίςτραν αἱ πρῶται μαθήςεις πολὺν ἔχουςι θόρυβον καὶ πόνον καὶ ἀςάφειαν, εἶτα προϊόντι κατὰ μικρὸν ὥςπερ πρὸς ἀνθρώπους cυνήθεια πολλὴ καὶ
10 γνῶcις ἐγγενομένη πάντα φίλα καὶ χειροήθη καὶ ῥᾳδια λέγειν τε καὶ πράττειν παρέςχεν, οὕτω δὴ καὶ φιλοcοφίας ἐχούcης τι καὶ γλίςχρον ἀμέλει καὶ ἀcύνηθες ἐν τοῖς πρώτοις ὀνόμαcι καὶ πράγμαcιν οὐ δεῖ φοβηθέντα τὰς ἀρχὰς ψοφοδεῶς καὶ ἀτόλμως
15 ἐγκαταλείπειν, ἀλλὰ πειρώμενον ἑκάcτου καὶ προc- C λιπαροῦντα καὶ γλιχόμενον τοῦ πρόcω τὴν πᾶν τὸ καλὸν ἡδὺ ποιοῦcαν ἀναμένειν cυνήθειαν. ἥξει γὰρ οὐ διὰ μακροῦ πολὺ φῶς ἐπιφέρουcα τῇ μαθήcει καὶ δεινοὺς ἔρωτας ἐνδιδοῦcα πρὸς τὴν ἀρετήν, ὧν
20 ἄνευ πάνυ τλήμονος ἀνδρός ἐcτιν ἢ δειλοῦ τὸν ἄλλον ὑπομένειν βίον, ἐκπεcόντα δι' ἀνανδρίαν φιλοcοφίας. ἴcως μὲν οὖν ἔχει τι καὶ τὰ πράγματα τοῖς ἀπείροις καὶ νέοις ἐν ἀρχῇ δυcκατανόητον· οὐ μὴν ἀλλὰ τῇ γε πλείcτῃ περιπίπτουcιν ἀcαφείᾳ καὶ ἀγνοίᾳ
25 δι' αὐτούς, ἀπ' ἐναντίων φύcεων ταὐτὸν ἁμαρτάνοντες. οἳ μὲν γὰρ αἰcχύνῃ τινὶ καὶ φειδοῖ τοῦ λέ- D γοντος ὀκνοῦντες ἀνερέcθαι καὶ βεβαιώcαcθαι τὸν λόγον, ὡς ἔχοντες ἐν νῷ cυνεπινεύουcιν, οἳ δ' ὑπὸ φιλοτιμίας ἀώρου καὶ κενῆς πρὸς ἑτέρους ἁμίλλης
30 ὀξύτητα καὶ δύναμιν εὐμαθείας ἐπιδεικνύμενοι, πρὶν ἢ λαβεῖν ἔχειν ὁμολογοῦντες, οὐ λαμβάνουcιν. εἶτα

1, 152—153 H. 6, 170—172 B.

Digitized by Google

συμβαίνει τοῖς μὲν αἰδήμοσι καὶ σιωπηλοῖς ἐκείνοις, ὅταν ἀπέλθωσι, λυπεῖν αὑτοὺς καὶ ἀπορεῖσθαι, καὶ τέλος αὖθις ὑπ' ἀνάγκης ἐλαυνομένους σὺν αἰσχύνῃ μείζονι τοῖς εἰποῦσιν ἐνοχλεῖν ἀναπυνθανομένους καὶ μεταθέοντας, τοῖς δὲ φιλοτίμοις καὶ θρασέσιν ἀεὶ περιστέλλειν καὶ ἀποκρύπτειν συνοικοῦσαν τὴν ἀμαθίαν.

18. Πᾶσαν οὖν ἀπωσάμενοι τὴν τοσαύτην βλα- E
κείαν καὶ ἀλαζονείαν καὶ πρὸς τὸ μαθεῖν ἰόντες καὶ περὶ τὸ λαβεῖν τῇ διανοίᾳ τὸ χρησίμως λεγόμενον ὄντες ὑπομένωμεν τοὺς τῶν εὐφυῶν δοκούντων γέλωτας, ὥσπερ ὁ Κλεάνθης καὶ ὁ Ξενοκράτης βραδύτεροι δοκοῦντες εἶναι τῶν συσχολαστῶν οὐκ ἀπεδίδρασκον ἐκ τοῦ μανθάνειν οὐδ' ἀπέκαμνον, ἀλλὰ φθάνοντες εἰς ἑαυτοὺς ἔπαιζον, ἀγγείοις τε βραχυστόμοις καὶ πινακίσι χαλκαῖς ἀπεικάζοντες, ὡς μόλις μὲν παραδεχόμενοι τοὺς λόγους, ἀσφαλῶς δὲ καὶ βεβαίως τηροῦντες. οὐ γὰρ μόνον, ὥς φησι Φωκυλίδης,

'πόλλ' ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν',

ἀλλὰ καὶ γελασθῆναι δεῖ πολλὰ καὶ ἀδοξῆσαι καὶ F
σκώμματα καὶ βωμολοχίας ἀναδεξάμενον ὥσασθαι παντὶ τῷ θυμῷ καὶ καταθλῆσαι τὴν ἀμαθίαν. οὐ μὴν οὐδὲ τῆς πρὸς τοὐναντίον ἁμαρτίας ἀμελητέον, ἣν ἁμαρτάνουσιν οἱ μὲν ὑπὸ νωθείας, ἀηδεῖς καὶ κοπώδεις ὄντες· οὐ γὰρ ἐθέλουσι γενόμενοι καθ' αὑτοὺς 48
πράγματα ἔχειν, ἀλλὰ παρέχουσι τῷ λέγοντι, πολλάκις ἐκπυνθανόμενοι περὶ τῶν αὐτῶν, ὥσπερ ἀπτῆνες νεοσσοὶ κεχηνότες ἀεὶ πρὸς ἀλλότριον στόμα καὶ πᾶν ἕτοιμον ἤδη καὶ διαπεπονημένον ὑπ' ἄλλων ἐκλαμβάνειν ἐθέλοντες. ἕτεροι δὲ προσοχῆς καὶ δριμύ-

1, 153—155 H. 6, 172—174 R.

19. Bergk. p. 448[3]

Digitized by Google

τητος ἐν οὐ δέοντι θηρώμενοι δόξαν ἀποκναίουσι λαλιᾷ καὶ περιεργίᾳ τοὺς λέγοντας, ἀεί τι προσδιαποροῦντες τῶν οὐκ ἀναγκαίων καὶ ζητοῦντες ἀποδείξεις τῶν οὐ δεομένων. οὕτως

'ὁδὸς βραχεῖα γίγνεται μακρά',

B ὥς φησι Σοφοκλῆς, οὐκ αὐτοῖς μόνον ἀλλὰ καὶ τοῖς ἄλλοις. ἀντιλαμβανόμενοι γὰρ ἑκάστοτε κεναῖς καὶ περιττοῖς ἐρωτήσεσι τοῦ διδάσκοντος, ὥσπερ ἐν συνοδίᾳ, τὸ ἐνδελεχὲς ἐμποδίζουσι τῆς μαθήσεως, ἐπιστάσεις καὶ διατριβὰς λαμβανούσης. οὗτοι μὲν οὖν κατὰ τὸν Ἱερώνυμον ὥσπερ οἱ δειλοὶ καὶ γλίσχροι σκύλακες τὰ δέρματα δάκνοντες οἶκοι καὶ τὰ τίλματα τίλλοντες τῶν θηρίων αὐτῶν οὐχ ἅπτονται· τοὺς δ' ἀργοὺς ἐκείνους παρακαλῶμεν, ὅταν τὰ κεφάλαια τῇ νοήσει περιλάβωσιν, αὐτοὺς δι' αὑτῶν τὰ λοιπὰ συντιθέναι, καὶ τῇ μνήμῃ χειραγωγεῖν τὴν εὕρεσιν, καὶ

C τὸν ἀλλότριον λόγον οἷον ἀρχὴν καὶ σπέρμα λαβόντας ἐκτρέφειν καὶ αὔξειν. οὐ γὰρ ὡς ἀγγεῖον ὁ νοῦς ἀποπληρώσεως, ἀλλ' ὑπεκκαύματος μόνον ὥσπερ ὕλη δεῖται, ὁρμὴν ἐμποιοῦντος εὑρετικὴν καὶ ὄρεξιν ἐπὶ τὴν ἀλήθειαν. ὥσπερ οὖν εἴ τις ἐκ γειτόνων πυρὸς δεόμενος, εἶτα πολὺ καὶ λαμπρὸν εὑρὼν αὐτοῦ καταμένοι διὰ τέλους θαλπόμενος, οὕτως εἴ τις ἥκων λόγου μεταλαβεῖν πρὸς ἄλλον οὐκ οἴεται δεῖν φῶς οἰκεῖον ἐξάπτειν καὶ νοῦν ἴδιον, ἀλλὰ χαίρων τῇ

D ἀκροάσει κάθηται θελγόμενος, οἷον ἔρευθος ἕλκει καὶ γάνωμα τὴν δόξαν ἀπὸ τῶν λόγων, τὸν δ' ἐντὸς εὐρῶτα τῆς ψυχῆς καὶ ζόφον οὐκ ἐκτεθεράπευκεν οὐδ' ἐξέωκε διὰ φιλοσοφίας. εἰ δεῖ τινὸς οὖν πρὸς

1, 155—156 H. 6, 174—176 R.

6. Σοφοκλῆς] Antig. 237 11. γλίσχροι] λίχνοι W
28. ἐκτεθεράπευκε Emperius: ἐκτεθέρμακεν

Digitized by Google

ἀκρόασιν ἑτέρου παραγγέλματος, δεῖ καὶ τοῦ νῦν εἰρημένου μνημονεύοντας ἀσκεῖν ἅμα τῇ μαθήσει τὴν εὕρεσιν, ἵνα μὴ σοφιστικὴν ἕξιν μηδ' ἱστορικὴν ἀλλ' ἐνδιάθετον καὶ φιλόσοφον λαμβάνωμεν, ἀρχὴν τοῦ καλῶς βιῶναι τὸ καλῶς ἀκοῦσαι νομίζοντες.

1, 156 H. 6, 176 B.

Digitized by Google

E

ΠΩΣ ΑΝ ΤΙΣ ΔΙΑΚΡΙΝΕΙΕ ΤΟΝ ΚΟΛΑΚΑ ΤΟΥ ΦΙΛΟΥ.

1. Τῷ σφοδρα φιλεῖν ἑαυτόν, ὦ Ἀντίοχε Φιλόπαππε, φάσκοντι συγγνώμην μὲν ἅπαντας ὁ Πλάτων
F διδόναι φησί, κακίαν δὲ σὺν πολλαῖς ἄλλαις ἐγγίγνεσθαι μεγίστην, ὑφ' ἧς οὐκ ἔστιν αὑτοῦ κριτὴν δίκαιον οὐδ' ἀδέκαστον εἶναι· 'τυφλοῦται γὰρ τὸ φιλοῦν περὶ τὸ φιλούμενον', ἂν μή τις μαθὼν ἐθισθῇ τὰ καλὰ τιμᾶν καὶ διώκειν μᾶλλον ἢ τὰ συγγενῆ καὶ οἰκεῖα. τοῦτο τῷ κόλακι πολλὴν μεταξὺ τῆς φιλίας εὐρυχωρίαν δίδωσιν, ὁρμητήριον ἐφ' ἡμᾶς εὐφυὲς ἔχοντι τὴν φιλαυτίαν, δι' ἣν αὐτὸς αὑτοῦ κόλαξ ἕκαστος
49 ὢν πρῶτος καὶ μέγιστος οὐ χαλεπῶς προσίεται τὸν ἔξωθεν ὧν οἴεται καὶ βούλεται μάρτυν ἅμα αὐτῷ καὶ βεβαιωτὴν προσγιγνόμενον. ὁ γὰρ λοιδορούμενος φιλοκόλαξ σφόδρα φίλαυτός ἐστι, δι' εὔνοιαν ἑαυτῷ πάντα μὲν ὑπάρχειν βουλόμενος πάντα δ' οἰόμενος ὧν ἡ μὲν βούλησις οὐκ ἄτοπος ἡ δ' οἴησις ἐπισφαλὴς καὶ δεομένη πολλῆς εὐλαβείας. εἰ δὲ δὴ θεῖον ἡ ἀλήθεια καὶ 'πάντων μὲν ἀγαθῶν θεοῖς

1, 157 H. 6, 177—178 B.

2. Πλάτων] Legg. V. p. 731 DE

Digitized by Google

πάντων δ' ἀνθρώποις' ἀρχὴ κατὰ Πλάτωνα, κινδυ- B
νεύει θεοῖς ἐχθρὸς ὁ κόλαξ εἶναι, τῷ δὲ Πυθίῳ διαφερόντως. ἀντιτάττεται γὰρ ἀεὶ πρὸς τὸ 'γνῶθι σαυτόν', ἀπάτην ἑκάστῳ πρὸς ἑαυτὸν ἐμποιῶν καὶ ἄγνοιαν ἑαυτοῦ καὶ τῶν περὶ ἑαυτὸν ἀγαθῶν καὶ κακῶν, τὰ μὲν ἐλλιπῆ καὶ ἀτελῆ τὰ δ' ὅλως ἀνεπανόρθωτα ποιῶν.

2. Εἰ μὲν οὖν, ὡς τὰ πλεῖστα τῶν ἄλλων κακῶν, ὁ κόλαξ ἥπτετο μόνον ἢ μάλιστα τῶν ἀγεννῶν καὶ φαύλων, οὐκ ἂν ἦν οὕτω δεινὸν οὐδὲ δυσφύλακτον· ἐπεὶ δ' ὥσπερ οἱ θρῖπες ἐνδύονται μάλιστα τοῖς ἁπαλοῖς καὶ γλυκέσι ξύλοις, οὕτω τὰ φιλότιμα τῶν ἠθῶν καὶ χρηστὰ καὶ ἐπιεικῆ τὸν κόλακα δέχεται καὶ τρέφει προσφυόμενον, ἔτι δ' ὥσπερ ὁ Σιμωνίδης C
τὴν 'ἱπποτροφίαν' φησίν 'οὐ Ζακύνθῳ ὀπαδεῖν ἀλλ' ἀρούραισι πυροφόροις', οὕτω τὴν κολακείαν ὁρῶμεν οὐ πένησιν οὐδ' ἀδόξοις οὐδ' ἀδυνάτοις ἀκολουθοῦσαν, ἀλλ' οἴκων τε καὶ πραγμάτων μεγάλων ὀλίσθημα καὶ νόσημα γιγνομένην, πολλάκις δὲ καὶ βασιλείας καὶ ἡγεμονίας ἀνατρέπουσαν, οὐ μικρὸν ἔργον ἐστὶν οὐδὲ φαύλης δεόμενον προνοίας ἡ περὶ αὐτὴν ἐπίσκεψις, ὡς ἂν μάλιστα περίφωρος οὖσα μὴ βλάπτῃ μηδὲ διαβάλλῃ τὴν φιλίαν. οἱ μὲν γὰρ φθεῖρες ἀπίασιν ἀπὸ τῶν τελευτώντων καὶ ἀπολείπουσι τὰ σώματα σβεν- D
νυμένου τοῦ αἵματος ἐξ οὗ τρέφονται, τοὺς δὲ κόλακας οὐδ' ὅλως ἰδεῖν ἔστι πράγμασι ξηροῖς καὶ κατεψυγμένοις προσιόντας, ἀλλὰ ταῖς δόξαις καὶ ταῖς δυνάμεσιν ἐπιτίθενται καὶ αὔξονται, ταχὺ δ' ἐν ταῖς μεταβολαῖς ἀπορρέουσιν. ἀλλὰ τὴν τότε πεῖραν οὐ

1, 158—159 H. 6, 178—180 R.

1. Πλάτωνα] Legg. V. p. 730 C 14. Σιμωνίδης] Bergk. p. 1122[3] 22. βλάπτῃ — διαβάλλῃ*: βλάπτοι — διαβάλλοι

Digitized by Google

δεῖ περιμένειν ἀνωφελῆ, μᾶλλον δὲ βλαβερὰν καὶ οὐκ ἀκίνδυνον οὖσαν. χαλεπὴ γὰρ ἐν καιρῷ δεομένῳ φίλων ἡ τῶν μὴ φίλων αἴσθησις, ἀντικαταλλαγὴν οὐκ ἔχουσα χρηστοῦ καὶ βεβαίου πρὸς ἀβέβαιον καὶ κίβδηλον. ἀλλ' ὥσπερ νόμισμα δεῖ τὸν φίλον ἔχειν πρὸ τῆς χρείας δεδοκιμασμένον, μὴ ὑπὸ τῆς χρείας ἐλεγχόμενον. οὐ γὰρ δεῖ βλαβέντας αἰσθέσθαι, ἀλλ' ὅπως μὴ βλαβῶμεν ἐμπειρίαν λαβεῖν καὶ κατανόησιν τοῦ κόλακος. εἰ δὲ μή, ταὐτὸ πεισόμεθα τοῖς αἰσθανομένοις τῷ προγεγεῦσθαι τῶν θανασίμων φαρμάκων εἰς τὴν κρίσιν ἀπολλύντες ἑαυτοὺς καὶ διαφθείροντες. οὔτε γὰρ δὴ τούτους ἐπαινοῦμεν οὔθ' ὅσοι τὸν φίλον εἰς τὸ καλὸν τιθέμενοι καὶ ὠφέλιμον οἴονται τοὺς κεχαρισμένως ὁμιλοῦντας εὐθὺς ἔχειν ἐπ' αὐτοφώρῳ κόλακας εἰλημμένους. οὐδὲ γὰρ ἀηδὴς ὁ φίλος οὐδ' ἄκρατος, οὐδὲ τῷ πικρῷ σεμνὸν ἡ φιλία καὶ αὐστηρῷ, ἀλλ' αὐτὸ δὴ τοῦτο τὸ καλὸν καὶ τὸ σεμνὸν αὐτῆς ἡδὺ καὶ ποθούμενόν ἐστι,

'πὰρ' δ' αὐτῇ Χάριτες τε καὶ Ἵμερος οἰκί' ἔθεντο',

καὶ οὐ δυστυχοῦντι μόνον

'εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ'

κατ' Εὐριπίδην, ἀλλ' οὐδὲν ἧττον τοῖς ἀγαθοῖς ἡδονὴν ἐπιφέρουσα καὶ χάριν ἢ τῶν κακῶν ἀφαιροῦσα τὰς λύπας καὶ τὰς ἀπορίας παρέπεται. καὶ καθάπερ ὁ Ἔξηνος εἶπε, τῶν ἡδυσμάτων τὸ πῦρ εἶναι κράτιστον, οὕτω τῷ βίῳ μίξας τὴν φιλίαν ὁ θεὸς ἅπαντα φαιδρὰ καὶ γλυκέα καὶ προσφιλῆ ταύτης παρούσης καὶ συναπολαυούσης ἐποίησεν. ἐπεὶ πῶς ἂν ὁ κόλαξ ὑπεδύετο ταῖς ἡδοναῖς, εἰ τὴν φιλίαν ἑώρα τὸ ἡδὺ

1, 159—161 H. 6, 180—182 R.

19. Hesiod. Theog. 64 22. Εὐριπίδην] Ion. 732

Digitized by Google

μηδαμοῦ προσιεμένην; οὐκ ἔστιν εἰπεῖν. ἀλλ' ὥσπερ τὰ ψευδόχρυσα καὶ τὰ κίβδηλα τὴν λαμπρότητα τοῦ χρυσοῦ καὶ τὸ γάνωμα μιμεῖται μόνον, οὕτως ἔοικεν ὁ κόλαξ τοῦ φίλου τὸ ἡδὺ καὶ κεχαρισμέ- B
5 νον ἐκμιμούμενος ἀεὶ παρέχειν ἱλαρὸν καὶ ἀνθηρὸν καὶ πρὸς μηδὲν ἀντιβαίνοντα μηδ' ὑπεναντιούμενον ἑαυτόν. ὅθεν οὐδὲ τοὺς ἐπαινοῦντας εὐθὺς ὡς κολακεύοντας ἁπλῶς ὑφορατέον· ἔπαινος γὰρ οὐχ ἧττον ἐν καιρῷ ψόγου φιλίᾳ προσήκει, μᾶλλον δὲ τὸ
10 μὲν δύσκολον ὅλως καὶ μεμψίμοιρον ἄφιλον καὶ ἀνομίλητον, τῆς δ' ἀφθόνως καὶ προθύμως τὸν ἐπὶ τοῖς καλοῖς ἀποδιδούσης ἔπαινον εὐνοίας καὶ τὸ νουθετοῦν αὖθις καὶ παρρησιαζόμενον ἐλαφρῶς καὶ ἁλύπως ὑπομένομεν, πιστεύοντες καὶ ἀγαπῶντες ὡς ἀναγ-
15 καίως ψέγοντα τὸν ἡδέως ἐπαινοῦντα.

3. Χαλεπὸν οὖν φαίη τις ἂν ἔστι διακρῖναι τὸν C κόλακα καὶ τὸν φίλον, εἰ μήθ' ἡδονῇ μήτ' ἐπαίνῳ διαφέρουσι· καὶ γὰρ ἐν ὑπουργίαις καὶ διακονίαις πολλάκις ἰδεῖν ἔστι τὴν φιλίαν ὑπὸ τῆς κολακείας
20 παρατρεχομένην. τί δ' οὐ μέλλει; φήσομεν, ἂν τὸν ἀληθινὸν κόλακα καὶ μετὰ δεινότητος καὶ τέχνης ἁπτόμενον τοῦ πράγματος διώκωμεν, ἀλλὰ μή, καθάπερ οἱ πολλοί, τοὺς αὐτοληκύθους τούτους λεγομένους καὶ τραπεζέας καὶ μετὰ τὸ κατὰ χειρὸς ὕδωρ ἀκου-
25 ομένους ὥς τις εἶπε κόλακας νομίζωμεν, ὧν ἐν μιᾷ λοπάδι καὶ κύλικι μετὰ βωμολοχίας καὶ βδελυρίας ἡ D ἀνελευθερία γίγνεται κατάδηλος. οὐ γὰρ δήπου Μελάνθιον ἔδει τὸν Ἀλεξάνδρου τοῦ Φεραίου παράσιτον ἐξελέγχειν, ὅς τοῖς ἐρωτῶσι πῶς Ἀλέξανδρος ἐσφάγη
30 'διὰ τῆς πλευρᾶς' ἔλεγεν 'εἰς τὴν γαστέρα τὴν ἐμήν', οὐδὲ τοὺς ἀμφὶ πλουσίαν τράπεζαν ἐγκυκλουμένους,

1, 161—163 H. 6, 182—184 E.

Digitized by Google

οὔc οὐ πῦρ οὐ cίδαροc οὐδὲ χαλκὸc εἴργει μὴ φοιτᾶν ἐπὶ δεῖπνον, οὐδὲ τὰc ἐν Κύπρῳ κολακίδαc, ἐπειδὴ διέβηcαν εἰc Cυρίαν, κλιμακίδαc προcαγορευθείcαc, ὅτι
E ταῖc γυναιξὶ τῶν βαcιλέων ἀναβαίνειν ἐπὶ τὰc ἁμάξαc δι' αὐτῶν ὑποκατακλινόμεναι παρεῖχον.

4. Τίνα οὖν δεῖ φυλάττεcθαι; τὸν μὴ δοκοῦντα μηδ' ὁμολογοῦντα κολακεύειν, ὃν οὐκ ἔcτι λαβεῖν περὶ τοὐπτάνιον, οὐδ' ἁλίcκεται cκιὰν καταμετρῶν τὴν ἐπὶ τὸ δεῖπνον, οὐδ' ἔρριπται μεθυcθεὶc ὅπωc ἔτυχεν, ἀλλὰ νήφει τὰ πολλὰ καὶ πολυπραγμονεῖ καὶ πράξεων μετέχειν οἴεται δεῖν καὶ λόγων ἀπορρήτων βούλεται κοινωνὸc εἶναι, καὶ ὅλωc τραγικόc ἐcτιν οὐ cατυρικὸc φιλίαc ὑποκριτὴc οὐδὲ κωμικόc. ὡc γὰρ ὁ Πλάτων φηcίν 'ἐcχάτηc ἀδικίαc εἶναι δοκεῖν δί-
F καιον μὴ ὄντα', καὶ κολακείαν ἠγητέον χαλεπὴν τὴν λανθάνουcαν οὐ τὴν ὁμολογοῦcαν, οὐδὲ τὴν παίζουcαν ἀλλὰ τὴν cπουδάζουcαν· αὕτη γὰρ ἀναπίμπληcι καὶ τὴν ἀληθινὴν φιλίαν ἀπιcτίαc, cυνεκπίπτουcαν αὐτῇ πολλάκιc, ἂν μὴ προcέχωμεν. ὁ μὲν οὖν Γωβρύηc εἰc cκοτεινὸν οἴκημα τῷ μάγῳ φεύγοντι cυνειcπεcὼν καὶ γενόμενοc ἐν διαπάλαιc ἐπιcτάντα καὶ διαποροῦντα τὸν Δαρεῖον ἐκέλευcεν ὠθεῖν καὶ δι' ἀμφοτέρων· ἡμεῖc δέ, εἰ μηδαμῇ μηδαμῶc ἐπαινοῦμεν τὸ 'ἐρρέτω φίλοc cὺν ἐχθρῷ', διὰ πολλῶν ὁμοιο-
51 τήτων τὸν κόλακα τῷ φίλῳ cυμπεπλεγμένον ἀποcπάcαι ζητοῦντεc ὀφείλομεν εὖ μάλα φοβεῖcθαι μή πωc ἢ τῷ κακῷ τὸ χρήcιμον cυνεκβάλωμεν ἢ φειδόμενοι τοῦ οἰκείου τῷ βλάπτοντι περιπέcωμεν. ὥcπερ γὰρ οἶμαι τῶν ἀγρίων cπερμάτων ὅcα καὶ cχῆμα καὶ

1, 163—164 H. 6, 184—185 R.

1. οὐ πῦρ] Meinek. II. p. 487 9. τὴν ἐπὶ τὸ*: ἐπὶ
14. Πλάτων] Rep. p. 361 A 24. ἐρρέτω] Nauck. p. 696

Digitized by Google

μέγεθος παραπλήσιον ἔχοντα τῷ πυρῷ συμμέμικται χαλεπὴν ἔχει τὴν ἀποκάθαρσιν (ἡ γὰρ οὐ διεκπίπτει τῶν στενοτέρων πόρων ἢ συνεκπίπτει διὰ τῶν ἀραιῶν), οὕτως ἡ κολακεία τῆς φιλίας εἰς πᾶν πάθος καὶ πᾶν κίνημα καὶ χρείαν καὶ συνήθειαν ἑαυτὴν καταμιγνύουσα δυσχώριστός ἐστιν.

5. Ὅτι μέντοι γε πάντων ἥδιστόν ἐστιν ἡ φιλία καὶ οὐδὲν ἄλλο μᾶλλον εὐφραίνει, διὰ τοῦτο καὶ ὁ B κόλαξ ἡδοναῖς ὑπάγεται καὶ περὶ ἡδονάς ἐστιν. ὅτι δ' ἡ χάρις καὶ ἡ χρεία τῇ φιλίᾳ παρέπεται (καθ' ὃ δὴ καὶ λέγεται πυρὸς καὶ ὕδατος ὁ φίλος ἀναγκαιότερος εἶναι), διὰ τοῦτο ἐμβαλὼν εἰς τὰς ὑπουργίας ἑαυτὸν ὁ κόλαξ ἀμιλλᾶται σπουδαστικὸς ἀεὶ φαίνεσθαι καὶ ἄοκνος καὶ πρόθυμος. ἐπεὶ δὲ τὸ μάλιστα φιλίας ἀρχὴν συνέχον ὁμοιότης ἐστὶν ἐπιτηδευμάτων καὶ ἠθῶν, καὶ ὅλως τὸ χαίρειν τοῖς αὐτοῖς καὶ τὸ ταὐτὰ φεύγειν πρῶτον εἰς τοὐτὸ συνάγει καί συνίστηι διὰ τῆς ὁμοιοπαθείας, τοῦτο κατιδὼν ὁ κόλαξ αὑτὸν ὥσπερ ὕλην τινὰ ῥυθμίζει καὶ σχηματίζει, περιαρ- C μόσαι καὶ περιπλάσαι ζητῶν οἷς ἂν ἐπιχειρῇ διὰ μιμήσεως, ὑγρὸς ὢν καὶ πιθανὸς μεταβάλλεσθαι ἐπὶ τὰς ἐξομοιώσεις, ὥστ' εἰπεῖν

'οὐ παῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος αὐτὸς εἶ'.

ὁ δὲ πάντων ἐστὶν αὐτοῦ πανουργότατον, αἰσθανόμενος τὴν παρρησίαν καὶ λεγομένην καὶ δοκοῦσαν ἰδίαν εἶναι φωνὴν ὥσπερ τινὸς ζώου τῆς φιλίας, τὸ δ' ἀπαρρησίαστον ἄφιλον καὶ ἀγεννές, οὐδὲ ταύτην ἀμίμητον ἀπολέλοιπεν, ἀλλ' ὥσπερ οἱ δεινοὶ τῶν ὀψοποιῶν τοῖς πικροῖς χυμοῖς καὶ αὐστηροῖς ἡδύσμασι χρῶνται, τῶν γλυκέων ἀφαιροῦντες τὸ πλῆσμιον, οὕτως οἱ κόλακες οὐκ ἀληθινὴν οὐδ' ὠφέλιμον ἀλλ' D

1, 1˙4—166 H. 6, 185—187 R.

23. Nauck. p. 696

Digitized by Google

οἷον ἐπιλλώπτουσαν ἐξ ὀφρύος καὶ γαργαλίζουσαν ἀτεχνῶς παρρησίαν προσφέρουσιν. ἔστι μὲν οὖν διὰ ταῦτα δυσφώρατος ὁ ἀνήρ, ὥσπερ τῶν θηρίων ὅσα πεφυκότα τὴν χρόαν τρέπεσθαι συναφομοιοῦται τοῖς ὑποκειμένοις χρώμασι καὶ χωρίοις· ἐπεὶ δ' ἐκεῖνος ἑξαπατᾷ τε καὶ περικαλύπτεται ταῖς ὁμοιότησιν, ἡμέτερον ἔργον ἐστὶ ταῖς διαφοραῖς ἀνακαλύπτειν καὶ ἀπογυμνοῦν αὐτὸν 'ἀλλοτρίοις χρώμασι καὶ σχήμασιν', ἢ φησιν ὁ Πλάτων, 'χήτει οἰκείων κοσμούμενον'.

6. Εὐθὺς οὖν ἀπὸ τῆς ἀρχῆς σκοπῶμεν. ἀρχὴν δὲ φιλίας ἔφαμεν εἶναι τοῖς πλείστοις τὴν ταὐτὰ μὲν
E ἐπιεικῶς ἀσπαζομένην ἔθη καὶ ἤθη τοῖς δ' αὐτοῖς χαίρουσαν ἐπιτηδεύμασι καὶ πράγμασι ταὶ διατριβαῖς ὁμοιοπαθῆ διάθεσιν καὶ φύσιν, ἐφ' ἧς καὶ ταῦτα εἴρηται

> 'γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει,
> παῖς παιδί, καὶ γυναικὶ πρόσφορον γυνή,
> νοσῶν τ' ἀνὴρ νοσοῦντι, καὶ δυσπραξίᾳ
> ληφθεὶς ἐπῳδός ἐστι τῷ πειρωμένῳ'.

εἰδὼς οὖν ὁ κόλαξ ὅτι τὸ χαίρειν τοῖς ὁμοίοις καὶ τὸ χρῆσθαι καὶ ἀγαπᾶν ἔμφυτόν ἐστι, ταύτῃ πρῶτον
F ἐπιχειρεῖ πλησιάζειν ἑκάστῳ καὶ παρασκηνοῦν, ὥσπερ ἔν τισι νομαῖς θηρίου τοῖς αὐτοῖς ἐπιτηδεύμασι καὶ διατριβαῖς περὶ ταὐτὰ καὶ σπουδαῖς καὶ διαίταις ἀτρέμα παραβάλλων καὶ προσαναχρωννύμενος, ἄχρι οὗ λαβὴν παραδῷ καὶ ψαύοντι τιθασὸς γένηται καὶ
52 συνήθης, ψέγων μὲν οἷς ἐκεῖνον αἰσθάνεται πράγμασι καὶ βίοις καὶ ἀνθρώποις ἀχθόμενον, ἐπαινέτης δὲ τῶν ἀρεσκόντων οὐ μέτριος ἀλλ' ὥσθ' ὑπερβάλλειν σὺν ἐκπλήξει καὶ θαύματι φαινόμενος, βεβαιῶν

1, 166—167 H. 6, 187—189 R.

8 Πλάτων] Phaedr. p. 239 D 15. Nauck. p. 696

Digitized by Google

δὲ τὸ φιλοῦν καὶ τὸ μισοῦν ὡς κρίσει μᾶλλον ἢ πάθει γιγνόμενον.

7. Πῶς οὖν ἐλέγχεται καὶ τίσιν ἁλίσκεται διαφοραῖς, οὐκ ὢν ὅμοιος οὐδὲ γιγνόμενος ἀλλὰ μιμούμενος ὅμοιον; πρῶτον μὲν ὁρᾶν δεῖ τὴν ὁμαλότητα τῆς προαιρέσεως καὶ τὸ ἐνδελεχές, εἰ χαίρει τε τοῖς αὐτοῖς ἀεὶ καὶ ταὐτὰ ἐπαινεῖ καὶ πρὸς ἓν ἀπευθύνει καὶ καθίστηςι παράδειγμα τὸν ἑαυτοῦ βίον, ὥσπερ ἐλευθέρῳ φιλίας ὁμοιοτρόπου καὶ συνηθείας ἐραστῇ προσήκει. τοιοῦτος γὰρ ὁ φίλος. ὁ δὲ κόλαξ ἅτε δὴ μίαν ἑστίαν ἥθους οὐκ ἔχων μόνιμον οὐδ' ἑαυτῷ βίον ζῶν αἱρετόν, ἀλλ' ἑτέρῳ καὶ πρὸς ἕτερον πλάτ- B
των καὶ προσαρμόττων ἑαυτόν, οὐχ ἁπλοῦς οὐδ' εἷς ἀλλὰ παντοδαπός ἐστι καὶ ποικίλος, εἰς ἄλλον ἐξ ἄλλου τόπον ὥσπερ τὸ μετερώμενον ὕδωρ περιρρέων ἀεὶ καὶ μετασχηματιζόμενος τοῖς ὑποδεχομένοις. ὁ μὲν γὰρ ὗτος, ὡς ἔοικε, μιμεῖσθαι τὸν ἄνθρωπον ἐπιχειρῶν ἁλίσκεται συγκινούμενος καὶ συνορχούμενος, ὁ δὲ κόλαξ αὐτὸς ἑτέρους ἐπάγεται καὶ παλεύει, μιμούμενος οὐχ ὁμοίως ἅπαντας ἀλλὰ τῷ μὲν συνορχούμενος καὶ συνᾴδων, τῷ δὲ συμπαλαίων καὶ συγκονιόμενος· θηρευτικοῦ δὲ καὶ κυνηγετικοῦ λαβόμενος μονονοὺ τὰ τῆς Φαίδρας ἀναβοῶν ἔπεται

'πρὸς θεῶν ἔραμαι κυσὶ θωΰξαι C
βαλίαις ἐλάφοις ἐγχριπτόμενος',

καὶ οὐδὲν αὐτῷ πρᾶγμα πρὸς τὸ θηρίον, ἀλλ' αὐτὸν ἐκκαγηνεύει καὶ περιβάλλεται τὸν κυνηγόν. ἂν δὲ θηρεύῃ φιλόλογον καὶ φιλομαθῆ νέον, αὖθις ἐν βιβλίοις ἐστὶ καὶ πώγων ποδήρης καθεῖται καὶ τριβω-

1, 167—169 H. 6, 189—191 R.

15. μετερώμενον Lobeckius: μεταιρόμενον 24. Eur. Hipp. 218

Digitized by Google

νοφορία τὸ χρῆμα καὶ ἀδιαφορία, καὶ διὰ στόματος οἵ τε ἀριθμοὶ καὶ τὰ ὀρθογώνια τρίγωνα Πλάτωνος. εἴ τε ῥᾳθυμός τις ἐμπέπαικεν αὖθις καὶ φιλοπότης καὶ πλούσιος,

'αὐτὰρ ὃ γυμνώθη ῥακέων πολύμητις 'Οδυσσεύς', 5

D ἔρριπται μὲν ὁ ιτρίβων, κατακείρεται δ' ὁ πώγων ὥσπερ ἄκαρπον θέρος, ψυκτῆρες δὲ καὶ φιάλαι καὶ γέλωτες ἐν περιπάτοις καὶ σκώμματα πρὸς τοὺς φιλοσοφοῦντας. ὥσπερ ἐν Συρακούσαις φασίν, ὁπηνίκα Πλάτων ἀφίκετο, καὶ Διονύσιον ζῆλος ἔσχε περιμα- 10
νὴς φιλοσοφίας, τὰ βασίλεια κονιορτοῦ γέμειν ὑπὸ πλήθους τῶν γεωμετρούντων· ἐπεὶ δὲ προσέκρουσε Πλάτων καὶ Διονύσιος ἐκπεσὼν φιλοσοφίας πάλιν εἰς πότους καὶ γύναια καὶ τὸ ληρεῖν καὶ ἀκολασταί-
E νειν ἦκε φερόμενος, ἀθρόως ἅπαντας ὥσπερ ἐν Κίρ- 15
κης μεταμορφωθέντας ἀμουσία καὶ λήθη καὶ εὐήθεια κατέσχε. μαρτυρεῖ δὲ καὶ τὰ τῶν μεγάλων ἔργα κολάκων καὶ τὰ τῶν δημαγωγῶν, ὧν ὁ μέγιστος 'Αλκιβιάδης, 'Αθήνησι μὲν σκώπτων καὶ ἱπποτροφῶν καὶ μετὰ εὐτραπελίας ζῶν καὶ χάριτος, ἐν δὲ Λακεδαι- 20
μονι κειρόμενος ἐν χρῷ καὶ τριβωνοφορῶν καὶ ψυχρολουτῶν, ἐν δὲ Θρᾴκῃ πολεμῶν καὶ πίνων· ἐπεὶ δὲ πρὸς Τισσαφέρνην ἀφίκετο, τρυφῇ καὶ ἁβρότητι καὶ ἀλαζονείᾳ χρώμενος ἐδημαγώγει καὶ καθωμίλει τῷ συναφομοιοῦν καὶ συνοικειοῦν ἑαυτὸν ἅπασιν. οὐ 25
F μὴν τοιοῦτος 'Επαμεινώνδας οὐδ'· 'Αγησίλαος, ἀλλὰ πλείστοις ὁμιλήσαντες ἀνθρώποις καὶ πόλεσι καὶ βίοις τὸ προσῆκον ἦθος αὑτοῖς πανταχοῦ καὶ στολῇ καὶ διαίτῃ καὶ λόγῳ καὶ βίῳ διεφύλαττον. οὕτω καὶ Πλά-

1, 169—170 H. 6, 191—193 B

3. εἴ τε*: εἴτε 5. Homer. χ 1

Digitized by Google

των ἐν Συρακούσαις οἷος ἐν Ἀκαδημείᾳ, καὶ πρὸς Διονύσιον οἷος πρὸς Δίωνα.

8. Τὰς δὲ τοῦ κόλακος ὥσπερ πολύποδος τροπὰς ῥᾷστα φωράσειεν ἄν τις αὐτὸς ἐπὶ πολλὰ δοκῶν τρέπεσθαι, καὶ ψέγων μὲν ὃν ἐπήνει πρότερον βίον, οἷς δ' ἥχθετο πράγμασιν ἢ διαίταις ἢ λόγοις ὡς ἀρέσκοντας ἐξαίφνης προσιέμενος. ὄψεται γὰρ αὐτὸν οὐδα- 53
μοῦ βέβαιον οὐδ' ἴδιον οὐδ' οἰκείῳ πάθει φιλοῦντα καὶ μισοῦντα καὶ χαίροντα καὶ λυπούμενον, ἀλλὰ δίκην κατόπτρου παθῶν ἀθνείων καὶ βίων καὶ κινημάτων εἰκόνας ἀναδεχόμενον. τοιοῦτος γὰρ οἷος εἰ ψέγοις τινὰ τῶν φίλων πρὸς αὐτὸν εἰπεῖν 'βραδέως πεφώρακας τὸν ἄνθρωπον· ἐμοὶ μὲν γὰρ οὐδὲ πρότερον ἤρεσκεν'. ἂν δ' αὖ πάλιν ἐπαινῇς μεταβαλλόμενος, νὴ Δία φήσει συνήδεσθαι καὶ χάριν ἔχειν αὐτὸς ὑπὲρ τοῦ ἀνθρώπου καὶ πιστεύειν. ἂν δὲ βίον ἀλλακτέον ἕτερον εἴπῃς, οἷον εἰς ἀπραγμοσύνην καὶ ἡσυχίαν ἐκ B
πολιτείας μεταβαλόμενος, 'πάλαι γε ἐχρῆν' φησί 'θορύβων ἡμᾶς ἀπηλλάχθαι καὶ φθόνων'. ἂν δὲ πάλιν ὁρμᾶν δοκῇς ἐπὶ τὸ πράττειν καὶ λέγειν, ὑπεφώνησεν 'ἄξια σαυτοῦ φρονεῖς· ἡ δ' ἀπραγμοσύνη γλυκὺ μέν, ἀλλ' ἄδοξον καὶ ταπεινόν'. εὐθὺς οὖν λέγειν χρὴ πρὸς τὸν τοιοῦτον

'ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν',

οὐ δέομαι φίλου συμμεθισταμένου καὶ συνεπινεύοντος (ἡ γὰρ σκιὰ ταῦτα ποιεῖ μᾶλλον), ἀλλὰ συναληθεύοντος καὶ συνεπικρίνοντος.

Εἷς μὲν οὖν τῶν ἐλέγχων τρόπος τοιοῦτός ἐστιν· (9) ἕτεραν δὲ δεῖ ταῖς ὁμοιώσεσι τοιαύτην παραφυ- C

1, 170—171 H. 6, 193—194 R.

24. ξεῖνε φάνης Homerus π 181: ξεῖν' ἐφάνης

Digitized by Google

λάττειν διαφοράν. ὁ μὲν ἀληθὴς φίλος οὔτε μιμητής ἐστι πάντων οὔτ' ἐπαινέτης πρόθυμος, ἀλλὰ τῶν ἀρίστων μόνων·

'οὐ γὰρ συνέχθειν ἀλλὰ συμφιλεῖν ἔφυ'

κατὰ τὸν Σοφοκλέα, καὶ νὴ Δία συγκατορθοῦν καὶ συμφιλοκαλεῖν, οὐ συναμαρτάνειν οὐδὲ συρραδιουργεῖν, ἂν μή τις οἷον ὀφθαλμίας ἀπορροὴ καὶ ἀνάχρωσις ἄκοντα δι' ὁμιλίαν καὶ συνήθειαν ἀναπλήσῃ φαυλότητος ἢ πλημμελείας τινός. ὥς που καὶ Πλάτωνος ἀπομιμεῖσθαί φασι τοὺς συνήθεις τὸ ἐπίκυρτον, Ἀριστοτέλους δὲ τὸν τραυλισμόν, Ἀλεξάνδρου δὲ τοῦ βασιλέως τὴν ἔγκλισιν τοῦ τραχήλου καὶ τὴν ἐν τῷ διαλέγεσθαι τραχύτητα τῆς φωνῆς· τὰ γὰρ πολλὰ λανθάνουσιν ἔνιοι καὶ ἀπὸ τῶν ἠθῶν καὶ ἀπὸ τῶν βίων ἀναλαμβάνοντες. ὁ δὲ κόλαξ ἀτεχνῶς τὸ τοῦ χαμαιλέοντος πέπονθεν. ἐκεῖνός τε γὰρ ἁπάσῃ χρόᾳ πλὴν τοῦ λευκοῦ συναφομοιοῦται, καὶ ὁ κόλαξ ἐν τοῖς ἀξίοις σπουδῆς ὅμοιον ἑαυτὸν ἐξαδυνατῶν παρέχειν οὐδὲν ἀπολείπει τῶν αἰσχρῶν ἀμίμητον, ἀλλ' ὥσπερ οἱ φαῦλοι ζωγράφοι τῶν καλῶν ἐφικνεῖσθαι μὴ δυνάμενοι δι' ἀσθένειαν ἐν ῥυτίσι καὶ φακοῖς καὶ οὐλαῖς τὰς ὁμοιότητας ἀναφαίνουσιν, οὕτως ἐκεῖνος ἀκρασίας γίγνεται μιμητής, δεισιδαιμονίας ἀκροχολίας, πικρίας πρὸς οἰκέτας, ἀπιστίας πρὸς οἰκείους καὶ συγγενεῖς. φύσει τε γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὰ χείρονα κατάντης ἐστί, καὶ δοκεῖ πορρωτάτω τοῦ ψέγειν τὸ αἰσχρὸν εἶναι μιμούμενος. ὕποπτοι γὰρ οἱ τὰ βελτίω ζηλοῦντες καὶ δοκοῦντες ἄχθεσθαι καὶ δυσκολαίνειν τοῖς ἁμαρτήμασι τῶν φίλων· ὃ δὴ καὶ Διονυσίῳ

1, 171—172 H. 6, 194—196 R.

5. Σοφοκλέα] Antig. 533 22. ἀναφαίνουσιν*: ἀναφέρουσιν 28. ζηλοῦντες Reiskius: ζητοῦντες

Digitized by Google

Δίωνα καὶ Σάμιον Φιλίππῳ καὶ Κλεομένη Πτολεμαίῳ διέβαλε καὶ ἀπώλεσεν. ὁ δὲ βουλόμενος εἶναι καὶ δοκεῖν ὁμοίως ἡδὺς ἅμα καὶ πιστὸς τοῖς χείροσι μᾶλλον ὑποκρίνεται χαίρειν, ὡς ὑπὸ τοῦ σφόδρα φιλεῖν οὐδὲ τὰ φαῦλα δυσχεραίνων, ἀλλὰ συμπαθὴς πᾶσι F καὶ συμφυὴς γιγνόμενος. ὅθεν οὐδὲ τῶν ἀβουλήτων καὶ τυχηρῶν ἀμοιρεῖν ἀξιοῦσιν, ἀλλὰ καὶ νοσεῖν ὅμοια προσποιοῦνται, κολακεύοντες τοὺς νοσώδεις, καὶ μήτε βλέπειν ὀξὺ μήτ' ἀκούειν, ἂν ὑποτύφλοις ἢ ὑποκώφοις συνῶσιν, ὥσπερ οἱ Διονυσίου κόλακες ἀμβλυωποῦντος ἐμπίπτοντες ἀλλήλοις καὶ τὰς παροψίδας ἐν τῷ δειπνεῖν καταβάλλοντες. ἔνιοι δὲ καὶ μᾶλλον ἁπτόμενοι τῶν παθῶν ἐνδοτέρω ποιοῦσιν ἑαυτούς, καὶ καταμιγνύουσιν ἄχρι τῶν ἀπορρήτων τὰς ὁμοιοπαθείας. αἰσθόμενοι γὰρ ἢ περὶ γάμον δυστυχοῦντας 54 ἢ πρὸς υἱοὺς ἢ πρὸς οἰκείους ὑπόπτως ἔχοντας αὐτοὶ σφῶν αὐτῶν ἀφειδοῦσι καὶ ἀποδύρονται περὶ τέκνων ἰδίων ἢ γυναικὸς ἢ συγγενῶν ἢ οἰκείων, αἰτίας τινὰς ἀπορρήτους ἐξαγορεύοντες. ἡ γὰρ ὁμοιότης συμπαθεστέρους ποιεῖ, καὶ μᾶλλον ὥσπερ ὄμηρα δεδεγμένοι προΐενταί τι τῶν ἀπορρήτων αὐτοῖς, προέμενοι δὲ χρῶνται καὶ δεδίασιν ἐγκαταλιπεῖν τὴν πίστιν. ἐγὼ δ' οἶδά τινα συνεκβαλόντα τὴν γαμετήν, ὡς ὁ φίλος ἀπεπέμψατο τὴν ἑαυτοῦ· κρύφα δὲ φοιτῶν πρὸς αὐτὴν καὶ διαπεμπόμενος ἐφωράθη, συναι- B σθομένης τῆς τοῦ φίλου γυναικός. οὕτως ἄπειρος ἦν κόλακος ὁ νομίζων τὰ ἰαμβεῖα ταυτὶ τῷ καρκίνῳ μᾶλλον ἢ τῷ κόλακι προσήκειν

'γαστὴρ ὅλον τὸ σῶμα, πανταχῇ βλέπων
ὀφθαλμός, ἕρπον τοῖς ὀδοῦσι θηρίον·'

1, 172—174 H. 6, 196—198 R.

23. τὴν* 29. Meinek. p. 489. Bergk. p. 1309[3]

Digitized by Google

παρασίτου γὰρ ὁ τοιοῦτος εἰκονισμός ἐστι

'τῶν περὶ τάγηνον καὶ μετ' ἄριστον φίλων',

ὡς Εὔπολίς φησιν.

10. Οὐ μὴν ἀλλὰ ταῦτα μὲν εἰς τὸν οἰκεῖον ἀναθώμεθα τοῦ λόγου τόπον· ἐκεῖνο δὲ μὴ παρῶμεν ἐν ταῖς μιμήσεσι τὸ σόφισμα τοῦ κόλακος, ὅτι κἂν τῶν C καλῶν τι μιμῆται τοῦ κολακευομένου, διαφυλάττει τὴν ὑπεροχὴν ἐκείνῳ. τοῖς μὲν γὰρ ἀληθῶς φίλοις οὔτε ζῆλος οὐδείς ἐστι πρὸς ἀλλήλους οὔτε φθόνος, ἀλλὰ κἂν ἴσον ἔχωσιν ἐν τῷ κατορθοῦν κἂν ἔλαττον, ἀνεπαχθῶς καὶ μετρίως φέρουσιν. ὁ δὲ κόλαξ ἀεὶ μνημονεύων τοῦ τὰ δεύτερα λέγειν ὑφίεται τῇ ὁμοιότητι τῆς ἰσότητος, ἡττᾶσθαι πανταχοῦ καὶ ἀπολείπεσθαι πλὴν τῶν φαύλων ὁμολογῶν. ἐν δὲ τοῖς φαύλοις οὐ παρίησι τὸ πρωτεῖον, ἀλλά φησιν, ἂν ἐκεῖνος D ᾖ δύσκολος, αὐτὸν εἶναι μελαγχολικόν· ἂν ἐκεῖνος δεισιδαίμων, αὐτὸν θεοφόρητον· ἐρᾶν ἐκεῖνον, μαίνεσθαι δ' αὐτόν. 'ἀκαίρως' φησίν 'ἐγέλας, ἐγὼ δ' ἐξέθνησκον ὑπὸ τοῦ γέλωτος'. ἀλλ' ἐν γε τοῖς χρηστοῖς τοὐναντίον. αὐτός φησι ταχέως τρέχειν, ἵπτασθαι δ' ἐκεῖνον· αὐτὸς ἱππεύειν ἐπιεικῶς, 'ἀλλὰ τί πρὸς τὸν ἱπποκένταυρον τοῦτον; εὐφυὴς εἰμι ποιητὴς καὶ στίχον οὐ φαυλότατον γράφω,

'βροντᾶν δ' οὐκ ἐμὸν ἀλλὰ Διός.''

ἅμα γὰρ αὐτοῦ δοκεῖ καὶ τὴν προαίρεσιν ἀποφαίνειν καλὴν μιμούμενος καὶ τὴν δύναμιν ἀνέφικτον ἡττώμενος. ἐν μὲν οὖν ταῖς ἐξομοιώσεσι τοιαῦταί τινές εἰσιν αἱ τοῦ κόλακος διαφοραὶ πρὸς τὸν φίλον.

1, 174—175 H. 6, 198—199 R.

2. Meinek. II. p. 489 μετ'] κατ' Schäferus 24. Bergk. p. 1355[3]

Digitized by Google

11. Ἐπεὶ δ' ὥσπερ εἴρηται καὶ τὸ τῆς ἡδονῆς κοινόν ἐστι (χαίρει γὰρ οὐχ ἧττον τοῖς φίλοις ὁ χρηστὸς ἢ τοῖς κόλαξιν ὁ φαῦλος), φέρε καὶ τοῦτο διορίσωμεν. ἔστι δὲ διορισμὸς ἡ πρὸς τὸ τέλος ἀναφορὰ τῆς ἡδονῆς. σκόπει δ' οὕτως. ἔνεστι μέν που τῷ E μύρῳ τὸ εὐῶδες, ἔνεστι δ' ἐν ἀντιδότῳ. διαφέρει δ' ὅτι τοῦτο μὲν πρὸς ἡδονὴν καὶ πρὸς οὐδὲν ἕτερον γέγονεν, ἐκεῖ δὲ τὸ καθαῖρον ἢ τὸ θερμαῖνον ἢ τὸ σαρκοῦν τῆς δυνάμεως ἄλλως εὐῶδές ἐστι. πάλιν οἱ γραφεῖς ἀνθηρὰ χρώματα καὶ βάμματα μιγνύουσιν, ἔστι δὲ καὶ τῶν ἰατρικῶν φαρμάκων ἔνια τὴν ὄψιν ἀνθηρὰ καὶ τὴν χρόαν οὐκ ἀπάνθρωπον ἔχοντα. τί τοίνυν διαφέρει; ἢ οὐ δῆλον ὅτι τῷ τέλει τῆς χρείας διακρινοῦμεν; οὐκοῦν ὁμοίως αἱ μὲν τῶν φίλων χάριτες ἐπὶ καλῷ τινι καὶ ὠφελίμῳ τὸ εὐφραῖνον ὥσπερ F ἐπανθοῦν ἔχουσιν, ἔστι δ' ὅτε καὶ παιδιᾷ καὶ τραπέζῃ καὶ οἴνῳ καὶ νὴ Δία γέλωτι καὶ φλυάρῳ πρὸς ἀλλήλους οἷον ἡδύσμασιν ἐχρήσαντο τῶν καλῶν καὶ σπουδαίων. πρὸς ὃ δὴ καὶ λέλεκται τό

'μύθοισιν τέρποντο πρὸς ἀλλήλας ἐνέποντες'

καὶ τό

'οὐδέ κεν ἄλλο
ἄμμε διέκρινεν φιλέοντέ τε τερπομένω τε'.

τοῦ δὲ κόλακος τοῦτ' ἔργον ἐστὶ καὶ τέλος, ἀεί τινα 55 παιδιὰν ἢ πρᾶξιν ἢ λόγον ἐφ' ἡδονῇ καὶ πρὸς ἡδονὴν ὀψοποιεῖν καὶ καρυκεύειν. συνελόντι δ' εἰπεῖν ὃ μὲν ἵνα ἡδὺς ᾖ πάντα δεῖν οἴεται ποιεῖν, ὃ δ' ἀεὶ ποιῶν ἃ δεῖ πολλάκις μὲν ἡδὺς πολλάκις δ' ἀηδής ἐστιν, οὐ τοῦτο βουλόμενος, εἰ δὲ βέλτιον εἴη, μηδὲ

1, 175—177 H. 6, 199—201 R

13. οὐ* 20. Homer. Λ 643 22. Id. δ 178

Digitized by Google

τοῦτο φεύγων. ὥσπερ γὰρ ἰατρός, ἂν συμφέρῃ, κρόκον ἢ νάρδον ἐπέβαλε καὶ νὴ Δία πολλάκις ἔλουσε προσηνῶς καὶ ἔθρεψε φιλανθρώπως, ἔστι δ' ὅπου ταῦτ' ἐάσας καστόριον ἐνέσεισεν

'ἢ πόλιον βαρύοσμον ὃ δὴ ῥίγιστον ὄδωδεν'

Β ἢ τινα ἑλλέβορον τρίψας ἐκπιεῖν ἠνάγκασεν, οὔτ' ἐνταῦθα τὸ ἀηδὲς οὔτ' ἐκεῖ τὸ ἡδὺ ποιούμενος τέλος ἀλλ' ἐφ' ἓν δι' ἀμφοτέρων ἐπὶ τὸ συμφέρον ἄγων τὸν θεραπευόμενον, οὕτως ὁ φίλος ἔστι μὲν ὅτε σὺν ἐπαίνῳ καὶ χάριτι μεγαλύνων καὶ εὐφραίνων ἄγει πρὸς τὸ καλόν, ὥσπερ οὗτος

'Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν,

βάλλ' οὕτω'

καί

'πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην';

ὅπου δ' αὖ πάλιν ἐπιστροφῆς δεῖται, λόγῳ δήκτῃ καὶ παρρησίᾳ κηδεμονικῇ καθαπτόμενος

C 'ἀφραίνεις, Μενέλαε διοτρεφές, οὐδέ τί σε χρή ταύτης ἀφροσύνης'.

ἔστι δ' ὅπου καὶ τὸ ἔργον ἅμα τῷ λόγῳ συνῆψεν, ὡς Μενέδημος Ἀσκληπιάδου τοῦ φίλου τὸν υἱὸν ἄσωτον ὄντα καὶ ἄτακτον ἀποκλείων καὶ μὴ προσαγορεύων ἐσωφρόνισε, καὶ Βάτωνι τὴν σχολὴν ἀπεῖπεν Ἀρκεσίλαος, ὅτε πρὸς Κλεάνθην στίχον ἐποίησεν ἐν κωμῳδίᾳ, πείσαντος δὲ τὸν Κλεάνθην καὶ μεταμελομένου διηλλάγη. δεῖ γὰρ ὠφελοῦντα λυπεῖν τὸν φίλον, οὐ δεῖ δὲ λυποῦντα τὴν φιλίαν ἀναιρεῖν, ἀλλ'

1, 177—178 H. 6, 201—203 R.

5. Nicander Ther. 64 10. μεγαλύνων*: μεγαλύνων ἀεὶ 12. Homer. Θ 281 16. Id. K 243 19. Id. H 109 24. Βάτωνι Meinekius: βάττῳ

Digitized by Google

ὡς φαρμάκῳ τῷ δάκνοντι χρῆσθαι, σῴζοντι καὶ φυ- D
λάττοντι τὸ θεραπευόμενον. ὅθεν ὥσπερ ἁρμονικὸς
ὁ φίλος τῇ πρὸς τὸ καλὸν καὶ συμφέρον μεταβολῇ
τὰ μὲν ἐνδιδοὺς ἃ δ' ἐπιτείνων πολλάκις μὲν ἡδὺς
ἀεὶ δ' ὠφέλιμός ἐστι. ὁ δὲ κόλαξ ἀφ' ἑνὸς διαγράμ-
ματος ἀεὶ τὸ ἡδὺ καὶ τὸ πρὸς χάριν εἰωθὼς ὑποκρέ-
κειν οὔτ' ἔργον οἶδεν ἀντιτεῖνον οὔτε ῥῆμα λυποῦν,
ἀλλὰ μόνῳ παρέπεται τῷ βουλομένῳ, συνᾴδων ἀεὶ καὶ
συμφθεγγόμενος. ὥσπερ οὖν τὸν Ἀγησίλαον ὁ Ξενο-
φῶν ἡδέως ἐπαινεῖσθαί φησιν ὑπὸ τῶν καὶ ψέγειν
ἐθελόντων, οὕτω δεῖ τὸ εὐφραῖνον καὶ χαριζόμενον
ἡγεῖσθαι φιλικόν, ἂν καὶ λυπεῖν ποτε δύνηται καὶ
ἀντιτείνειν, τὴν δὲ συνεχῆ ταῖς ἡδοναῖς καὶ τὸ πρὸς E
χάριν ἔχουσαν ἄκρατον ἀεὶ καὶ ἄδηκτον ὁμιλίαν ὑπο-
νοεῖν, καὶ νὴ Δία τὸ τοῦ Λάκωνος ἔχειν πρόχειρον,
ὃς ἐπαινουμένου Χαρίλλου τοῦ βασιλέως 'πῶς οὗτος'
ἔφη 'χρηστός, ὃς οὐδὲ τοῖς πονηροῖς πικρός ἐστι';

12. Τοῖς μὲν οὖν ταύροις τὸν οἶστρον ἐνδύεσθαι
παρὰ τὸ οὖς λέγουσι, καὶ τοῖς κυσὶ τὸν κρότωνα·
τῶν δὲ φιλοτίμων ὁ κόλαξ τὰ ὦτα κατέχων τοῖς ἐπαί-
νοις καὶ προσπεφυκὼς δυσαπότριπτός ἐστιν. ὅθεν ἐν-
ταῦθα δεῖ μάλιστα τὴν κρίσιν ἔχειν ἐγρηγορυῖαν καὶ
παραφυλάττουσαν πότερον τοῦ πράγματος ἢ τοῦ ἀν- F
δρὸς ὁ ἔπαινός ἐστιν. ἔστι δὲ τοῦ πράγματος, ἂν
ἀπόντας μᾶλλον ἢ παρόντας ἐπαινῶσιν, ἂν καὶ αὐτοὶ
ταὐτὰ βουλόμενοι καὶ ζηλοῦντες μὴ μόνους ἡμᾶς ἀλλὰ
πάντας ἐπὶ τοῖς ὁμοίοις ἐπαινῶσιν, ἂν μὴ νῦν μὲν
ταῦτα νῦν δὲ τἀναντία πράττοντες καὶ λέγοντες φαί-
νωνται· τὸ δὲ μέγιστον, ἂν αὐτοὶ γιγνώσκωμεν ἑαυ-
τοὺς μὴ μεταμελομένους ἐφ' οἷς ἐπαινούμεθα μηδ'

1, 178—180 H. 6, 203—205 R.

28. φαίνωνται*: φαίνοιντο

Digitized by Google

αἰσχυνομένους μηδὲ μᾶλλον ἡμῖν τἀναντία τούτων πεπρᾶχθαι καὶ λελέχθαι βουλομένους. ἡ γὰρ οἴκοθεν κρίσις ἀντιμαρτυροῦσα καὶ μὴ προσδεχομένη τὸν ἔπαι-
56 νον ἀπαθής ἐστι καὶ ἄθικτος καὶ ὑπὸ τοῦ κολακεύοντος ἀνάλωτος. ἀλλ' οὐκ οἶδ' ὅπως οἱ πολλοὶ τὰς μὲν ἐπὶ τοῖς ἀτυχήμασι παρηγορίας οὐχ ὑπομένουσιν, ἀλλὰ μᾶλλον ὑπὸ τῶν συνεπιθρηνούντων ἄγονται καὶ συνοδυρομένων· ὅταν δ' ἁμαρτάνωσι καὶ πλημμελῶσιν, ὁ μὲν ἐλέγχῳ καὶ ψόγῳ δηγμὸν ἐμποιῶν καὶ μετάνοιαν ἐχθρὸς δοκεῖ καὶ κατήγορος, τὸν δ' ἐπαι-
B νοῦντα καὶ κατευλογοῦντα τὰ πεπραγμένα ἀσπάζονται καὶ νομίζουσιν εὔνουν καὶ φίλον. ὅσοι μὲν οὖν ἢ πρᾶξιν ἢ λόγον ἢ σπουδάσαντος ὁτιοῦν ἢ σκώψαντος εὐχερῶς ἐπαινοῦσι καὶ συνεπικροτοῦσιν, εἰς τὸ παρόν εἰσιν οὗτοι καὶ τὰ ὑπὸ χεῖρα βλαβεροὶ μόνον· ὅσοι δὲ πρὸς τὸ ἦθος ἐξικνοῦνται τοῖς ἐπαίνοις καὶ νὴ Δία τοῦ τρόπου τῇ κολακείᾳ θιγγάνουσι, ταὐτὸ ποιοῦσι τῶν οἰκετῶν τοῖς μὴ ἀπὸ τοῦ σωροῦ κλέπτουσιν ἀλλ' ἀπὸ τοῦ σπέρματος· σπέρμα γὰρ τῶν πράξεων οὖσαν τὴν διάθεσιν καὶ τὸ ἦθος ἀρχὴν καὶ
C πηγὴν τοῦ βίου διαστρέφουσι, τὰ τῆς ἀρετῆς ὀνόματα τῇ κακίᾳ περιτιθέντες. ἐν μὲν γὰρ ταῖς στάσεσι καὶ τοῖς πολέμοις ὁ Θουκυδίδης φησὶν ὅτι 'τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρεία φιλεταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής, τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ πρὸς ἅπαν συνετὸν ἐπὶ πᾶν ἀργόν'. ἐν δὲ ταῖς κολακείαις ὁρᾶν χρὴ καὶ παραφυλάττειν ἀσωτίαν μὲν ἐλευθεριότητα καλουμένην καὶ δειλίαν ἀσφάλειαν, ἐμπλη-

1, 180—181 H. 6, 205—206 R.

23. Θουκυδίδης] III 82

Digitized by Google

ξίαν δ', ὀξύτητα, μικρολογίαν δὲ σωφροσύνην, τὸν δ' ἐρωτικὸν φιλοσυνήθη καὶ φιλόστοργον, ἀνδρεῖον δὲ τὸν ὀργίλον καὶ ὑπερήφανον, φιλάνθρωπον δὲ τὸν εὐτελῆ καὶ ταπεινόν. ὥς που καὶ Πλάτων φησὶ D τὸν ἐραστὴν κόλακα τῶν ἐρωμένων ὄντα τὸν μὲν σιμὸν καλεῖν ἐπίχαριν, τὸν δὲ γρυπὸν βασιλικόν, μέλανας δ' ἀνδρικούς, λευκοὺς δὲ θεῶν παῖδας· τὸ δὲ μελίχρουν ὅλως ἐραστοῦ ποίημα εἶναι ὑποκοριζομένου καὶ εὐκόλως φέροντος τὴν ὠχρότητα. καίτοι καλὸς μὲν εἶναι πειθεὶς ὁ αἰσχρὸς ἢ μέγας ὁ μικρὸς οὔτε χρόνον πολὺν τῇ ἀπάτῃ σύνεστι καὶ βλάπτεται βλάβην ἐλαφρὰν καὶ οὐκ ἀνήκεστον· ὁ δὲ ταῖς κακίαις ἐθίζων E ἔπαινος ὡς ἀρεταῖς, ὡς μὴ ἀχθόμενον ἀλλὰ χαίροντα χρῆσθαι, καὶ τὸ αἰδεῖσθαι τῶν ἁμαρτανομένων ἀφαιρῶν, οὗτος ἐπέτριψε Σικελιώτας, τὴν Διονυσίου καὶ Φαλάριδος ὠμότητα μισοπονηρίαν προσαγορεύων, οὗτος Αἴγυπτον ἀπώλεσε, τὴν Πτολεμαίου θηλύτητα καὶ θεοληψίαν καὶ ὀλολυγμοὺς καὶ τυμπάνων χαράξεις εὐσέβειαν ὀνομάζων καὶ θεῶν λατρείαν, οὗτος τὰ Ῥωμαίων ἤθη τηνικαῦτα παρ' οὐδὲν ἦλθεν ἀνατρέψαι καὶ ἀνελεῖν, τὰς Ἀντωνίου τρυφὰς καὶ ἀκολασίας καὶ πανηγυρισμοὺς ἱλαρὰ παίγματα καὶ φιλάνθρωπα χρωμένης ἀφθόνως αὐτῷ τῆς τύχης ὑποκοριζόμενος. Πτο- F λεμαίῳ δὲ τί περιῆψεν ἄλλο φορβειὰν καὶ αὐλούς, τί δὲ Νέρωνι τραγικὴν ἐπήξατο σκηνὴν καὶ προσωπεῖα καὶ κοθόρνους περιέθηκεν; οὐχ ὁ τῶν κολακευόντων ἔπαινος; οἱ δὲ πολλοὶ τῶν βασιλέων οὐκ Ἀπόλλωνες μὲν ἂν μινυρίσωσι, Διόνυσοι δ' ἂν μεθυσθῶσιν, Ἡρα-

1, 181—183 H. 6, 206—208 R.

4. Πλάτων] Rep. V. p. 474 E 8. ποίημα Plato: προσποίημα 18. χαράξεις L. Dindorfius: ἐγχαράξεις 22. παίγματα*: πράγματα 23. αὐτῷ τῆς*: αὐτῷ δυνάμεως καὶ

Digitized by Google

κλεῖς δ' ἂν παλαίσωσι προσαγορευόμενοι καὶ χαίροντες εἰς ἅπασαν αἰσχύνην ὑπὸ τῆς κολακείας ἐξαγονται;

13. Διὸ φυλακτέον ἐστὶ μάλιστα τὸν κόλακα περὶ τοὺς ἐπαίνους. ὅπερ οὐδ' αὐτὸν ἐκεῖνον λέληθεν, 57 ἀλλὰ δεινὸς ὢν φυλάττεσθαι τὸ ὕποπτον, ἂν μὲν εὐπαρύφου τινὸς ἀγροίκου λάβηται φορίνην παχεῖαν φέροντος, ὅλῳ τῷ μυκτῆρι χρῆται, καθάπερ ὁ Στρουθίας ἐμπεριπατῶν τῷ Βίαντι καὶ κατορχούμενος τῆς ἀναισθησίας αὐτοῦ τοῖς ἐπαίνοις

'Ἀλεξάνδρου πλέον
τοῦ βασιλέως πέπωκας'

καί

'γέλωτι πρὸς τὸν Κύπριον ἐκθανούμενος'.

τοὺς δὲ κομψοτέρους ὁρῶν ἐνταῦθα μάλιστα προσέχοντας αὐτοῖς καὶ φυλαττομένους τὸ χωρίον τοῦτο καὶ τὸν τόπον οὐκ ἀπ' εὐθείας ἐπάγει τὸν ἔπαινον, ἀλλ' ἀπαγαγὼν πόρρω κυκλοῦται καί

B 'πρόσειειν, οἷον ἀψοφητὶ θρέμματος'

ἐπιψαύων καὶ ἀποπειρώμενος. νῦν μὲν γὰρ ἑτέρων περὶ αὐτοῦ τινων ἐπαίνους ἀπαγγέλλει, καθάπερ οἱ ῥήτορες, ἀλλοτρίῳ προσχρώμενος προσώπῳ, ξένοις λέγων ἢ πρεσβυτέροις ἐν ἀγορᾷ μάλ' ἡδέως παραγενέσθαι πολλὰ κἀγαθὰ μεμνημένοις αὐτοῦ καὶ θαυμάζουσι· νῦν δ' αὖ πάλιν αἰτίας ἐλαφρὰς καὶ ψευδεῖς πλασάμενος καὶ συνθεὶς ἐπ' αὐτόν, ὡς ἀκηκοὼς ἑτέρων ἀφῖκται μετὰ σπουδῆς, πυνθανό-

1, 183—185 H. 6, 208—210 R.

7. τινὸς Schellensius: τινὸς ἢ 11. 'Ἀλεξάνδρου — πέπωκας Menander apud Meinek. IV. p. 152: ἀλεξάνδρου τοῦ βασιλέως πλέον πέπωκας 14. Meinek. IV. p. 153 ἐκθανούμενος W: ἐνηθούμενος 16. αὐτοῖς Reiskius: αὐτῷ

Digitized by Google

μενος ποῦ τοῦτ' εἶπεν ἢ ποῦ τοῦτ' ἔπραξεν. ἀρνουμένου δ', ὡς εἰκός, αὐτόθεν ἑλὼν ἐμβέβληκεν εἰς τοὺς ἐπαίνους τὸν ἄνθρωπον 'ἐγὼ δ' ἐθαύμαζον εἰ σὺ C κακῶς τινα τῶν συνήθων εἶπας ὁ μηδὲ τοὺς ἐχθροὺς πεφυκώς, εἰ σὺ τοῖς ἀλλοτρίοις ἐπεχείρησας ὁ τοσαῦτα τῶν ἰδίων δωρούμενος'.

14. Ἕτεροι τοίνυν, ὥσπερ οἱ ζωγράφοι τὰ φωτεινὰ καὶ λαμπρὰ τοῖς σκιεροῖς καὶ σκοτεινοῖς ἐπιτείνουσιν ἐγγὺς παρατιθεμένοις, οὕτω τῷ ψέγειν τἀναντία καὶ λοιδορεῖν ἢ διασύρειν καὶ καταγελᾶν λανθάνουσι τὰ προσόντα κακὰ τοῖς κολακευομένοις ἐπαινοῦντες καὶ τρέφοντες. σωφροσύνην τε γὰρ ὡς ἀγροικίαν ψέγουσιν ἐν ἀσώτοις καὶ πλεονέκταις καὶ κακούργοις καὶ πλουτοῦσιν ἀπὸ πραγμάτων αἰσχρῶν καὶ πονηρῶν, αὐτάρκειάν τε καὶ δικαιοσύνην ὡς ἀτολ- D μίαν καὶ ἀρρωστίαν πρὸς τὸ πράττειν· ὅταν δὲ ῥᾳθύμοις σχολασταῖς καὶ τὰ μέσα φεύγουσι τῶν πόλεων ὁμιλῶσιν, οὐκ αἰσχύνονται πολιτείαν μὲν ἀλλοτριοπραγίαν ἐπίπονον, φιλοτιμίαν δὲ κενοδοξίαν ἄκαρπον ὀνομάζοντες. ἤδη δὲ καὶ ῥήτορος ἔστιν οἳ κολακείᾳ διέσυραν φιλόσοφον, καὶ παρὰ γυναιξὶν ἀκολάστοις εὐδοκιμοῦσιν οἱ τὰς μονολεχεῖς καὶ φιλάνδρους ἀναφροδίτους καὶ ἀγροίκους ἀποκαλοῦντες. ὑπερβάλλει δὲ μοχθηρίᾳ τὸ μηδ' ἑαυτῶν ἀπέχεσθαι τοὺς κόλακας. ὡς γὰρ οἱ παλαισταὶ τὸ σῶμα ποιοῦσι ταπεινόν, ὅπως ἑτέρους καταβάλωσιν, οὕτω τῷ ψέγειν ἑαυτοὺς εἰς E τὸ θαυμάζειν τοὺς πλησίον ὑπορρέουσιν. 'ἀνδράποδόν εἰμι δειλὸν ἐν θαλάσσῃ, πρὸς τοὺς πόνους ἀπα-

1, 185—186 H. 6, 210—212 R.

2. ἑλὼν Courierus: ἔχων 15. τε*: δὲ 20. ἔστιν οἳ*: ἔστιν ὅτε 21. διέσυραν*: διασύραι 22. εὐδοκιμοῦσιν οἱ*: εὐδοκιμοῦσι

Digitized by Google

γορεύω, μαίνομαι κακῶς ἀκούσας ὑπ' ὀργῆς. ἀλλὰ τούτῳ' φησίν 'οὐδέν ἐστι δεινόν, οὐδὲν πονηρόν, ἀλλ' ἴδιος ἄνθρωπος, πάντα πράως φέρει, πάντα ἀλύπως'. ἂν δ' ἤ τις οἰόμενος πολὺν ἔχειν νοῦν καὶ βουλόμενος αὐστηρὸς εἶναι καὶ αὐθέκαστος ὑπὸ δή τινος ὀρθότητος ἀεὶ προβάλληται τό

'Τυδείδη, μήτ' ἄρ με μάλ' αἴνεε μήτε τι νείκει',

F οὐ ταύτῃ πρόσειτιν ὁ τεχνίτης κόλαξ, ἀλλ' ἔστι τις ἑτέρα μηχανὴ πρὸς τὸν τοιοῦτον. ἥκει γὰρ αὐτῷ περὶ πραγμάτων ἰδίων ὡς δὴ φρονήσει περιττοτέρῳ συμβουλευσόμενος, καί φησι μᾶλλον μὲν ἑτέρους ἔχειν συνήθεις, ἐνοχλεῖν δ' ἀναγκαίως ἐκείνῳ· 'ποῖ γὰρ καταφύγωμεν οἱ γνώμης δεόμενοι, τίνι δὲ πιστεύσωμεν;' εἶτ' ἀκούσας ὅ τι ἂν ἐπίῃ, χρησμὸν εἰληφέναι φήσας οὐ γνώμην ἄπεισιν. ἂν δὲ καὶ λόγων τινὸς ἐμπειρίας ὁρᾷ μεταποιούμενον, ἔδωκέ τι τῶν αὐτῷ
58 γεγραμμένων, ἀναγνῶναι καὶ διορθῶσαι κελεύσας. Μιθριδάτῃ δὲ τῷ βασιλεῖ φιλιατροῦντι καὶ τεμεῖν ἔνιοι καὶ καῦσαι παρέσχον αὐτοὺς τῶν ἑταίρων, ἔργῳ κολακεύοντες οὐ λόγῳ· μαρτυρεῖσθαι γὰρ ἐμπειρίαν ἐδόκει πιστευόμενος ὑπ' αὐτῶν.

'πολλαὶ μορφαὶ τῶν δαιμονίων,'

τὸ δὲ γένος τοῦτο τῶν ἀρνουμένων ἐπαίνων πανουργοτέρας δεόμενον εὐλαβείας ἐλεγκτέον ἐπίτηδες ἀτόπους ἐκτάττοντα συμβουλίας καὶ ὑποθήκας, καὶ διορ-
B θώσεις ποιούμενον ἀλόγους. πρὸς μηδὲν γὰρ ἀντιλέγων, ἀλλὰ πᾶσι συνεπινεύων καὶ ἀποδεχόμενος πάντα καὶ βοῶν παρ' ἕκαστον ὡς εὖ καὶ καλῶς, γίγνεται καταφανὴς

1, 186—188 H. 6, 212—213 R

7. Homer. K 249 12. ποῖ*: ποῦ 22. Eurip. Alc. 1159 et passim 27. ἀποδεχόμενος Reiskius: δεχόμενος

Digitized by Google

'σύνθημ' ἐρωτῶν, ἄλλο μαστεύων χρέος',
ἐπαινέσαι καὶ συνεπιτυφῶσαι βουλόμενος.

15. Ἔτι τοίνυν ὥσπερ ἔνιοι τὴν ζωγραφίαν σιωπῶσαν ἀπεφήναντο ποιητικήν, οὕτως ἐστί τις κολακείας σιωπώσης ἔπαινος. ὥσπερ γὰρ οἱ θηρεύοντες ἂν μὴ τοῦτο ποιεῖν ἀλλ' ὁδοιπορεῖν ἢ νέμειν ἢ γεωργεῖν δοκῶσι, μᾶλλον τὰ θηρευόμενα λανθάνουσιν, οὕτως οἱ κόλακες ἅπτονται μάλιστα τοῖς ἐπαίνοις, ὅταν ἐπαινεῖν μὴ δοκῶσιν ἀλλ' ἕτερόν τι πράττειν. ὁ γὰρ ἔδρας εἴκων καὶ κλισίας ἐπιόντι καὶ λέγων πρὸς δῆμον ἢ βουλὴν ἂν αἴσθηταί τινα τῶν πλουσίων βουλόμενον εἰπεῖν, ἀποσιωπῶν μεταξὺ καὶ παραδιδοὺς τὸ βῆμα καὶ τὸν λόγον ἐνδείκνυται σιωπῶν μᾶλλον τοῦ βοῶντος ὅτι κρείττονα νομίζει καὶ διαφέροντα τῷ φρονεῖν ἐκεῖνον. ὅθεν ὁρᾶν ἔστιν αὐτοὺς ἕδρας τε τὰς πρώτας ἐν ἀκροάσεσι καὶ θεάτροις καταλαμβάνοντας, οὐχ ὅτι τούτων ἀξιοῦσιν αὑτούς, ἀλλ' ὅπως ὑπεξιστάμενοι τοῖς πλουσίοις κολακεύωσι· καὶ λόγου κατάρχοντας ἐν συνόδοις καὶ συνεδρίοις, εἶτα παραχωροῦντας ὡς κρείττοσι καὶ μετατιθεμένους ῥᾷστα πρὸς τοὐναντίον, ἅνπερ ᾖ δυνατὸς ἢ πλούσιος ἢ ἔνδοξος ὁ ἀντιλέγων. ᾧ καὶ μάλιστα δεῖ τὰς τοιαύτας ὑποκατακλίσεις καὶ ἀναχωρήσεις ἐξελέγχειν, οὐκ ἐμπειρίαις οὐδ' ἀρεταῖς οὐδ' ἡλικίαις ὑφιεμένων ἀλλὰ πλούτοις καὶ δόξαις. Ἀπελλῆς μὲν γὰρ ὁ ζωγράφος, Μεγαβύζου παρακαθίσαντος αὐτῷ καὶ περὶ γραμμῆς τι καὶ σκιᾶς βουλομένου λαλεῖν, 'ὁρᾷς' ἔφη 'τὰ παιδάρια ταυτὶ τὰ τὴν μηλίδα τρίβοντα; πάνυ σοι προσεῖχε τὸν νοῦν σιωπῶντι, καὶ τὴν πορφύραν ἐθαύμαζε καὶ τὰ χρυσία· νῦν δέ σου καταγελᾷ περὶ ὧν οὐ με-

1, 188—189 H. 6, 213—215 R.

1. Nauck. p. 297

Digitized by Google

μάθηκας ἀρξαμένου λαλεῖν'. καὶ Cόλων, Κροίσου περὶ εὐδαιμονίας πυνθανουμένου, Τέλλον τινὰ τῶν οὐκ ἐπιφανῶν Ἀθήνησι καὶ Βίτωνα καὶ Κλέοβιν ἀπέφηνεν εὐποτμοτέρους. οἱ δὲ κόλακες τοὺς βασιλέας καὶ πλουσίους καὶ ἄρχοντας οὐκ ὀλβίους μόνον καὶ μακαρίους ἀλλὰ καὶ φρονήσει καὶ τέχνῃ καὶ ἀρετῇ πάσῃ πρωτεύοντας ἀναγορεύουσιν.

16. Εἶτα τῶν μὲν Στωϊκῶν οὐδ' ἀκούειν ἔνιοι ὑπομένουσι τὸν σοφὸν ὁμοῦ πλούσιον καλὸν εὐγενῆ βασιλέα προσαγορευόντων, οἱ δὲ κόλακες τὸν πλούσιον ὁμοῦ ῥήτορα καὶ ποιητήν, ἂν δὲ βούληται, καὶ
F ζωγράφον καὶ αὐλητὴν ἀποφαίνουσι καὶ ποδώκη καὶ ῥωμαλέον, ὑποπίπτοντες ἐν τῷ παλαίειν καὶ ἀπολιμπανόμενοι θέοντος, ὥσπερ Κρίσων ὁ Ἰμεραῖος ἀπελείφθη διαθέων πρὸς Ἀλέξανδρον, ὃ δ' αἰσθόμενος ἠγανάκτησε. Καρνεάδης δ' ἔλεγε ὅτι πλουσίων καὶ βασιλέων παῖδες ἱππεύειν μόνον, ἄλλο δ' οὐδὲν εὖ καὶ καλῶς μανθάνουσι· κολακεύει γὰρ αὐτοὺς ἐν ταῖς διατριβαῖς ὁ διδάσκαλος ἐπαινῶν καὶ ὁ προσπαλαίων ὑποκατακλινόμενος, ὁ δ' ἵππος, οὐκ εἰδὼς οὐδὲ φρονtίζων ὅστις ἰδιώτης ἢ ἄρχων ἢ πλούσιος ἢ πένης,
59 ἐκτραχηλίζει τοὺς μὴ δυναμένους ὀχεῖσθαι. εὔηθες τοίνυν καὶ ἀβέλτερον τὸ τοῦ Βίωνος 'εἰ τὸν ἀγρὸν ἔμελλες ἐγκωμιάζων εὔφορον ποιεῖν καὶ εὔκαρπον, οὐκ ἂν ἁμαρτάνειν ἐδόκεις τοῦτο ποιῶν μᾶλλον ἢ σκάπτων καὶ πράγματα ἔχων· οὐ τοίνυν οὐδ' ἀνθρώπους ἄτοπος ἂν εἴης ἐπαινῶν, εἰ τοῖς ἐπαινουμένοις

1, 189—191 H. 6, 215—217 B.

11. ὁμοῦ*: ὁμοῦ καὶ 14. θέοντος*: θεόντων Κρίσων*: κρίσσων 22. εὔηθες — τὸ*: εὐήθη τοίνυν καὶ ἀβέλτερα τὰ 24. ἔμελλες*: ἔμελλε 25. ἐδόκεις*: ἐδόκει 26. ἀνθρώπους Dobraeus: ἄνθρωπος 27. εἴης*: εἴη

Digitized by Google

ὠφέλιμος ἔσῃ καὶ πρόσφορος'. ὁ μὲν γὰρ ἀγροὺς οὐ γίγνεται χείρων ἐπαινούμενος, ἄνθρωπον δὲ τυφοῦσι καὶ ἀπολλύουσιν οἱ ψευδῶς καὶ παρ' ἀξίαν ἐπαινοῦντες.

17. Ταῦτα μὲν οὖν ἀπόχρη περὶ τούτων· ἐφεξῆς δὲ τὸ τῆς παρρησίας ἴδωμεν. ἔδει μὲν γάρ, ὡς ὁ Πάτροκλος τοῦ Ἀχιλλέως τὰ ὅπλα περιβαλλόμενος B καὶ τοὺς ἵππους ἐξελαύνων ἐπὶ τὴν μάχην μόνης οὐκ ἐτόλμησε τῆς Πηλιάδος θιγεῖν ἀλλ' ἀφῆκεν, οὕτω τὸν κόλακα τοῖς τοῦ φίλου σκευοποιούμενον καὶ ἀναπλαττόμενον ἐπισήμοις καὶ συμβόλοις μόνην τὴν παρρησίαν ὥσπερ ἐξαίρετον βάσταγμα φιλίας

'βριθὺ μέγα στιβαρόν'

καταλείπειν ἄθικτον καὶ ἀμίμητον. ἐπεὶ δὲ φεύγοντες τὸν ἐν γέλωτι καὶ ἀκράτῳ καὶ σκώμμασι καὶ παιδιαῖς ἔλεγχον εἰς ὀφρῦν αἴρουσιν ἤδη τὸ πρᾶγμα καὶ κολακεύουσιν ἐσκυθρωπακότες καὶ ψόγον τινὰ καὶ νου- C θεσίαν παραμιγνύουσι, φέρε μηδὲ τοῦτο παραλείπωμεν ἀβασάνιστον. οἶμαι δέ, ὥσπερ ἐν κωμῳδίᾳ Μενάνδρου Ψευδηρακλῆς πρόσεισι ῥόπαλον οὐ στιβαρὸν κομίζων οὐδ' ἰσχυρὸν ἀλλὰ χαῦνόν τι πλάσμα καὶ διάκενον, οὕτω τὴν τοῦ κόλακος παρρησίαν φανεῖσθαι τοῖς πειρωμένοις μαλακὴν καὶ ἀβαρῆ καὶ τόνον οὐκ ἔχουσαν, ἀλλὰ ταὐτὰ τοῖς τῶν γυναικῶν προσκεφαλαίοις δρῶσαν, ἃ δοκοῦντα ταῖς κεφαλαῖς ἀντερείδειν καὶ ἀντέχειν ἐνδίδωσι καὶ ὑπείκει μᾶλλον· ὥσπερ ἡ κίβδηλος αὕτη παρρησία κενὸν ἔχουσα καὶ ψευδῆ καὶ D ὕπουλον ὄγκον ἐξήρθη καὶ ᾤδησεν, ἵνα συσταλεῖσα

1, 191—192 H. 6, 217—218 R.

1. ἔσῃ*: ἐστι πρόσφορος Iägerus: πάμφορος 13. Homer. Π 141 20. ῥόπαλον] Meinek. IV. p. 225 21. κενόν Winckelmannus 23. τοῖς*

Digitized by Google

καὶ συμπεσοῦσα δέξηται καὶ συνεπισπάσηται τὸν καταφερόμενον εἰς αὐτήν. ἡ μὲν γὰρ ἀληθὴς καὶ φιλικὴ παρρησία τοῖς ἁμαρτανομένοις ἐπιφύεται, σωτήριον ἔχουσα καὶ κηδεμονικὸν τὸ λυποῦν, ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνουσα καὶ καθαίρουσα, τἄλλα δ' ὠφέλιμος οὖσα καὶ γλυκεῖα, περὶ ἧς ἴδιος ἔσται λόγος. ὁ δὲ κόλαξ πρῶτον μὲν ἐνδείκνυται τὸ πικρὸς εἶναι καὶ περισπερχὴς καὶ ἀπαραίτητος ἐν τοῖς πρὸς ἑτέρους (οἰκέταις γὰρ αὐτοῦ χαλεπός ἐστι καὶ συγγενῶν καὶ οἰκείων ἐπεμβῆναι δεινὸς ἁμαρτήμασι καὶ μηδένα θαυμάσαι μηδὲ σεμνῦναι τῶν ἐκτὸς ἀλλ' ὑπερορᾶν, ἀσυγγνώμων δὲ καὶ διάβολος ἐν τῷ πρὸς ὀργὴν ἑτέρους παροξύνειν, θηρώμενος μισοπονηρίας δόξαν, ὡς οὐκ ἂν ἑκὼν ὑφέμενος παρρησίας αὐτοῖς οὐδὲ ποιήσας οὐδὲν οὐδ' εἰπὼν πρὸς χάριν), ἔπειτα δὲ τῶν μὲν ἀληθινῶν καὶ μεγάλων ἁμαρτημάτων οὐδὲν εἰδέναι προσποιούμενος οὐδὲ γιγνώσκειν, πρὸς δὲ τὰ μικρὰ καὶ τὰ ἐκτὸς ἐλλείμματα δεινὸς ᾖξαι καὶ μετὰ τόνου καθάψασθαι καὶ σφοδρότητος, ἂν σκεῦος ἀμελῶς ἴδῃ κείμενον, ἂν οἰκοῦντα φαύλως, ἂν ὀλιγωροῦντα κουρᾶς ἢ ἀμπεχόνης ἢ κυνός τινος ἢ ἵππου μὴ κατ' ἀξίαν ἐπιμελόμενον **· γονέων δὲ ὀλιγωρία καὶ παίδων ἀμέλεια καὶ ἀτιμία γαμετῆς καὶ πρὸς οἰκείους ὑπεροψία καὶ χρημάτων ὄλεθρος οὐδέν ἐστι πρὸς αὐτόν, ἀλλ' ἄφωνος ἐν τούτοις καὶ ἄτολμος, ὥσπερ ἀθλητὴν ἀλείπτης ἐῶν μεθύειν καὶ ἀκολασταίνειν, εἶτα περὶ ληκύθου χαλεπὸς ὢν καὶ στλεγγίδος, ἢ γραμματικὸς ἐπιπλήττων παιδὶ περὶ δέλτου καὶ γραφείου, κολοικίζοντος δὲ καὶ βαρβαρίζοντος οὐ

1, 192—193 H. 6, 218—220 R

6. ἴδιος ἔσται λόγος] P. 66 E

22. Intercidisse nonnulla significavi

Digitized by Google

δοκῶν ἀκούειν. τοιοῦτος γὰρ ὁ κόλαξ, οἷος ῥήτορος φαύλου καὶ καταγελάστου μηδὲν εἰπεῖν πρὸς τὸν λόγον, ἀλλὰ περὶ τῆς φωνῆς αἰτιᾶσθαι καὶ χαλεπῶς ἐγ- 60
καλεῖν ὅτι τὴν ἀρτηρίαν διαφθείρει ψυχροποτῶν, καὶ
5 σύγγραμμα κελευσθεὶς ἄθλιον διελθεῖν αἰτιᾶσθαι τὸ χαρτίον ὡς δασὺ καὶ τὸν γραφέα μιαρὸν καὶ ὀλίγωρον ἀποκαλεῖν. οὕτω δὲ καὶ Πτολεμαίῳ φιλομαθεῖν δοκοῦντι περὶ γλώττης καὶ στιχιδίου μαχόμενοι καὶ ἱστορίας μέχρι μεσῶν νυκτῶν ἀπέτεινον· ὠμότητι
10 δὲ χρωμένου καὶ ὕβρει καὶ ἀποτυμπανίζοντος καὶ στρεβλοῦντος οὐδεὶς ἐνέστη τῶν τοσούτων. ὥσπερ οὖν εἴ τις ἀνθρώπου φύματα καὶ σύριγγας ἔχοντος B
ἰατρικῷ σμιλίῳ τὰς τρίχας τέμνοι καὶ τοὺς ὄνυχας, οὕτως οἱ κόλακες τὴν παρρησίαν πρὸς τὰ μὴ λυπού-
15 μενα μέρη μηδ' ἁλγοῦντα προσφέρουσιν.

18. Ἔτι δὲ τούτων ἕτεροι πανουργότεροι καὶ πρὸς ἡδονὴν χρῶνται τῷ παρρησιάζεσθαι καὶ ψέγειν. καθάπερ Ἄγις ὁ Ἀργεῖος, Ἀλεξάνδρου γελωτοποιῷ τινι μεγάλας δωρεὰς διδόντος, ὑπὸ φθόνου καὶ λύπης
20 ἐξέκραγεν 'ὦ τῆς πολλῆς ἀτοπίας', ἐπιστρέψαντος δὲ τοῦ βασιλέως πρὸς αὐτὸν ὀργῇ καί 'τί δὴ σὺ λέγεις'; εἰπόντος 'ὁμολογῶ' φησίν 'ἄχθεσθαι καὶ ἀγανακτεῖν, ὁρῶν ὑμᾶς τοὺς ἐκ Διὸς γεγονότας ἅπαντας ὁμοίως κόλαξιν ἀνθρώποις καὶ καταγελάστοις χαίρον- C
25 τας. καὶ γὰρ Ἡρακλῆς Κέρκωψί τισι, καὶ Σειληνοῖς ὁ Διόνυσος ἐτέρπετο, καὶ παρὰ σοὶ τοιούτους ἰδεῖν ἔστιν εὐδοκιμοῦντας'. Τιβερίου δὲ Καίσαρος εἰς τὴν σύγκλητόν ποτε παρελθόντος εἷς τῶν κολάκων ἀναστὰς ἔφη δεῖν ἐλευθέρους ὄντας παρρησιάζεσθαι καὶ

1, 193—195 H. 6, 220—221 R.

10. ἀποτυμπανίζοντος*: τυμπανίζοντος 11. στρεβλοῦντος Gataker: τελοῦντος

Digitized by Google

μηδὲν ὑποστέλλεσθαι μηδ' ἀποσιωπᾶν τῶν συμφερόντων· ἀνατείνας δὲ πάντας οὕτως, γενομένης αὐτῷ σιωπῆς καὶ τοῦ Τιβερίου προσέχοντος, 'ἄκουσον' ἔφη 'Καῖσαρ ἃ σοι πάντες ἐγκαλοῦμεν, οὐδεὶς δὲ τολμᾷ φανερῶς λέγειν. ἀμελεῖς σεαυτοῦ καὶ προΐεσαι τὸ σῶμα καὶ κατατρύχεις ἀεὶ φροντίσι καὶ πόνοις ὑπὲρ
D ἡμῶν, οὔτε μεθ' ἡμέραν οὔτε νυκτὸς ἀναπαυόμενος'. πολλὰ δ' αὐτοῦ τοιαῦτα συνείροντος, εἰπεῖν φασι τὸν ῥήτορα Κάσσιον Σεβῆρον 'αὕτη τοῦτον ἡ παρρησία τὸν ἄνθρωπον ἀποκτενεῖ'.

19. Καὶ ταυτὶ μὲν ἐλάττονά ἐστιν. ἐκεῖνα δ' ἤδη χαλεπὰ καὶ λυμαινόμενα τοὺς ἀνοήτους, ὅταν εἰς τἀναντία πάθη καὶ νοσήματα κατηγορῶσιν (ὥσπερ Ἱμέριος ὁ κόλαξ τῶν πλουσίων τινὰ τὸν ἀνελευθερώτατον καὶ φιλαργυρώτατον Ἀθήνησιν ὡς ἄσωτον ἐλοι-
E δόρει καὶ ἀμελῆ καὶ πεινήσοντα κακῶς μετὰ τῶν τέκνων) ἢ τοὺς ἀσώτους αὖ πάλιν καὶ πολυτελεῖς εἰς μικρολογίαν καὶ ῥυπαρίαν ὀνειδίζωσιν (ὥσπερ Νέρωνα Τίτος Πετρώνιος) ἢ τοὺς ὠμῶς καὶ ἀγρίως προσφερομένους ἄρχοντας ὑπηκόοις ἀποθέσθαι κελεύωσι τὴν πολλὴν ἐπιείκειαν καὶ τὸν ἄκαιρον ἔλεον καὶ ἀσύμφορον. ὅμοιος δὲ τούτοις καὶ ὁ τὸν εὐήθη καὶ βλάκα καὶ ἀβέλτερον ὡς δεινόν τινα καὶ πανοῦργον καὶ φυλάττεσθαι καὶ δεδιέναι προσποιούμενος, καὶ ὁ τοῦ βασκάνου δὲ καὶ τῷ κακολογεῖν ἀεὶ καὶ ψέγειν χαί-
F ροντος, ἄν ποτε προαχθεὶς ἐπαινέσῃ τινὰ τῶν ἐνδόξων, καθαπτόμενος καὶ ἀντιλέγων ὡς νόσημα τοῦτο ἔχοντος, ἀνθρώπους ἐπαινεῖν μηδενὸς ἀξίους. 'τίς γὰρ οὗτός ἐστιν ἢ τί λαμπρὸν εἴρηκεν ἢ πεποίηκε'. μάλιστα δὲ περὶ τοὺς ἔρωτας τοῖς κολακευομένοις ἐπιτίθενται

1, 195—197 H. 6, 221—223 R.

14. τὸν*

Digitized by Google

καὶ προσεκκάουσιν. ἀδελφοῖς μὲν γὰρ ὁρῶντες διαφερομένους ἢ γονέων ὑπερφρονοῦντας ἢ πρὸς γυναῖκας αὑτῶν ὑπερόπτως ἔχοντας οὔτε νουθετοῦσιν οὔτ' ἐγκαλοῦσιν, ἀλλὰ καὶ προσεπιτείνουσι τὰς ὀργάς. 'οὐ γὰρ αἰσθάνῃ σαυτοῦ' καὶ 'σὺ τούτων αἴτιος, ἀεὶ θεραπευτικῶς προσφερόμενος καὶ ταπεινῶς'. ἂν δὲ πρὸς ἑταίραν ἢ μοιχεύτριαν ἐρωμένην κνησμός τις ἐξ 61
ὀργῆς καὶ ζηλοτυπίας ἐγγένηται, πάρεστιν εὐθὺς μετὰ παρρησίας λαμπρᾶς ἡ κολακεία, πῦρ ἐπὶ πῦρ εἰσφέρουσα καὶ δικαιολογουμένη καὶ κατηγοροῦσα τοῦ ἐρῶντος ὡς ἀνέραστα πολλὰ καὶ σκληρὰ καὶ νεμεσητὰ ποιοῦντος.

'ὦ δυσχάριστε, τῶν πυκνῶν φιλημάτων.'

οὕτως Ἀντώνιον οἱ φίλοι τῆς Αἰγυπτίας ἐρῶντα καὶ καόμενον ἀνέπειθον ὡς ὑπ' ἐκείνης ἐρῷτο, καὶ λοιδοροῦντες ἐκάλουν ἀπαθῆ καὶ ὑπερήφανον. 'ἡ μὲν γὰρ γυνὴ καταλιποῦσα βασιλείαν τοσαύτην καὶ διατριβὰς εὐδαίμονας φθείρεται μετὰ σοῦ στρατευομένη, Β
σχῆμα παλλακίδος ἔχουσα·

'σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστί'

καὶ περιορᾷς αὐτὴν ἀνιωμένην.' ὁ δ' ἡδέως ἐλεγχόμενος ὡς ἀδικῶν καὶ τοῖς κατηγοροῦσι χαίρων ὡς οὐδὲ τοῖς ἐπαινοῦσιν ἐλάνθανε τῷ νουθετεῖν δοκοῦντι προσδιαστρεφόμενος. ἔοικε γὰρ ἡ τοιαύτη παρρησία τοῖς τῶν ἀκολάστων δήγμασι γυναικῶν, ἐγείρουσα καὶ γαργαλίζουσα τῷ δοκοῦντι λυπεῖν τὸ ἡδόμενον. καὶ καθάπερ τὸν ἄκρατον ἄλλως βοηθοῦντα πρὸς τὸ κώνειον ἂν ἐμμίξωσι προσεμβαλόντες αὐτῷ, κομιδῇ ποιοῦσι τὴν τοῦ φαρμάκου δύναμιν ἀβοήθητον, ὀξέως C

1, 197—198 H. 6, 223—223 B.

3. ὑπερόπτως W: ὑπεροπτικῶς 13. Nauck. p. 32
20. Homer. κ 329

Digitized by Google

ἀναφερομένην ἐπὶ τὴν καρδίαν ὑπὸ θερμότητος, οὕτω τὴν παρρησίαν ἐπιστάμενοι μέγα βοήθημα πρὸς τὴν κολακείαν οὖσαν οἱ πονηροὶ δι' αὐτῆς κολακεύουσι τῆς παρρησίας. ὅθεν οὐδ' ὁ Βίας ἀπεκρίνατο καλῶς τῷ πυθομένῳ τί τῶν ζώων χαλεπώτατόν ἐστιν, ἀποκρινάμενος ὅτι τῶν μὲν ἀγρίων ὁ τύραννος, τῶν δ' ἡμέρων ὁ κόλαξ. ἀληθέστερον γὰρ ἦν εἰπεῖν ὅτι τῶν κολάκων ἥμεροι μέν εἰσιν οἱ περὶ τὸ βαλανεῖον καὶ
D περὶ τὴν τράπεζαν, ὁ δ' εἰς τὰ δωμάτια καὶ τὴν γυναικωνῖτιν ἐκτείνων ὥσπερ πλεκτάνας τὸ πολυπρᾶγμον καὶ διάβολον καὶ κακόηθες ἄγριος καὶ θηριώδης καὶ δυσμεταχείριστος.

20. Εἰς δέ τις ἔοικε τρόπος εἶναι φυλακῆς τὸ γιγνώσκειν καὶ μνημονεύειν ἀεὶ ὅτι τῆς ψυχῆς τὸ μὲν ἀληθινὸν καὶ φιλόκαλον καὶ λογικὸν ἐχούσης, τὸ δ' ἄλογον καὶ φιλοψευδὲς καὶ παθητικόν, ὁ μὲν φίλος ἀεὶ τῷ κρείττονι πάρεστι σύμβουλος καὶ συνήγορος, ὥσπερ ἰατρὸς τὸ ὑγιαῖνον αὔξων καὶ διαφυλάττων, ὁ δὲ κόλαξ τῷ παθητικῷ καὶ ἀλόγῳ παρακά-
E θηται, καὶ τοῦτο κνᾷ καὶ γαργαλίζει καὶ ἀναπείθει καὶ ἀφίστησι τοῦ λογισμοῦ, μηχανώμενος αὐτῷ πονηρὰς ἡδυπαθείας. ὥσπερ οὖν τῶν σιτίων ἔστιν ἃ μήθ' αἵματι προσφύεται μήτε πνεύματι, μηδὲ νεύροις τινὰ τόνον ἢ μυελοῖς προστίθησιν, ἀλλ' αἰδοῖα παρακινεῖ καὶ κοιλίαν ἐγείρει καὶ σάρκα ποιεῖ καθαρὰν καὶ ὕπουλον, οὕτως ὁ τοῦ κόλακος λόγος οὐδὲν τῷ φρονοῦντι καὶ λογιζομένῳ προστίθησιν, ἀλλ' ἡδονήν τινα τιθασεύων ἔρωτος ἢ θυμὸν ἐντείνων ἀνόητον ἢ διερεθίζων φθόνον ἢ φρονήματος ὄγκον ἐμποιῶν ἐπαχθῆ καὶ κενὸν ἢ λύπῃ συνεπιθρηνῶν ἢ τὸ κακόηθες καὶ

1, 198—199 H. 6, 225—226 R.

23. μηδὲ*: μήτε

Digitized by Google

ἀνελεύθερον καὶ ἄπιστον ἀεί τινι διαβολαῖς καὶ προ- F
αισθήσεσι δριμὺ καὶ ψοφοδεὲς ποιῶν καὶ ὕποπτον οὐ
διαφεύξεται τοὺς προσέχοντας. ἀεὶ γὰρ ὑφορμεῖ τινι
πάθει καὶ τοῦτο πιαίνει, καὶ πάρεστι βουβῶνος δίκην
ἑκάστοτε τοῖς ὑπούλοις καὶ φλεγμαίνουσι τῆς ψυχῆς
ἐπιγιγνόμενος. 'ὀργίζῃ; κόλασον. ἐπιθυμεῖς; ὤνησαι. φοβῇ; φύγωμεν. ὑπονοεῖς; πίστευσον.' ἂν δὲ
περὶ ταῦτα δυσφώρατος ᾖ τὰ πάθη, διὰ σφοδρότητα
καὶ μέγεθος ἐκκρουομένου τοῦ λογισμοῦ, περὶ τὰ μι-
κρὰ λαβὴν παρέξει μᾶλλον, ὅμοιος ὤν. καὶ γὰρ ἐν 62
ὑποψίᾳ κραιπάλης τινὸς ἢ πλησμονῆς γενόμενον καὶ
διστάζοντα περὶ λουτροῦ καὶ τροφῆς ὁ μὲν φίλος
ἐφέξει, φυλάττεσθαι καὶ προσέχειν παραινῶν, ὁ δὲ
κόλαξ εἰς τὸ βαλανεῖον ἕλξει, καὶ κελεύσει νεαρόν τι
παρατιθέναι καὶ μὴ κακοῦν ἀνατάσει τὸ σῶμα. καὶ
πρὸς ὁδὸν ἢ πλοῦν ἤ τινα πρᾶξιν ὁρῶν ἀπομαλακιζόμενον οὐ φήσει κατεπείγειν τὸν καιρόν, ἀλλὰ ταὐτὸ
ποιήσειν ὑπερθεμένους ἢ πέμψαντας ἕτερον. ἂν δ'
ὑπεσχημένος ἀργύριον οἰκείῳ τινὶ δανείσειν ἢ ἐπιδώ-
σειν μεταμέληται μὲν αἰδῆται δέ, τῇ χείρονι ῥοπῇ B
προστιθεὶς ἑαυτὸν ὁ κόλαξ ἐπέρρωσε τὴν εἰς τὸ βαλάντιον γνώμην καὶ τὸ δυσωπούμενον ἐξέκοψεν, ὡς
ἀναλίσκοντα πολλὰ καὶ πολλοῖς ἀρκεῖν ὀφείλοντα
φείδεσθαι κελεύων. ὅθεν εἰ μὴ λανθάνομεν ἑαυτοὺς
ἐπιθυμοῦντες ἀναισχυντοῦντες ἀποδειλιῶντες, οὐ
λήσεται ἡμᾶς ὁ κόλαξ. ἔστι γὰρ ὁ συνηγορῶν ἀεὶ
τούτοις τοῖς πάθεσι καὶ περὶ τὰς τούτων ἐκβάσεις
παρρησιαζόμενος. ταῦτα μὲν οὖν ἱκανὰ περὶ τούτων.

21. Ἐπὶ δὲ τὰς χρείας καὶ τὰς ὑπουργίας ἴωμεν

1, 199—201 H. 6, 226—228 K.

1. προσθέσεσι Emperius 14. ἕλξει — κελεύσει*: ἕλκει — κελεύει 28. ἐκβάσεις] ἐνστάσεις W

Digitized by Google

ἤδη· καὶ γὰρ ἐν ταύταις πολλὴν ἀπεργάζεται σύγχυσιν
C καὶ ἀσάφειαν ὁ κόλαξ τῆς πρὸς τὸν φίλον διαφορᾶς, ἄοκνος δοκῶν εἶναι καὶ πρόθυμος ἐν πᾶσι καὶ ἀπροφάσιστος. ὁ μὲν γὰρ τοῦ φίλου τρόπος ὥσπερ ὁ τῆς ἀληθείας μῦθος ἁπλοῦς ἐστι κατ' Εὐριπίδην καὶ ἀφελὴς καὶ ἄπλαστος, ὁ δὲ τοῦ κόλακος ὄντως

'νοσῶν ἐν αὐτῷ φαρμάκων δεῖται σοφῶν'

καὶ πολλῶν νὴ Δία καὶ περιττῶν. ὥσπερ οὖν ἐν ταῖς ἀπαντήσεσιν ὁ μὲν φίλος ἔστιν ὅτε μήτ' εἰπὼν μήτ' ἀκούσας μηδὲν ἀλλὰ προσβλέψας καὶ μειδιάσας τὸ εὐμενὲς καὶ τὸ οἰκεῖον ἔνδοθεν δοὺς ταῖς ὄψεσι καὶ
D δεξάμενος παρῆλθεν, ὁ δὲ κόλαξ τρέχει καταδιώκει δεξιοῦται πόρρωθεν, κἂν προσαγορευθῇ πρότερον ὀφθείς, ἀπολογεῖται μετὰ μαρτύρων καὶ ὅρκων πολλάκις, οὕτως ἐν ταῖς πράξεσι πολλὰ παραλείπουσιν οἱ φίλοι τῶν μικρῶν, οὐκ ἐξακριβοῦντες οὐδὲ πολυπραγμονοῦντες οὐδέν, οὐδ' ἑαυτοὺς εἰς πᾶσαν ὑπουργίαν ἐμβάλλοντες. ἀλλ' ἐκεῖνος ἐνταῦθα συνεχὴς καὶ ἐνδελεχὴς καὶ ἄτρυτος, οὐ διδοὺς ἑτέρῳ τόπον οὐδὲ χώραν διακονίας, ἀλλὰ βουλόμενος κελεύεσθαι, κἂν μὴ κελευσθῇ, δακνόμενος, μᾶλλον δ' ὅλως ἐξαθυμῶν καὶ ποτνιώμενος.

22. Ἔστι μὲν οὖν καὶ ταῦτα δηλώματα τοῖς νοῦν
E ἔχουσιν οὐκ ἀληθινῆς φιλίας οὐδὲ σώφρονος ἀλλ' ἑταιρούσης καὶ περιπλεκομένης θερμότερον τοῦ δέοντος. οὐ μὴν ἀλλὰ δεῖ πρῶτον ἐν ταῖς ἐπαγγελίαις σκοπεῖν τὴν διαφοράν. εὖ γὰρ εἴρηται καὶ τοῖς πρὸ ἡμῶν φίλου μὲν ἐκείνην εἶναι τὴν ἐπαγγελίαν

1, 201—202 H. 6, 228—230 R.

5. Εὐριπίδην] Phoen. 472 13. κἂν*: ἂν 25. τοῦ δέοντος Meziriacus: τῶν δεομένων

Digitized by Google

'εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστί',
κόλακος δὲ ταύτην
'αὔδα ὅ τι φρονέεις'.
καὶ γὰρ οἱ κωμικοὶ τοιούτους εἰσάγουσιν
ἐμέ, Νικόμαχε, πρὸς τὸν στρατιώτην τάξατε,
ἂν μὴ ποιήσω πέπονα μαστιγῶν ὅλον,
ἂν μὴ ποιήσω σπογγιᾶς μαλακώτερον
τὸ πρόσωπον.
ἔπειτα τῶν μὲν φίλων οὐδεὶς γίγνεται συνεργός, εἰ F
μὴ γεγένηται σύμβουλος πρότερον, ἀλλ' ὅταν δοκιμάσῃ καὶ συγκατασκήσῃ τὴν πρᾶξιν εἰς τὸ πρέπον ἢ τὸ συμφέρον· ὁ δὲ κόλαξ, κἂν ἀποδῷ τις αὐτῷ τὸ συνδοκιμάσαι καὶ συναποφήνασθαι περὶ τοῦ πράγματος, οὐ μόνον ὑπείκειν καὶ χαρίζεσθαι βουλόμενος, ἀλλὰ καὶ δεδιὼς ὑποψίαν ὀκνοῦντος παρέχειν καὶ φεύγοντος τὸ ἔργον, ἐνδίδωσι καὶ συνεξορμᾷ τὴν ἐπιθυμίαν. οὐδεὶς γάρ ἐστι ῥᾳδίως πλούσιος οὐδὲ βασιλεὺς οἷος εἰπεῖν
'ἐμοὶ γὰρ εἴη πτωχός, εἰ δὲ βούλεται, 63
πτωχοῦ κακίων, ὅστις ὢν εὔνους ἐμοί
φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ',
ἀλλ' ὥσπερ οἱ τραγῳδοὶ χοροῦ δέονται φίλων συνᾳδόντων ἢ θεάτρου συνεπικροτοῦντος. ὅθεν ἡ μὲν τραγικὴ Μερόπη παραινεῖ
'φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
κέκτησο, τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
τῇ σῇ πονηροὺς κλῆθρον εἰργέτω στέγης',

1. 202—203 H. 6, 230—231 R.

1. Homer. Ξ 196. C 427. ε 90 3. Id. Ξ 195. C 426. ε 89
5. Meinek. IV. p. 669 10. γεγένηται Pflugkius: γένηται
16. τὴν ἐπιθυμίαν idem: τῇ ἐπιθυμίᾳ 19. Nauck. p. 386
29. Id. p. 373

Digitized by Google

οἳ δὲ τοὐναντίον δρῶσι), τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις ἀλλ' ἀντιβαίνοντας ὑπὲρ τοῦ συμφέροντος ἀφοσιοῦνται, τοὺς δὲ πρὸς χάριν πονηροὺς καὶ ἀνελευθέρους καὶ γόητας οὐ μόνον κλήθρων καὶ στέγης ἐντὸς ἀλλὰ καὶ παθῶν καὶ πραγμάτων ἀπορρήτων λαμβάνουσιν. ὧν ὁ μὲν ἁπλούστερος οὐκ οἴεται δεῖν οὐδ' ἀξιοῖ σύμβουλος εἶναι πραγμάτων τηλικούτων ἀλλ' ὑπουργὸς καὶ διάκονος, ὁ δὲ πανουργότερος ἔστη μὲν ἐν τῷ συνδιαπορεῖν καὶ τὰς ὀφρῦς συνάγειν καὶ συνδιανεύειν τῷ προσώπῳ, λέγει δ' οὐδέν· ἂν δ' ἐκεῖνος εἴπῃ τὸ φαινόμενον, 'ὦ Ἡράκλεις, ἔφθης με' φησί 'μικρὸν εἰπών, ἐγὼ γὰρ αὐτὸ τοῦτο λέγειν ἔμελλον'. ὡς γὰρ οἱ μαθηματικοὶ τὰς ἐπιφανείας καὶ τὰς γραμμὰς λέγουσι μήτε κάμπτεσθαι μήτε διατείνεσθαι μήτε κινεῖσθαι καθ' ἑαυτάς, νοητὰς καὶ ἄσωμάτους οὔσας, συγκάμπτεσθαι δὲ καὶ συνδιατείνεσθαι καὶ συμμεθίστασθαι τοῖς σώμασιν ὧν πέρατά εἰσιν, οὕτω τὸν κόλακα φωράσεις ἀεὶ συνεπιφάσκοντα καὶ συναποφαινόμενον καὶ συνηδόμενον νὴ Δία καὶ συνοργιζόμενον, ὥστε παντελῶς ἔν γε τούτοις εὐφώρατον εἶναι τὴν διαφοράν. ἔτι δὲ μᾶλλον ἐν τῷ τρόπῳ τῆς ὑπουργίας. ἡ μὲν γὰρ παρὰ τοῦ φίλου χάρις ὥσπερ ζῷον ἐν βάθει τὰς κυριωτάτας ἔχει δυνάμεις, ἐπιδεικτικὸν δὲ καὶ πανηγυρικὸν οὐδὲν ἔπεστιν ἀλλὰ πολλάκις, ὥσπερ ἰατρὸς λαθὼν ἐθεράπευσε, καὶ φίλος ὠφέλησεν ἐντυχὼν ἢ διαλυσάμενος, ἀγνοοῦντος ἐπιμεληθείς. τοιοῦτος Ἀρκεσίλαος περί τε τἄλλα καὶ νοσοῦντος Ἀπελλοῦ τοῦ Χίου τὴν πενίαν καταμαθὼν ἐπανῆλθεν αὖθις ἔχων εἴκοσι δραχμάς, καὶ καθίσας πλησίον 'ἐνταῦθα μέν' εἶπεν 'οὐδὲν ἢ τὰ Ἐμπεδοκλέους στοιχεῖα ταυτί

1, 203—204 H. 6, 231—233 R.

Digitized by Google

'πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθέρος ἤπιον
ὕψος'.

ἀλλ' οὐδὲ κατάκεισαι σὺ δεξιῶς', ἅμα δὲ διακινῶν τὸ προσκεφάλαιον αὐτοῦ, λαθὼν ὑπέβαλε τὸ κερμάτιον. ὡς οὖν ἡ διακονοῦσα πρεσβῦτις εὗρε καὶ θαυμάσασα E τῷ Ἀπελλῇ προσήγγειλε, γελάσας ἐκεῖνος 'Ἀρκεσιλάου' εἶπε 'τοῦτο τὸ κλέμμα'. καὶ μὴν ἐοικότα γε τέκνα φύεται γονεῦσιν ἐν φιλοσοφίᾳ. Λακύδης γοῦν ὁ Ἀρκεσιλάου γνώριμος ἀπ' εἰσαγγελίας φεύγοντι δίκην Κηφισοκράτει μετὰ τῶν ἄλλων φίλων παρειστήκει. τοῦ δὲ κατηγόρου τὸν δακτύλιον αἰτήσαντος, ὃ μὲν ἡσυχῇ παρακαθῆκεν, αἰσθόμενος δ' ὁ Λακύδης ἐπέβη τῷ ποδὶ καὶ ἐπέκρυψεν· ἦν γὰρ ὁ ἔλεγχος ἐν ἐκείνῳ. μετὰ δὲ τὴν ἀπόφασιν τοῦ Κηφισοκράτους δεξιουμένου τοὺς δικαστὰς εἴς τις ὡς ἔοικεν ἑορακὼς F τὸ γενόμενον ἐκέλευσε Λακύδῃ χάριν ἔχειν καὶ τὸ πρᾶγμα διηγήσατο, τοῦ Λακύδου πρὸς μηδένα φράσαντος. οὕτως οἶμαι καὶ τοὺς θεοὺς εὐεργετεῖν τὰ πολλὰ λανθάνοντας, αὐτῷ τῷ χαρίζεσθαι καὶ εὖ ποιεῖν φύσιν ἔχοντας ἥδεσθαι. τὸ δὲ τοῦ κόλακος ἔργον οὐδὲν ἔχει δίκαιον οὐδ' ἀληθινὸν οὐδ' ἁπλοῦν οὐδ' ἐλευθέριον, ἀλλ' ἰδρῶτα καὶ κραυγὴν καὶ διαδρομὴν καὶ σύνταξιν προσώπου ποιοῦσαν ἔμφασιν καὶ δόκησιν ἐπιπόνου χρείας καὶ κατεσπευσμένης, ὥσπερ ζωγρά- 64
φημα περίεργον ἀναιδέσι φαρμάκοις καὶ κεκλασμέναις στολίσι καὶ ῥυτίσι καὶ γωνίαις ἐναργείας φαντασίαν ἐπαγόμενον. ἔστι δὲ καὶ διηγούμενος ἐπαχθὴς ὡς ἔπραξε πλάνας τινὰς ἐπ' αὐτῷ καὶ φροντίδας, εἶτα ἀπεχθείας πρὸς ἑτέρους εἶτα πράγματα μυρία καὶ μεγάλα πάθη διεξιών, ὥστ' εἰπεῖν οὐκ ἄξια ταῦτα ἐκείνων· πᾶσα μὲν γὰρ ὀνειδιζομένη χάρις ἐπαχθὴς

1, 205—206 H. 6, 233—235 R.

Digitized by Google

καὶ ἄχαρις καὶ οὐκ ἀνεκτή, ταῖς δὲ τῶν κολάκων οὐχ ὕστερον ἀλλὰ πραττομέναις ἔνεστιν εὐθὺς τὸ ἐπονείδιστον καὶ δυσωποῦν. ὁ δὲ φίλος, ἂν εἰπεῖν δεήσῃ τὸ πρᾶγμα, μετρίως ἀπήγγειλε, περὶ αὑτοῦ δ' εἶπεν οὐδέν. ἦ δὴ καὶ Λακεδαιμόνιοι Σμυρναίοις δεομένοις σῖτον πέμψαντες, ὡς ἐθαύμαζον ἐκεῖνοι τὴν χάριν, 'οὐδέν' ἔφασαν 'μέγα· μίαν γὰρ ἡμέραν ψηφισάμενοι τὸ ἄριστον ἀφελεῖν ἑαυτῶν καὶ τῶν ὑποζυγίων ταῦτα ἠθροίσαμεν'. οὐ γὰρ μόνον ἐλευθέριος ἡ τοιαύτη χάρις, ἀλλὰ καὶ τοῖς λαμβάνουσιν ἡδίων, ὅτι τοὺς ὠφελοῦντας οὐ μεγάλα βλάπτεσθαι νομίζουσιν.

23. Οὐ τοίνυν μάλιστα τῷ περὶ τὰς ὑπουργίας ἐπαχθεῖ τοῦ κόλακος οὐδὲ τῇ περὶ τὰς ἐπαγγελίας εὐχερείᾳ γνοίη τις ἂν τὴν φύσιν, ἀλλὰ μᾶλλον ἐν τῷ καλῷ τῆς χρείας ἢ αἰσχρῷ καὶ διαφέροντι πρὸς ἡδονὴν ἢ ὠφέλειαν. ὁ μὲν γὰρ φίλος οὐχ, ὥσπερ ἀπεφαίνετο Γοργίας, αὐτῷ μὲν ἀξιώσει τὰ δίκαια τὸν φίλον ὑπουργεῖν, ἐκείνῳ δ' αὐτὸς ὑπηρετήσει πολλὰ καὶ τῶν μὴ δικαίων·

'συσσωφρονεῖν γάρ, οὐχὶ συννοσεῖν ἔφυ.'

μᾶλλον οὖν κἀκεῖνον ἀποτρέψει τῶν μὴ προσηκόντων· ἂν δὲ μὴ πείθῃ, καλὸν τὸ Φωκίωνος πρὸς Ἀντίπατρον 'οὐ δύναταί μοι καὶ φίλῳ χρῆσθαι καὶ κόλακι', τοῦτ' ἔστι καὶ φίλῳ καὶ μὴ φίλῳ. συνεργεῖν γὰρ δεῖ τῷ φίλῳ, μὴ συμπανουργεῖν, καὶ συμβουλεύειν, μὴ συνεπιβουλεύειν, καὶ συμμαρτυρεῖν, μὴ συνεξαπατᾶν, καὶ συνατυχεῖν νὴ Δία, μὴ συναδικεῖν. οὐδὲ γὰρ τὸ συνειδέναι τοῖς φίλοις τὰ αἰσχρά, πόθεν γε δὴ τὸ συμπράττειν καὶ συνασχημονεῖν αἱρετόν ἐστιν; ὥσπερ οὖν Λακεδαιμόνιοι μάχῃ κρατηθέντες ὑπ' Ἀντιπάτρου καὶ ποιούμενοι διαλύσεις

1, 206—208 H. 6, 235—237 R.

3. ἂν*: κἂν 20. Eurip. Iph. A. 407

Digitized by Google

ἠξίουν ὅ τι βούλεται ζημιῶδες, αἰσχρὸν δὲ μηδὲν ἐπιτάττειν αὐτοῖς, οὕτως ὁ φίλος, ἄν τις ἢ δαπάνην ἢ κίνδυνον ἢ πόνον ἔχουσα χρεία καταλαμβάνῃ, πρῶτος ἀξιοῖ καλεῖσθαι καὶ μετέχειν ἀπροφασίστως καὶ προθύμως, ὅπου δὲ πρόσεστιν αἰσχύνη, μόνον ἐᾶν καὶ φείδεσθαι παραιτεῖται. ἀλλ' ἥ γε κολακεία τοὐναντίον ἐν μὲν ταῖς ἐπιπόνοις καὶ κινδυνώδεσιν ὑπουργίαις ἀπαγορεύει, κἂν διαπειρώμενος κρούσῃς, σαθρὸν ἔκ τινος προφάσεως ὑπηχεῖ καὶ ἀγεννές· ἐν δὲ ταῖς αἰσχραῖς καὶ ταπειναῖς καὶ ἀδόξοις διακονίαις ἀπόχρησαι πάτησον, οὐδὲν ἡγεῖται δεινὸν οὐδ' ὑβριστικόν. ὁρᾷς τὸν πίθηκον; οὐ δύναται τὴν οἰκίαν φυλάττειν ὡς ὁ κύων, οὐδὲ βαστάζειν ὡς ὁ ἵππος, οὐδ' ἀροῦν τὴν γῆν ὡς οἱ βόες· ὕβριν οὖν φέρει καὶ βωμολοχίαν καὶ παιδιᾶς ἀνέχεται, γέλωτος ὄργανον ἐμπαρέχων ἑαυτόν. οὕτω δὴ καὶ ὁ κόλαξ οὐ συνειπεῖν οὐ συνεισενεγκεῖν οὐ συναγωνίσασθαι δυνάμενος, πόνου τε καὶ σπουδῆς ἁπάσης ἀπολειπόμενος, ἐν ταῖς ὑπὸ μάλης πράξεσιν ἀπροφάσιστός ἐστι, καὶ πιστὸς ἔρωτος ὑπηρέτης καὶ περὶ λύσιν πόρνης ἀκριβὴς καὶ πότου δαπάνης ἐκκαθῆραι λογισμὸν οὐκ ἀμελής, οὐδὲ ῥᾴθυμος ἐν δείπνων παρασκευαῖς, θεραπευτικὸς δὲ παλλακίδων, πρὸς δὲ κηδεστὰς ἀποθραύνεσθαι κελευσθεὶς καὶ συνεκβαλεῖν γαμετὴν ἄτεγκτος καὶ ἀδυσώπητος. ὥστε μηδὲ ταύτῃ δυσφώρατον εἶναι τὸν ἄνδρα· προσταττόμενος γὰρ ὅ τι βούλει τῶν ἀδόξων καὶ μὴ καλῶν ἕτοιμος ἀφειδεῖν ἑαυτοῦ, τῷ προστάττοντι χαριζόμενος.

24. Οὐχ ἥκιστα δ' ἄν τις αὐτὸν ἐν τῇ πρὸς τοὺς ἄλλους φίλους διαθέσει καταμάθοι πολὺ τοῦ φίλου

1, 208—209 H. 6, 237—239 R.

4. ἀξιοῖ — παραιτεῖται*: ἀξιῶν — παραιτεῖσθαι

Digitized by Google

διαφέροντα. τῷ μὲν γὰρ ἥδιστόν ἐστι μετὰ πολλῶν φιλεῖν καὶ φιλεῖσθαι, καὶ τοῦτο πράττων ἀεὶ διατελεῖ περὶ τὸν φίλον ὅπως πολύφιλος καὶ πολυτίμητος ἔσται· κοινὰ γὰρ τὰ φίλων ἡγούμενος οὐδὲν οὕτως οἴεται δεῖν κοινὸν ὡς τοὺς φίλους ὑπάρχειν· ὁ δὲ ψευδὴς καὶ νόθος καὶ ὑπόχαλκος ὤν, ἅτε δὴ μάλιστα γιγνώσκων ἑαυτὸν ἀδικοῦντα τὴν φιλίαν ὥσπερ νόμισμα παράσημον ὑπ' αὐτοῦ γενομένην, ἔστι μὲν καὶ φύσει φθονερός, ἀλλὰ τῷ φθόνῳ χρῆται πρὸς τοὺς ὁμοίους, διαμιλλώμενος ὑπερβαλέσθαι βωμολοχίᾳ καὶ σπερμολογίᾳ, τὸν δὲ κρείττονα τρέμει καὶ δέδοικεν, οὐ μὰ Δία 'παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνεύων', ἀλλὰ 'παρὰ χρυσὸν ἐφθόν', ὡς φησι Σιμωνίδης, 'ἀκήρατον οὐδὲ μόλυβδον ἔχων'. ὅταν οὖν ἐλαφρὸς ὢν καὶ ἐπίτηκτος καὶ ἀπατηλὸς ἐγγύθεν ἀντεξετάζηται πρὸς ἀληθινὴν καὶ ἐμβριθῆ φιλίαν καὶ σφυρήλατον, οὐκ ἀναφέρων ἀλλ' ἐξελεγχόμενος ταὐτὸ παιεῖ τῷ ζωγραφήσαντι τοὺς ἀλεκτρυόνας ἀθλίως. ἐκεῖνός τε γὰρ ἐκέλευε τὸν παῖδα τοὺς ἀληθινοὺς ἀλεκτρυόνας ἀποσοβεῖν ἀπωτάτω τοῦ πίνακος, οὗτός τε τοὺς ἀληθινοὺς ἀποσοβεῖ φίλους καὶ οὐκ ἐᾷ πληθύζειν· ἂν δὲ μὴ δύνηται, φανερῶς μὲν ὑποσαίνει καὶ περιέπει καὶ τέθηπεν ὡς ἀμείνονας, λάθρᾳ δ' ὑφίησί τινας καὶ ὑποσπείρει διαβολάς. κρυφίου δὲ λόγου κνήσαντος ἕλκος, κἂν μὴ παντελῶς εὐθὺς ἐργάσηται, τὸ τοῦ Μηδίου φυλάττει μεμνημένος. ἦν δ' ὁ Μήδιος τοῦ περὶ τὸν Ἀλέξανδρον χοροῦ τῶν κολάκων οἷον ἔξαρχος καὶ σοφιστὴς κορυφαῖος ἐπὶ τοὺς ἀρίστους συντεταγμένος. ἐκέλευσεν οὖν θαρροῦντας ἅπτεσθαι καὶ δάκνειν ταῖς δια-

1, 209—211 H. 6, 239—240 R.

12. Bergk. Pind. fr. 190 (222) 13. Σιμωνίδης] Id. p. 1140[3] 15. ἐπίτηκτος Iacobsius: ἐπίκτητος

Digitized by Google

βολαῖς, διδάσκων ὅτι, κἂν θεραπεύσῃ τὸ ἕλκος ὁ δεδηγμένος, ἡ οὐλὴ μενεῖ τῆς διαβολῆς. ταύταις μέντοι ταῖς οὐλαῖς, μᾶλλον δὲ γαγγραίναις καὶ καρκινώμασι διαβρωθεὶς Ἀλέξανδρος ἀπώλεσε καὶ Καλλισθένη καὶ Παρμενίωνα καὶ Φιλώταν· Ἄγνωσι δὲ καὶ Βαγώαις καὶ Ἀγησίαις καὶ Δημητρίοις ἀφειδῶς ἐνέδωκεν ἑαυτὸν ὑποσκελίζεσθαι, προσκυνούμενον καὶ καταστολιζόμενον καὶ ἀναπλαττόμενον ὑπ' αὐτῶν ὥσπερ ἄγαλμα βαρβαρικόν. οὕτω μεγάλην ἔχει τὸ πρὸς E
χάριν δύναμιν, καὶ μεγίστην ὡς ἔοικεν ἐν τοῖς μεγίστοις εἶναι δοκοῦσι· τὸ γὰρ οἴεσθαι τὰ κάλλιστα μετὰ τοῦ βούλεσθαι πίστιν ἅμα τῷ κόλακι καὶ θάρσος δίδωσι. τῶν μὲν γὰρ τόπων τὰ ὑψηλὰ δυσπρόσοδα καὶ δυσέφικτα γίγνεται τοῖς ἐπιβουλεύουσι, τὸ δ' ἐν ψυχῇ νοῦν οὐκ ἐχούσῃ δι' εὐτυχίαν ἢ δι' εὐφυΐαν ὕψος καὶ φρόνημα τοῖς μικροῖς καὶ ταπεινοῖς μάλιστα βάσιμόν ἐστιν.

25. Ὅθεν ἀρχόμενοί τε τοῦ λόγου παρεκελευσάμεθα καὶ νῦν παρακελευόμεθα τὸ φίλαυτον ἐκκόπτειν ἑαυτῶν καὶ τὴν οἴησιν· αὕτη γὰρ ἡμᾶς προκολακεύ- F
ουσα μαλακωτέρους ποιεῖ τοῖς θυραίοις κόλαξιν, ὡς ἑτοίμους ὄντας. ἂν δὲ πειθόμενοι τῷ θεῷ καὶ τὸ 'γνῶθι σαυτὸν' ὡς ἑκάστῳ τοῦ παντὸς ἄξιόν ἐστι μαθόντες ἅμα καὶ φύσιν καὶ τροφὴν καὶ παίδευσιν ἑαυτῶν ἀναθεωρῶμεν ἐλλείμματα μυρία τοῦ καλοῦ καὶ πολὺ τὸ φαύλως καὶ εἰκῇ συμμεμιγμένον ἔχουσαν ἐν πράξεσιν ἐν λόγοις ἐν πάθεσιν, οὐ πάνυ ῥᾳδίως ἐμπεριπατεῖν τοῖς κόλαξιν ἑαυτοὺς παρέξομεν. Ἀλέξανδρος μὲν γὰρ ἀπιστεῖν ἔφη τοῖς θεὸν αὐτὸν ἀναγο-

1, 211—212 H. 6, 240—242 R.

6. Ἀγησίαις] Ἄγισι W
15. ἢ δι' εὐφυΐαν] Delet W

Digitized by Google

ρεύουσιν ἐν τῷ καθεύδειν μάλιστα καὶ ἀφροδισιάζειν,
ὡς ἀγεννέστερος περὶ ταῦτα καὶ παθητικώτερος αὐτοῦ
66 γιγνόμενος· ἡμεῖς δὲ πολλὰ πολλαχοῦ τῶν ἰδίων
αἰσχρὰ καὶ λυπηρὰ καὶ ἀτελῆ καὶ ἡμαρτημένα καθο-
ρῶντες ἀεὶ φωράσομεν ἑαυτοὺς οὐκ ἐπαινοῦντος φίλου
καὶ κατευλογοῦντος δεομένους, ἀλλ' ἐλέγχοντος καὶ
παρρησιαζομένου καὶ ψέγοντος ἡμᾶς νὴ Δία κακῶς
πράττοντας. ὀλίγοι μὲν γὰρ ἐκ πολλῶν εἰσιν οἱ παρ-
ρησιάζεσθαι μᾶλλον ἢ χαρίζεσθαι τοῖς φίλοις τολμῶν-
τες· ἐν δὲ τοῖς ὀλίγοις αὖθις οὐ ῥᾳδίως ἂν εὕροις
ἐπισταμένους τοῦτο ποιεῖν, ἀλλ' οἰομένους, ἂν λοιδο-
ρῶσι καὶ ψέγωσι, παρρησίᾳ χρῆσθαι. καίτοι καθάπερ
Β ἄλλῳ τινὶ φαρμάκῳ, καὶ τῷ παρρησιάζεσθαι μὴ τυ-
χόντι καιροῦ τὸ λυπεῖν ἀχρήστως καὶ ταράττειν πε-
ρίεστι καὶ ποιεῖν τρόπον τινὰ μετ' ἀλγηδόνος ὃ ποιεῖ
μεθ' ἡδονῆς τὸ κολακεύειν. βλάπτονται γὰρ οὐκ
ἐπαινούμενοι μόνον ἀκαίρως ἀλλὰ καὶ ψεγόμενοι· καὶ
τοῦτο μάλιστα τοῖς κόλαξιν εὐλήπτους καὶ πλαγίους
παραδίδωσιν, ἀπὸ τῶν σφόδρα προσαντῶν καὶ ἀντι-
τύπων ὥσπερ ἐπὶ τὰ κοῖλα καὶ μαλακὰ δίκην ὕδατος
ἀπολισθάνοντας. διὸ δεῖ τὴν παρρησίαν ἤθει κεκρᾶ-
σθαι καὶ λόγον ἔχειν ἀφαιροῦντα τὸ ἄγαν καὶ τὸ
ἄκρατον αὐτῆς ὥσπερ φωτός, ἵνα μὴ ταραττόμενοι
μηδ' ἀλγοῦντες ὑπὸ τῶν ἅπαντα μεμφομένων καὶ
πᾶσιν ἐγκαλούντων καταφεύγωσιν εἰς τὴν τοῦ κόλακος
C σκιάν, καὶ πρὸς τὸ μὴ λυποῦν ἀποστρέφωνται. πᾶ-
σαν μὲν γάρ, ὦ Φιλόπαππε, κακίαν φευκτέον ἐστὶ
δι' ἀρετῆς, οὐχὶ διὰ τῆς ἐναντίας κακίας, ὥσπερ ἔνιοι
δοκοῦσιν αἰσχυντηλίαν μὲν ἀναισχυντίᾳ φεύγειν ἀγροι-
κίαν δὲ βωμολοχίᾳ, δειλίας δὲ καὶ μαλακίας ἀπωτάτω
τίθεσθαι τὸν τρόπον ἂν ἔγγιστα φαίνωνται λαμυρίας

1, 212—214 H. 6, 242—243 R.

Digitized by Google

καὶ θρασύτητος. ἔνιοι δὲ καὶ δεισιδαιμονίας ἀθεότητα καὶ πανουργίαν ἀβελτερίας ἀπολόγημα ποιοῦνται, καθάπερ ξύλον τὸ ἦθος ἐκ καμπῆς εἰς τοὐναντίον ἀπειρίᾳ τοῦ κατορθοῦν διαστρέφοντες. αἰσχίστη δὲ κολακείας ἄρνησις ἀνωφελῶς λυπηρὸν εἶναι, καὶ κομιδῇ τινος ἀμούσου καὶ ἀτέχνου πρὸς εὔνοιαν ὁμιλίας ἀηδίᾳ καὶ χαλεπότητι φεύγειν τὸ ἀγεννὲς ἐν φιλίᾳ καὶ ταπεινόν, ὥσπερ ἀπελεύθερον ἐν κωμῳδίᾳ τὴν κατηγορίαν ἰσηγορίας ἀπόλαυσιν ἡγούμενον. ἐπεὶ τοίνυν αἰσχρὸν μέν ἐστι κολακείᾳ περιπεσεῖν διώκοντα τὸ πρὸς χάριν, αἰσχρὸν δὲ φεύγοντα κολακείαν παρρησίας ἀμετρίᾳ διαφθεῖραι τὸ φιλικὸν καὶ κηδεμονικόν, δεῖ δὲ μηθ' ἕτερον παθεῖν ἀλλ' ὥσπερ ἄλλῳ τινὶ καὶ τῇ παρρησίᾳ τὸ καλὸν ἐκ τοῦ μετρίου λαβεῖν, αὐτὸς ἔοικεν ὁ λόγος ὁ τὸ ἐφεξῆς ἀπαιτῶν ἐπιτιθέναι τὴν κορωνίδα τῷ συγγράμματι·

27. Ὥσπερ οὖν κῆράς τινας ἐπούσας τῇ παρρησίᾳ πλείονας ὁρῶντες πρῶτον ἀφαιρῶμεν αὐτῆς τὴν φιλαυτίαν, εὖ μάλα φυλαττόμενοι μὴ διά τι τῶν ἰδίων οἷον ἀδικούμενοι καὶ ἀλγοῦντες ἐξονειδίζειν δοκῶμεν. οὔτε γὰρ ὑπ' εὐνοίας ἀλλ' ὑπ' ὀργῆς οἴονται γίγνεσθαι τὸν ὑπὲρ αὐτοῦ τοῦ λέγοντος γιγνόμενον λόγον, οὔτε νουθεσίαν ἀλλὰ μέμψιν εἶναι. φιλικὸν γὰρ ἡ παρρησία καὶ σεμνόν, ἡ δὲ μέμψις καὶ φίλαυτον καὶ μικρολόγον. ὅθεν αἰδοῦνται τοὺς παρρησιαζομένους καὶ θαυμάζουσι, τοῖς δὲ μεμφομένοις ἀντεγκαλοῦσι καὶ καταφρονοῦσιν. ὥσπερ ὁ Ἀγαμέμνων τὸν Ἀχιλλέα παρρησιάζεσθαι δοκοῦντα μετρίως οὐχ ὑπέμεινε, τοῦ δ' Ὀδυσσέως καθαπτομένου πικρῶς καὶ λέγοντος

'οὐ λόμεν', αἴθ' ὄφελλες ἀεικελίου στρατοῦ ἄλλου σημαίνειν'

1, 214—215 H. 6, 243—245 R.

30. Homer. Ξ 84

Digitized by Google

εἴκει καὶ καρτερεῖ, τῷ κηδεμονικῷ τοῦ λόγου καὶ νοῦν
ἔχοντι συστελλόμενος. οὗτος μὲν γὰρ οὐκ ἔχων ἰδίας
67 πρόφασιν ὀργῆς ἐπαρρησιάζετο πρὸς αὐτὸν ὑπὲρ τῆς
Ἑλλάδος, ἐκεῖνος δὲ δι' αὐτὸν ἐδόκει μάλιστα χαλε-
παίνειν. αὐτός γε μὴν ὁ Ἀχιλλεύς, καίπερ οὐ θυ- 5
κύθυμος ὢν οὐδ' ἀγανόφρων ἀλλά

'δεινὸς ἀνήρ, οἷος καὶ ἀναίτιον αἰτιάασθαι',

παρεῖχε τῷ Πατρόκλῳ συμπῇ καταφέρειν αὐτοῦ πολλὰ
τοιαῦτα

'νηλεές, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεύς 10
οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα
πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής'.

Β ὥσπερ γὰρ Ὑπερείδης ὁ ῥήτωρ ἠξίου σκοπεῖν Ἀθη-
ναίους μὴ μόνον εἰ πικρός ἐστιν, ἀλλ' εἰ προῖκα πι-
κρός, οὕτως ἡ τοῦ φίλου νουθεσία καθαρεύουσα παν- 15
τὸς ἰδίου πάθους αἰδεστόν ἐστι καὶ σεμνὸν καὶ ἀναν-
τίβλεπτον. ἂν δὲ δὴ φανερὸς ᾖ τις ἐν τῷ παρρησιά-
ζεσθαι τὰ μὲν εἰς αὐτὸν ἁμαρτήματα τοῦ φίλου κομιδῇ
προϊέμενος καὶ ἀπολείπων, ἄλλας δέ τινας αὐτοῦ
πλημμελείας ἐλέγχων καὶ δάκνων ἐφ' ἑτέροις καὶ μὴ 20
φειδόμενος, ἅμαχος ὁ τόνος τῆς παρρησίας οὗτός
ἐστι καὶ τῇ γλυκύτητι τοῦ νουθετοῦντος ἐπιτείνων τὸ
πικρὸν καὶ αὐστηρὸν τῆς νουθεσίας. ὅθεν εὖ μὲν
εἴρηται τὸ δεῖν ἐν ταῖς ὀργαῖς καὶ ταῖς διαφοραῖς
C ταῖς πρὸς τοὺς φίλους μάλιστα πράττειν τι καὶ σκο- 25
πεῖν τῶν ἐκείνοις συμφερόντων ἢ πρεπόντων, οὐχ
ἧττον δὲ τούτου φιλικόν ἐστι τὸ παρορᾶσθαι καὶ ἀμε-
λεῖσθαι δοκοῦντας αὐτοὺς ὑπὲρ ἄλλων ἀμελουμένων

1, 215—216 H. 6, 245—247 B.

7. Homer. Λ 652. N 775 10. Id. Π 33 17. δὴ*: δὴ καὶ

Digitized by Google

παρρησιάζεσθαι καὶ ὑπομιμνήσκειν. ὡς Πλάτων ἐν ταῖς πρὸς Διονύσιον ὑποψίαις καὶ διαφοραῖς ἠτήσατο καιρὸν ἐντυχίας· εἶτα ὃ μὲν ἔδωκεν, οἰόμενος ὑπὲρ αὐτοῦ τι μέμψασθαι τὸν Πλάτωνα καὶ διελθεῖν, ὁ δὲ Πλάτων οὕτω πως διελέχθη πρὸς αὐτόν. 'εἴ τινα αἴσθοιο, Διονύσιε, δυσμενῆ πεπλευκότα εἰς Σικελίαν, κακόν τί σε ποιῆσαι βουλόμενον οὐκ ἔχοντα δὲ καιρόν, ἆρ' ἂν ἐάσειας αὐτὸν ἐκπλεῦσαι καὶ περιίδοις ἀθῷον ἀπαλλαγέντα'; 'πολλοῦ δέω' εἶπεν ὁ Διονύσιος 'ὦ Πλάτων· δεῖ γὰρ οὐ τὰ ἔργα τῶν ἐχθρῶν μόνον ἀλλὰ καὶ τὴν προαίρεσιν μισεῖν καὶ κολάζειν'. 'εἰ τοίνυν' εἶπεν ὁ Πλάτων 'ἐπ' εὐνοίᾳ τις ἀφιγμένος τῇ σῇ δεῦρο βούλεται μὲν ἀγαθοῦ τινος αἴτιός σοι γενέσθαι, σὺ δὲ καιρὸν οὐ παρέχεις, ἄξιόν ἐστι τοῦτον ἀχαρίστως προέσθαι καὶ ὀλιγώρως'; ἐρωτήσαντος δὲ τοῦ Διονυσίου τίς ἐστιν οὗτος, 'Αἰσχίνης' εἶπεν 'ἀνὴρ τῷ τε ἤθει παρ' ὀντιναοῦν τῶν Σωκράτους ἑταίρων ἐπιεικὴς καὶ τῷ λόγῳ δυνατὸς ἐπανορθοῦν οἷς ἂν συνῇ· πλεύσας δὲ δεῦρο πολλὴν θάλατταν, ὡς συγγένοιτό σοι διὰ φιλοσοφίας, ἠμέληται'. ταῦτα οὕτως ἐκίνησε τὸν Διονύσιον, ὥστε τὰς μὲν χεῖρας τῷ Πλάτωνι εὐθὺς περιβάλλειν καὶ κατασπάζεσθαι, τὴν εὐμένειαν καί μεγαλοφροσύνην ἀγάμενον, τοῦ δ' Αἰσχίνου καλῶς καὶ μεγαλοπρεπῶς ἐπιμεληθῆναι.

27. Δεύτερον τοίνυν ὥσπερ ἐκκαθαίροντες ὕβριν ἅπασαν καὶ γέλωτα καὶ σκῶμμα καὶ βωμολοχίαν ἡδύσματα πονηρὰ τῆς παρρησίας ἀφαιρῶμεν. ὥσπερ γὰρ ἰατροῦ σάρκα τέμνοντος εὐρυθμίαν τινὰ δεῖ καὶ καθαριότητα τοῖς ἔργοις ἐπιτρέχειν, ὀρχηστικὴν δὲ καὶ

1, 216—217 H. 6, 247—248 R.

2. ὑποψίαις Graeco-Latina a. 1624: ὑπεροψίαις 19. ἂν συνῇ*: συνείη

Digitized by Google

παράβολον καὶ περιτρέχουσαν ὑγρότητα καὶ περιεργίαν ἀπεῖναι τῆς χειρός, οὕτως ἡ παρρησία δέχεται τὸ ἐπιδέξιον καὶ τὸ ἀστεῖον, ἂν ἡ χάρις τὴν σεμνότητα σώζῃ, θρασύτης δὲ καὶ βδελυρία καὶ ὕβρις προσοῦσα πάντα διαφθείρει καὶ ἀπόλλυσιν. ὅθεν ὁ μὲν ψάλτης ῥύκ ἀπιθάνως οὐδ' ἀμούσως ἐπεστόμισε τὸν Φίλιππον ἐπιχειροῦντα περὶ κρουμάτων διαφέρεσθαι πρὸς αὐτόν, εἰπών 'μὴ γένοιτό σοι οὕτως ὦ βασιλεῦ κακῶς, 68 ἵν' ἐμοῦ σὺ ταῦτα βέλτιον εἰδῇς'. Ἐπίχαρμος δ' οὐκ ὀρθῶς, τοῦ Ἱέρωνος ἀνελόντος ἐνίους τῶν συνήθων καὶ μεθ' ἡμέρας ὀλίγας καλέσαντος ἐπὶ δεῖπνον αὐτόν, 'ἀλλὰ πρώην' ἔφη 'θύων τοὺς φίλους οὐκ ἐκάλεσας'. κακῶς δὲ καὶ Ἀντιφῶν, παρὰ Διονυσίῳ ζητήσεως οὔσης καὶ λόγου 'ποῖος χαλκὸς ἄριστος,' 'ἐκεῖνος' εἶπεν, 'ἐξ οὗ Ἀθήνησι κατεσκεύασαν τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας'. οὔτε γὰρ ὠφελεῖ τὸ λυπηρὸν καὶ πικρόν, οὔτε τέρπει τὸ βωμολόχον καὶ παιδιῶδες, ἀλλ' ἔστι κακοηθείᾳ καὶ ὕβρει μεμιγμένης ἀκρασίας Β μετ' ἔχθρας τὸ τοιοῦτον εἶδος, ᾧ χρώμενοι προσαπολλύουσιν αὐτούς, τὴν περὶ τὸ φρέαρ ὄρχησιν ἀτεχνῶς ὀρχούμενοι. καὶ γὰρ Ἀντιφῶν ἀπέθανεν ὑπὸ Διονυσίου καὶ Τιμαγένης ἐξέπεσε τῆς Καίσαρος φιλίας, ἐλευθέρᾳ μὲν οὐδέποτε φωνῇ χρησάμενος, ἐν δὲ τοῖς συμποσίοις καὶ τοῖς περιπάτοις ἑκάστοτε πρὸς οὐδ' ἡντινοῦν σπουδήν

'ἀλλ' ὅ τι οἱ εἴσαιτο γελοίιον Ἀργείοισιν'

αἰτίαν φιλίας ὥσπερ σόφισμα λοιδορίας προφερόμενος. ἐπεὶ καὶ τοῖς κωμικοῖς πολλὰ πρὸς τὸ θέατρον αὐ-

1, 217—219 H. 6, 248—250 E.

5. πάντα Reiskius: πάνυ 9. σὺ ταῦτα*: ταῦτα σὺ 26. Homer. B 215 27. προφερόμενος Reiskius: προσφερόμενος 28. αὐστηρῶς*: αὐστηρὰ

Digitized by Google

στηρῶς καὶ πληκτικῶς ἐπεποίητο· συμμεμιγμένον δὲ τὸ γελοῖον αὐτοῖς καὶ βωμολόχον, ὥσπερ κιτίοις ὑπότριμμα C μοχθηρόν, ἐξίτηλον ἐποίει τὴν παρρησίαν καὶ ἄχρηστον, ὥστε περιῆν κακοηθείας δόξα καὶ βδελυρίας τοῖς λέγουσι, χρήσιμον δὲ τοῖς ἀκούουσιν οὐδὲν ἀπὸ τῶν λεγομένων. ἄλλως μὲν οὖν προσοιστέον ἐστὶ καὶ παιδιὰν καὶ γέλωτα τοῖς φίλοις· ἡ δὲ παρρησία σπουδὴν ἐχέτω καὶ ἦθος. ἂν δ' ὑπὲρ μειζόνων ᾖ, καὶ πάθει καὶ σχήματι καὶ τόνῳ φωνῆς ὁ λόγος ἀξιόπιστος ἔστω καὶ κινητικός. ὁ δὲ καιρὸς ἐν παντὶ μὲν παρεθεὶς μεγάλα βλάπτει, μάλιστα δὲ τῆς παρρησίας διαφθείρει τὸ χρήσιμον. ὅτι μὲν οὖν ἐν οἴνῳ καὶ μέθῃ τὸ τοιοῦτο φυλακτέον, εὔδηλόν ἐστιν. εὐδίᾳ D γὰρ ἐπάγει νέφος ὁ κινῶν ἐν παιδιᾷ καὶ φιλοφροσύνῃ λόγον ὀφρῦν ἀναспῶντα καὶ συνιστάντα τὸ πρόσωπον, ὥσπερ ἀντιταττόμενον τῷ Λυαίῳ θεῷ καὶ 'λύοντι τὸ τῶν δυσφόρων σχοινίον μεριμνῶν' κατὰ Πίνδαρον. ἔχει δὲ καὶ κίνδυνον ἡ ἀκαιρία μέγαν. ἀκροσφαλεῖς γάρ εἰσιν αἱ ψυχαὶ πρὸς ὀργὴν διὰ τὸν οἶνον, καὶ πολλάκις ἡ μέθη παραλαβοῦσα τὴν παρρησίαν ἔχθραν ἐποίησε. καὶ ὅλως οὐκ ἔστι γενναῖον οὐδὲ θαρραλέον ἀλλ' ἄνανδρον ἐν τῷ νήφειν ἀπαρρησίαστον τὸ παρρησιάζεσθαι παρὰ τράπεζαν ὥσπερ οἱ δειλοὶ κύνες. οὐδὲν οὖν δεῖ περὶ τούτων λέγοντα μηκύνειν.

28. Ἐπεὶ δὲ πολλοὶ τοὺς φίλους εὖ φερομένους E ἐν τοῖς πράγμασιν οὔτ' ἀξιοῦσιν οὔτε τολμῶσι ῥυθμίζειν, ἀλλ' ὅλως ἀπρόσιτον καὶ ἀνέφικτον ἡγοῦνται

1, 219—220 H. 6, 250—252 R.

1. πληκτικῶς*: πολιτικὰ ἐπεποίητο*: πεποίητο
4. βδελυρίας Reiskius: βδελυρία 16. Λυαίῳ W: Λυδίῳ
18. Πίνδαρον] Bergk. fr. 232 (124)

Digitized by Google

νουθεσίᾳ τὸ εὐτυχοῦν εἶναι, σφαλλομένοις δὲ καὶ πταίουσιν ἐπιτίθενται καὶ πατοῦσιν ὑπὸ χεῖρα καὶ ταπεινοὺς γεγενημένους, ὥσπερ ῥεῦμα κεκρατημένον παρὰ φύσιν τὴν παρρησίαν ἀθρόως ἐφιέντες αὐτοῖς καὶ ἀπολαύοντες ἄσμενοι τῆς μεταβολῆς διὰ τὴν πρόσθεν ὑπεροψίαν ἐκείνων αὐτῶν δ' ἀσθένειαν, οὐ χεῖρόν ἐστι καὶ περὶ τούτων διελθεῖν καὶ ἀποκρίνασθαι τῷ Εὐριπίδῃ λέγοντι

'ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων';

F ὅτι δεῖ μάλιστα παρρησιαζομένων φίλων τοῖς εὐτυχοῦσι καὶ τὸ ἄγαν ὑφιέντων τοῦ φρονήματος. ὀλίγοι γάρ εἰσιν οἷς μετὰ τοῦ εὐτυχεῖν παραγίγνεται τὸ φρονεῖν· οἱ δὲ πολλοὶ φρενῶν ἐπεισάκτων δέονται καὶ λογισμῶν πιεζόντων ἔξωθεν αὐτοὺς ὑπὸ τῆς τύχης φυσωμένους καὶ σαλευομένους. ὅταν δ' ὁ δαίμων καταβάλῃ καὶ περιέλῃ τὸν ὄγκον, αὐτοῖς τοῖς πράγμασιν ἔνεστι τὸ νουθετοῦν καὶ μετάνοιαν ἐμποιοῦν. ὅθεν οὐδὲν ἔργον τότε παρρησίας φιλικῆς οὐδὲ λόγων βάρος ἐχόντων καὶ δηγμόν, ἀλλ' ὡς ἀληθῶς ἐν ταῖς τοιαύταις μεταβολαῖς

69 'εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ'

παρηγοροῦντος καὶ παραθαρρύνοντος, ὥσπερ τοῦ Κλεάρχου τὸ πρόσωπον ὁ Ξενοφῶν ἐν ταῖς μάχαις καὶ παρὰ τὰ δεινά φησιν ὁρώμενον εὐμενὲς καὶ φιλάνθρωπον εὐθαρσεστέρους ποιεῖν τοὺς κινδυνεύοντας. ὁ δὲ παρρησίαν καὶ δηγμὸν ἀνθρώπῳ δυστυχοῦντι προσάγων ὥσπερ ὀξυδορκικὸν ὄμματι ταρασσομένῳ καὶ φλεγμαίνοντι, θεραπεύει μὲν οὐδὲν οὐδ' ἀφαιρεῖ

1, 220—221 H. 6, 252—254 R.

8. Εὐριπίδῃ] Or. 667 21. Eurip. Ion. 732 23. Ξενοφῶν] Anab. II 6, 11

Digitized by Google

τοῦ λυποῦντος, ὀργὴν δὲ τῇ λύπῃ προστίθησι καὶ παροξύνει τὸν ἀνιώμενον. αὐτίκα γοῦν ὑγιαίνων μέν B
τις οὐ χαλεπός ἐστιν οὐδ' ἄγριος παντάπασιν ἀνδρὶ φίλῳ ψέγοντι μὲν συνουσίας καὶ πότους αὐτοῦ ψέ-
γοντι δ' ἀργίαν καὶ ἀγυμνασίαν καὶ λουτρὰ συνεχῆ καὶ πλησμονὰς ἀκαίρους· νοσοῦντι δ' οὐκ ἀνεκτὸν ἀλλὰ μείζων νόσος ἀκούειν ὅτι ταῦτά σοι γέγονεν ἐξ ἀκρασίας καὶ μαλακίας καὶ δι' ὄψα καὶ γυναῖκας. ὦ τῆς ἀκαιρίας, ἄνθρωπε· διαθήκην γράφω καὶ παρα-
σκευάζεταί μοι καστόριον ἢ σκαμώνιον ὑπὸ τῶν ἰατρῶν, σὺ δὲ νουθετεῖς καὶ φιλοσοφεῖς. οὕτω τοίνυν καὶ τὰ πράγματα τῶν δυστυχούντων οὐ παρρησίαν ἐνδέχεται καὶ γνωμολογίαν, ἀλλ' ἐπιεικείας δεῖται καὶ C
βοηθείας. καὶ γὰρ αἱ τίτθαι τοῖς παιδίοις πεσοῦσιν οὐ λοιδορησόμεναι προστρέχουσιν, ἀλλ' ἤγειραν καὶ περιέπλυναν καὶ κατέστειλαν, εἶθ' οὕτως ἐπιπλήττουσι καὶ κολάζουσι. λέγεται δὲ καὶ Δημήτριος ὁ Φαληρεὺς ὅτε τῆς πατρίδος ἐξέπεσε καὶ περὶ Θήβας ἀδοξῶν καὶ ταπεινὰ πράττων διῆγεν, οὐχ ἡδέως ἰδεῖν προσιόντα Κράτητα, παρρησίαν κυνικὴν καὶ λόγους τραχεῖς προσ-
δεχόμενος· ἐντυχόντος δὲ πράως αὐτῷ τοῦ Κράτητος καὶ διαλεχθέντος περὶ φυγῆς ὡς οὐδὲν ἔχει κακὸν οὐδ' ἄξιον φέρειν βαρέως πραγμάτων σφαλερῶν καὶ D
ἀβεβαίων ἀπηλλαγμένον, ἅμα δὲ θαρρεῖν ἑαυτῷ καὶ τῇ διαθέσει παρακαλοῦντος, ἡδίων γενόμενος καὶ ἀναθαρρήσας πρὸς τοὺς φίλους εἶπε 'φεῦ τῶν πράξεων ἐκείνων καὶ ἀσχολιῶν δι' ἃς ἄνδρα τοιοῦτον οὐκ ἔγνωμεν'.

'λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλων,
ἄγαν δὲ μωραίνοντι νουθετήματα.'

1, 221—223 H. 6, 254—256 R.

13. ἐνδέχεται Emperius: ἐκδέχεται Nauck. p. 524. 29. λυπουμένῳ] μὲν*: γὰρ

Digitized by Google

οὗτος ὁ τρόπος τῶν γενναίων φίλων· οἱ δ' ἀγεννεῖς καὶ ταπεινοὶ τῶν εὐτυχούντων κόλακες, 'ὥσπερ τὰ
E ῥήγματα καὶ τὰ σπάσματά' φησι Δημοσθένης 'ὅταν τι κακὸν τὸ σῶμα λάβῃ τότε κινεῖσθαι', καὶ οὗτοι ταῖς μεταβολαῖς ἐπιφύονται, καθάπερ ἡδόμενοι καὶ ἀπολαύοντες. καὶ γὰρ ἂν δέηταί τινος ὑπομνήσεως ἐν οἷς δι' αὐτὸν ἔπταισε βουλευσάμενος κακῶς, ἱκανόν ἐστι τό

'οὔ τι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
πόλλ' ἀπεμυθεόμην'.

29. Ἐν τίσιν οὖν σφοδρὸν εἶναι δεῖ τὸν φίλον καὶ πότε τῷ τόνῳ χρῆσθαι τῆς παρρησίας; ὅταν ἡδονῆς ἢ ὀργῆς ἢ ὕβρεως ἐπιλαβέσθαι φερομένης οἱ καιροὶ παρακαλῶσιν ἢ κολοῦσαι φιλαργυρίαν ἢ ἀπροσεξίαν
F ἀνασχεῖν ἀνόητον. οὕτως ἐπαρρησιάζετο Σόλων πρὸς Κροῖσον ὑπ' εὐτυχίας ἀβεβαίου διεφθορότα καὶ τυφῶντα, τὸ τέλος ὁρᾶν κελεύσας· οὕτω Σωκράτης Ἀλκιβιάδην ἐκόλουε, καὶ δάκρυον ἐξῆγεν ἀληθινὸν ἐξελεγχομένου καὶ τὴν καρδίαν ἔστρεφε. τοιαῦτα τὰ Κύρου πρὸς Κυαξάρην καὶ τὰ πρὸς Δίωνα Πλάτωνος, ὅτε λαμπρότατος ἦν καὶ πάντας εἰς ἑαυτὸν ἀνθρώπους ἐπέστρεφε διὰ τὸ κάλλος τῶν πράξεων καὶ τὸ μέγεθος, παρακελευομένου φυλάττεσθαι καὶ
70 δεδιέναι τὴν 'αὐθάδειαν, ὡς ἐρημίᾳ ξύνοικον'. ἔγραφε δὲ καὶ Σπεύσιππος αὐτῷ μὴ μέγα φρονεῖν εἰ πολὺς αὐτοῦ λόγος ἐστὶν ἐν παιδαρίοις καὶ γυναίοις, ἀλλ' ὁρᾶν ὅπως ὁσιότητι καὶ δικαιοσύνῃ καὶ νόμοις

1, 223–225 H. 6, 256–257 R.

9. Homer. I 108 20. ἔστρεφε*: ἀνέστρεφε 25. αὐθάδειαν] Plat. Ep. IV. p. 321 B

Digitized by Google

ἀρίστοις κοσμήσας Σικελίαν 'εὐκλεᾶ θήσει' τὴν Ἀκαδήμειαν. Εὔκτος δὲ καὶ Εὐλαῖος, ἑταῖροι Περσέως, εὐτυχοῦντι μὲν ἀεὶ πρὸς χάριν ὁμιλοῦντες καὶ συνεπινεύοντες ὥσπερ οἱ λοιποὶ παρηκολούθουν· ἐπεὶ δὲ Ῥωμαίοις συμβαλὼν περὶ Πύδναν ἔπταισε καὶ ἔφυγε, προσπεσόντες ἐπετίμων πικρῶς καὶ ἀνεμίμνησκον ὧν ἐξήμαρτεν ἢ παρεῖδεν, ἕκαστον ἐξονειδίζοντες, ἄχρι οὗ διαλγήσας ὁ ἄνθρωπος ὑπὸ λύπης καὶ ὀργῆς ἀμ- B φοτέρους τῷ ξιφιδίῳ παίων ἀνεῖλεν.

30. Ὁ μὲν οὖν κοινὸς οὕτω προορίσθω καιρός· οὓς δὲ παρέχουσιν αὐτοὶ πολλάκις οὐ χρὴ προΐεσθαι τὸν κηδόμενον φίλων ἀλλὰ χρῆσθαι· καὶ γὰρ ἐρώτησις ἐνίοις καὶ διήγησις καὶ ψόγος ὁμοίων ἐφ' ἑτέροις ἢ ἔπαινος ὥσπερ ἐνδόσιμον εἰς παρρησίαν ἐστίν. οἷον ἐλθεῖν Δημάρατον εἰς Μακεδονίαν ἐκ Κορίνθου λέγουσι καθ' ὃν χρόνον ἐν διαφορᾷ πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν ὁ Φίλιππος ἦν· ἀσπασαμένου δ' αὐτὸν τοῦ Φιλίππου καὶ πυθομένου πῶς πρὸς ἀλλήλους ἔχουσιν ὁμονοίας οἱ Ἕλληνες, εἰπεῖν τὸν Δημάρατον C εὖνουν ὄντα καὶ συνήθη 'πάνυ γοῦν ὦ Φίλιππε καλόν ἐστί σοι πυνθάνεσθαι μὲν περὶ τῆς Ἀθηναίων καὶ Πελοποννησίων ὁμοφροσύνης, τὴν δ' οἰκίαν περιορᾶν τὴν σεαυτοῦ τοσαύτης στάσεως καὶ διχονοίας γέμουσαν'. εὖ δὲ καὶ Διογένης, ὅς ἐπεὶ παρελθὼν εἰς τὸ τοῦ Φιλίππου στρατόπεδον, ὅτε τοῖς Ἕλλησιν ἐβάδιζε μαχούμενος, ἀνήχθη πρὸς αὐτόν, ὁ δ' ἀγνοῶν ἠρώτησεν εἰ κατάσκοπός ἐστι, 'πάνυ μὲν οὖν' ἔφη 'κατάσκοπος ὦ Φίλιππε τῆς ἀβουλίας σου καὶ τῆς ἀνοίας, δι' ἣν οὐδενὸς ἀναγκάζοντος ἔρχῃ περὶ τῆς

1, 225—226 H. 6, 257—259 R.

1. εὐκλεᾶ θήσει] Eurip. Phoen. 1732 12. φίλων Reiskius: φίλον 29. τῆς*

Digitized by Google

D βασιλείας καὶ τοῦ σώματος ὥρᾳ μιᾷ διακυβεύσων'. τοῦτο μὲν οὖν ἴσως σφοδρότερον, (31) ἕτερος δὲ καιρός ἐστι νουθεσίας ὅταν ὑπ' ἄλλων λοιδορηθέντες ἐφ' οἷς ἁμαρτάνουσι ταπεινοὶ γένωνται καὶ συσταλῶσιν. ᾧ χρῶτο ἂν ἐμμελῶς ὁ χαρίεις τοὺς μὲν λοιδοροῦντας ἀνακόπτων καὶ διακρουόμενος, ἰδίᾳ δ' αὐτὸς ἁπτόμενος τοῦ φίλου καὶ ὑπομιμνήσκων ὡς εἰ διὰ μηδὲν ἄλλο προσεκτέον αὐτῷ, ὅπως γε μὴ θρασεῖς ὦσιν οἱ ἐχθροί. 'ποῦ γὰρ ἔστι τούτοις τὸ στόμα διᾶραι, τί δὲ προσείπειν, ἂν ἀφῇς ταῦτα καὶ ῥίψῃς ἐφ' E οἷς κακῶς ἀκούεις'; γίγνεται γὰρ οὕτως τὸ μὲν λυπηρὸν τοῦ λοιδοροῦντος, τὸ δ' ὠφέλιμον τοῦ νουθετοῦντος. ἔνιοι δὲ κομψότερον, ἄλλους ψέγοντες, ἐπιστρέφουσι τοὺς συνήθεις· κατηγοροῦσι γὰρ ἑτέρων ἃ πράττοντας ἐκείνους ἴσασιν. ὁ δ' ἡμέτερος καθηγητὴς Ἀμμώνιος ἐν δειλινῇ διατριβῇ τῶν γνωρίμων τινὰς αἰσθόμενος ἠριστηκότας οὐχ ἁπλοῦν ἄριστον ἐκέλευσεν ἰδίῳ παιδὶ πληγὰς ἐμβαλεῖν τὸν ἀπελεύθερον, ἐπειπὼν ὅτι χωρὶς ὄξους ἀριστᾶν οὐ δύναται. καὶ ἅμα πρὸς ἡμᾶς ἀπέβλεψεν, ὥστε τῶν ἐνόχων ἄψασθαι τὴν ἐπιτίμησιν.

32. Ἔτι τοίνυν εὐλαβητέον ἐστὶν ἐν πολλοῖς παρρησίᾳ χρῆσθαι πρὸς φίλον, ἐνθυμούμενον τὸ τοῦ F Πλάτωνος. ἐπεὶ γὰρ ὁ Σωκράτης ἥψατό τινος τῶν συνήθων σφοδρότερον ἐπὶ ταῖς τραπέζαις διαλεγόμενος, 'οὐκ ἄμεινον ἦν' ὁ Πλάτων ἔφη 'ἰδίᾳ ταῦτα λελέχθαι'; καὶ ὁ Σωκράτης 'σὺ δ' οὐκ ἄμεινον' εἶπεν 'ἐποίησας ἂν ἰδίᾳ πρὸς ἐμὲ τοῦτο εἰπών'; Πυθαγόρου δὲ τραχύτερον ἐν πολλοῖς γνωρίμῳ προσενεχθέντος ἀπάγξασθαι τὸ μειράκιον λέγουσιν, ἐκ τούτου δὲ

226—227 H. 6, 259—261 R.

10. προσείπειν] προφέρειν Reiskius

Digitized by Google

μηδέποτε τὸν Πυθαγόραν αὖθις ἄλλου παρόντος ἄλλον νουθετῆσαι. δεῖ γὰρ ὡς νοσήματος οὐκ εὐπρεποῦς τῆς ἁμαρτίας τὴν νουθέτησιν καὶ ἀποκάλυψιν ἀπόρρητον εἶναι καὶ μὴ πανηγυρικὴν μηδ' ἐπιδεικτι- 71
κὴν μηδὲ μάρτυρας καὶ θεατὰς συνάγουσαν. οὐ γὰρ φιλικὸν ἀλλὰ σοφιστικὸν ἀλλοτρίοις ἐνευδοκιμεῖν σφάλμασι, καλλωπιζόμενον πρὸς τοὺς παρόντας, ὥσπερ οἱ χειρουργοῦντες ἐν τοῖς θεάτροις ἰατροὶ πρὸς ἐργολαβίαν. ἄνευ δὲ τῆς ὕβρεως, ἣν οὐδεμιᾷ θερα-
πείᾳ προσεῖναι δίκαιόν ἐστι, καὶ τὸ τῆς κακίας σκεπτέον φιλόνικον καὶ αὔθαδες. οὐ γὰρ ἁπλῶς 'νουθετούμενος ἔρως μᾶλλον πιέζει' κατ' Εὐριπίδην, ἀλλ' ἂν νουθετῇ τις ἐν πολλοῖς καὶ μὴ φειδόμενος, πᾶν B
νόσημα καὶ πᾶν πάθος εἰς τὸ ἀναίσχυντον καθίστησιν. ὥσπερ οὖν ὁ Πλάτων τοὺς παρασκευάζοντας ἐν τοῖς νέοις αἰσχύνην γέροντας αὐτοὺς ἀξιοῖ πρῶτον αἰσχύνεσθαι τοὺς νέους, οὕτω τῶν φίλων ἡ δυσωπουμένη παρρησία δυσωπεῖ μάλιστα, καὶ τὸ μετ' εὐλαβείας ἀτρέμα προσιέναι καὶ ἅπτεσθαι τοῦ ἁμαρτάνοντος ὑπερείπει καὶ διεργάζεται τὴν κακίαν ἀναπιμπλαμένην τοῦ αἰδεῖσθαι τὸ αἰδούμενον. ὅθεν ἄριστα μὲν ἔχει τό

'ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι',

ἥκιστα δὲ πρέπει γαμετῆς ἀκουούσης ἄνδρα καὶ παί- C
δων ἐν ὄψει πατέρα καὶ ἐραστὴν ἐρωμένου παρόντος ἢ γνωρίμων διδάσκαλον ἀποκαλύπτειν· ἐξίστανται γὰρ ὑπὸ λύπης καὶ ὀργῆς ἐλεγχόμενοι παρ' οἷς εὐδοκιμεῖν ἀξιοῦσιν. οἶμαι δὲ καὶ Κλεῖτος οὐχ οὕτω παρώξυνε διὰ τὸν οἶνον, ὡς ὅτι πολλῶν παρόντων ἐδόκει

1, 227—229 H. 6, 261—262 B.

12. Εὐριπίδην] Nauck. p. 449 15. Πλάτων] Legg. p. 729 C 22. Homer. α 157 28. παρώξυνε*; παροξύναι

Digitized by Google

κολούειν Ἀλέξανδρον. καὶ Ἀριστομένης ὁ Πτολεμαίου καθηγητὴς ὅτι νυστάζοντα πρεσβείας παρούσης ἐπάταξεν ἐξεγείρων, λαβήν τινα παρέσχε τοῖς κόλαξι, προσποιουμένοις ἀγανακτεῖν ὑπὲρ τοῦ βασιλέως καὶ
D λέγουσιν 'εἰ τοσαῦτα κοπιῶν καὶ ἀγρυπνῶν κατηνέχθης, ἰδίᾳ σε νουθετεῖν ὤφελεν, οὐκ ἐναντίον ἀνθρώπων τοσούτων προσφέρειν τὰς χεῖρας'. ὁ δὲ φαρμάκου κύλικα πέμψας ἐκέλευσεν ἐκπιεῖν τὸν ἄνθρωπον. Ἀριστοφάνης δὲ καὶ τὸν Κλέωνα τοῦτ' ἐγκαλεῖν φησιν ὅτι

'ξένων παρόντων τὴν πόλιν κακῶς λέγει'

καὶ παροξύνει τοὺς Ἀθηναίους. διὸ δεῖ φυλάττεσθαι καὶ τοῦτο μετὰ τῶν ἄλλων τοὺς μὴ παρεπιδείκνυσθαι μηδὲ δημαγωγεῖν ἀλλ' ὀνησιφόρως καὶ θεραπευτικῶς χρῆσθαι τῇ παρρησίᾳ βουλομένους. καὶ μὴν ὅπερ ὁ
E Θουκυδίδης τοὺς Κορινθίους λέγοντας περὶ αὑτῶν πεποίηκεν, ὡς 'ἄξιοί' εἰσιν ἑτέροις 'ἐπενεγκεῖν ψόγον', οὐ κακῶς εἰρημένον, ἔδει παρεῖναι τοῖς παρρησιαζομένοις. Λύσανδρος μὲν γὰρ ὡς ἔοικε πρὸς τὸν ἐκ Μεγάρων ἐν τοῖς συμμάχοις παρρησιαζόμενον ὑπὲρ τῆς Ἑλλάδος ἔφη τοὺς λόγους αὐτοῦ πόλεως δεῖσθαι· παρρησία δὲ παντὸς ἀνδρὸς ἤθους ἴσως δεῖται, καὶ τοῦτ' ἀληθέστατόν ἐστιν ἐπὶ τῶν ἑτέρους νουθετούντων καὶ σωφρονιζόντων λεγόμενον. ὁ γοῦν Πλάτων ἔλεγε νουθετεῖν τῷ βίῳ τὸν Σπεύσιππον, ὥσπερ ἀμέ-
F λει καὶ Πολέμωνα Ξενοκράτης ὀφθεὶς μόνον ἐν τῇ διατριβῇ καὶ ἀποβλέψας πρὸς αὐτὸν ἐτρέψατο καὶ μετέθηκεν. ἐλαφροῦ δὲ καὶ φαύλου τὸ ἦθος ἀν-

1, 229—230 H. 6, 262—264 B

6. ὤφελεν*: ὀφείλομεν 13. τοὺς W: τὸ 16. Θουκυδίδης] I 70

Digitized by Google

θρώπου λόγῳ παρρησίας ἁπτομένῳ πάρεστι προσᾴσαι τό

'ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσιν βρύων'.

33. Οὐ μὴν ἀλλ' ἐπεὶ φαύλους γε ὄντας αὐτοὺς ἑτέροις τε τοιούτοις ὁμιλοῦντας ἐξάγει τὰ πράγματα πολλάκις εἰς τὸ νουθετεῖν, ἐπιεικέστατος ἂν εἴη τρόπος ὁ συνεμπλέκων καὶ συμπεριλαμβάνων ἀμηγέπη τῷ ἐγκλήματι τὸν παρρησιαζόμενον· ἐφ' ᾧ λέλεκται καὶ τό

'Τυδείδη, τί παθόντε λελάσμεθα θούριδος ἀλκῆς;'

καὶ τό 72

'νῦν δ' οὐδ' ἑνὸς ἄξιοι εἰμέν
Ἕκτορος'.

καὶ ὁ Σωκράτης οὕτως ἀτρέμα τοὺς νέους ἤλεγχεν, ὡς μηδ' αὐτὸς ἀπηλλαγμένος ἀμαθίας, ἀλλὰ μετ' ἐκείνων οἰόμενος δεῖν ἀρετῆς ἐπιμέλεσθαι καὶ ζητεῖν τὸ ἀληθές. καὶ γὰρ εὔνοιαν καὶ πίστιν ἔχουσιν οἱ ταὐτὰ μὲν ἁμαρτάνειν, ἐπανορθοῦσθαι δὲ τοὺς φίλους ὥσπερ αὐτοὺς δοκοῦντες. ὁ δὲ σεμνύνων ἑαυτὸν ἐν τῷ κολούειν ἕτερον, ὡς δή τις εἰλικρινὴς καὶ ἀπαθής, ἂν μὴ πολὺ καθ' ἡλικίαν ᾖ προήκων μηδ' ἔχων ἀρετῆς ὁμολογούμενον ἀξίωμα καὶ δόξης, ἐπαχθὴς φανεὶς καὶ βαρὺς οὐδὲν ὠφέλησεν. ὅθεν οὐχ ἁπλῶς B ὁ Φοίνιξ ἐνέβαλε τὰ περὶ αὑτὸν ἀτυχήματα, δι' ὀργὴν ἐπιχειρήσαντος ἀνελεῖν τὸν πατέρα καὶ ταχὺ μεταγνόντος,

'ὡς μὴ πατροφόνος μετ' Ἀχαιοῖσιν καλεοίμην',

ἵνα μὴ δοκῇ νουθετεῖν ἐκεῖνον ὡς αὐτὸς ἀπαθὴς ὤν

1, 230—231 H. 6, 264—266 R.

1. πάρεστι προσᾴσαι ('occinere' interpres)*: περίεστι προσακοῦσαι 3. Nauck. p. 545 27. Homer. I 461

Digitized by Google

ὑπ' ὀργῆς καὶ ἀναμάρτητος. ἐνδύεται γὰρ ἠθικῶς τὰ τοιαῦτα, καὶ μᾶλλον εἴκουσι τοῖς ὁμοιοπαθεῖν ἀλλὰ μὴ περιφρονεῖν δοκοῦσιν. ἐπεὶ δ' οὔτε φῶς λαμπρὸν ὄμματι φλεγμαίνοντι προσοιστέον, οὔτ' ἐμπαθὴς ψυχὴ παρρησίαν ἀναδέχεται καὶ νουθεσίαν ἄκρατον, ἐν τοῖς χρησιμωτάτοις ἐστὶ τῶν βοηθημάτων ὁ παραμιγνύμενος ἐλαφρὸς ἔπαινος, ὥσπερ ἐν τούτοις

'ὑμεῖς δ' οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς
πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν. οὐδ' ἂν ἔγωγε
ἀνδρὶ μαχεσσαίμην ὅστις πολέμοιο μεθείη
λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι'

καί

'Πάνδαρε, ποῦ τοι τόξον ἰδὲ πτερόεντες ὀιστοί
καὶ κλέος, ᾧ οὔ τίς τοι ἐρίζεται ἐνθάδε γ' ἀνήρ;'

σφόδρα δ' ἐμφανῶς ἀνακαλεῖται καὶ τὰ τοιαῦτα τοὺς ὑποφερομένους

'ὁ δ' Οἰδίπους ποῦ καὶ τὰ κλείν' αἰνίγματα;'

καί

'ὁ πολλὰ δὴ τλὰς Ἡρακλῆς λέγει τάδε;'

οὐ γὰρ μόνον ἀνίησι τοῦ ψόγου τὸ τραχὺ καὶ κελευστικόν, ἀλλὰ καὶ ζῆλον ἐμποιεῖ πρὸς ἑαυτὸν αἰδουμένῳ τὰ αἰσχρὰ τῇ τῶν καλῶν ὑπομνήσει καὶ παράδειγμα ποιουμένῳ τῶν βελτιόνων ἑαυτόν. ὅταν δ' ἑτέρους οἷον ἥλικας ἢ πολίτας ἢ συγγενεῖς παραβάλωμεν, ἄχθεται καὶ διαγριαίνεται τὸ φιλόνικον τῆς κακίας, καὶ τοῦτο πολλάκις εἴωθεν ὑποφωνεῖν μετ' ὀργῆς 'τί οὖν οὐκ ἄπει πρὸς τοὺς ἐμοῦ κρείττονας,

1, 231—232 H. 6, 266—267 R.

8. Hom. N 116 14. Id. Ε 171 18. Eurip. Phoen. 168 20. Id. Herc. f. 1250

Digitized by Google

ἐμοὶ δὲ μὴ παρέχεις πράγματα;' φυλακτέον οὖν τὸ ἑτέρους ἐπαινεῖν παρρησιαζόμενον πρὸς ἑτέρους, ἂν μὴ νὴ Δία γονεῖς ὦσιν. ὡς Ἀγαμέμνων

'ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς', E

καὶ ὁ ἐν τοῖς Σκυρίοις Ὀδυσσεύς

'σὺ δ', ὦ τὸ λαμπρὸν φῶς καταισχύνων γένους, ξαίνεις, ἀρίστου πατρὸς Ἑλλήνων γεγώς;'

34. Ἥκιστα δὲ προσήκει νουθετούμενον ἀντινουθετεῖν καὶ παρρησίᾳ παρρησίαν ἀντεκφέρειν· ταχὺ γὰρ ἐκκάει καὶ ποιεῖ διαφοράν, καὶ ὅλως οὐκ ἀντιπαρρησιαζομένου δόξειεν ἂν ἀλλὰ παρρησίαν μὴ φέροντος ὁ τοιοῦτος ὠθισμὸς εἶναι. βέλτιον οὖν ὑπομένειν τὸν νουθετεῖν δοκοῦντα φίλον· ἂν γὰρ ὕστερον αὐτὸς ἁμαρτάνῃ καὶ δέηται νουθεσίας, αὐτὸ τοῦτο τῇ παρρησίᾳ τρόπον τινὰ παρρησίαν δίδωσιν. ὑπομιμνησκόμενος γὰρ ἄνευ μνησικακίας ὅτι τοὺς φίλους καὶ αὐτὸς εἰώθει μὴ περιορᾶν ἁμαρτάνοντας ἀλλ' ἐξελέγχειν καὶ διδάσκειν, μᾶλλον ἐνδώσει καὶ παραδέξεται τὴν ἐπανόρθωσιν, ὡς οὖσαν εὐνοίας καὶ χάριτος οὐ μέμψεως ἀνταπόδοσιν· οὐδ' ὀργῆς. F

35. Ἔτι τοίνυν ὁ μὲν Θουκυδίδης φησίν 'ὅστις 73
ἐπὶ μεγίστοις τὸ ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται'· τῷ δὲ φίλῳ προσήκει τὸ ἐκ τοῦ νουθετεῖν ἐπαχθὲς ὑπὲρ μεγάλων ἀναδέχεσθαι καὶ σφόδρα διαφερόντων. ἂν δ' ἐπὶ πᾶσι καὶ πρὸς πάντα δυσκολαίνῃ καὶ μὴ φιλικῶς ἀλλὰ παιδαγωγικῶς προσφέρηται τοῖς συνήθεσιν, ἀμβλὺς ἐν τοῖς μεγίστοις νουθετῶν ἔσται καὶ ἄπρακτος, ὥσπερ ἰατρὸς δριμὺ μὲν

1, 232—234 H. 6, 267—270 R.

1. τὸ Reiskius 4. Homer. Ε 800 6. Nauck. p. 653 21. Θουκυδίδης] II 64

Digitized by Google

φάρμακον ἢ πικρὸν ἀναγκαῖον δὲ καὶ πολυτελὲς εἰς
B πολλὰ καὶ μικρὰ καὶ οὐκ ἀναγκαῖα διελὼν τῇ παρ-
ρησίᾳ κατακεχρημένος. αὐτὸς μὲν οὖν σφόδρα φυ-
λάξεται τὸ συνεχὲς τοῦ φιλαιτίου· ἑτέρου δὲ μικρο-
λογουμένου παρὰ πάντα καὶ παρασυκοφαντοῦντος
ὥσπερ ἐνδόσιμον ἕξει πρὸς τὰ μείζονα τῶν ἁμαρτη-
μάτων. καὶ γὰρ ἰατρὸς Φιλότιμος ἐμπύου τὸ ἧπαρ
ἀνθρώπου δείξαντος αὐτῷ τὸν δάκτυλον ἡλκωμένον
'οὐκ ἔστι σοι' εἶπεν 'ὦ 'τᾶν περὶ παρωνυχίας ὁ λό-
γος'. οὐκοῦν καὶ τῷ φίλῳ δίδωσιν ὁ καιρὸς εἰπεῖν
πρὸς τὸν ἐπὶ μικροῖς καὶ μηδενὸς ἀξίοις ἐγκαλοῦντα
'τί παιδιὰς καὶ πότους καὶ φλυάρους λέγομεν; οὗτος,
ὦ 'τᾶν, ἀποπεμψάσθω τὴν ἑταίραν ἢ παυσάσθω κυ-
βεύων, καὶ τὰ ἄλλα θαυμαστὸς ἡμῖν ἄνθρωπος ἔσται'.
C ὁ γὰρ εἰς τὰ μικρὰ συγγνώμην λαβὼν οὐκ ἀηδῶς εἰς
· τὰ μείζονα τῷ φίλῳ παρρησίαν δίδωσιν· ὁ δ' ἐγκεί-
μενος ἀεὶ καὶ πανταχοῦ πικρὸς καὶ ἀτερπὴς καὶ πάντα
γιγνώσκων καὶ πολυπραγμονῶν οὐδὲ παισὶν ἀνεκτὸς
οὐδ' ἀδελφοῖς, ἀλλὰ καὶ δούλοις ἀφόρητος.

36. Ἐπεὶ δ' οὔτε τῷ γήρᾳ πάντα πρόσεστι κακὰ
κατ' Εὐριπίδην οὔτε τῇ τῶν φίλων ἀβελτερίᾳ, δεῖ μὴ
μόνον ἁμαρτάνοντας ἀλλὰ καὶ κατορθοῦντας ἐπιτη-
ρεῖν τοὺς φίλους, καὶ νὴ Δία προθύμως ἐπαινεῖν τὸ
πρῶτον· εἶθ' ὥσπερ ὁ σίδηρος πυκνοῦται τῇ περι-
D ψύξει καὶ δέχεται τὴν στόμωσιν ἀνεθεὶς πρῶτον ὑπὸ
θερμότητος καὶ μαλακὸς γενόμενος, οὕτω τοῖς φίλοις
διακεχυμένοις καὶ θερμοῖς οὖσιν ὑπὸ τῶν ἐπαίνων
ὥσπερ βαφὴν ἀτρέμα τὴν παρρησίαν ἐπάγειν. δίδωσι
γὰρ ὁ καιρὸς εἰπεῖν 'ἆρ' ἄξιον ἐκεῖνα τούτοις παρα-

1, 234—235 H. 6, 270—271 R.

4. τοῦ φιλαιτίου Reiskius: καὶ φιλαίτιον ἐστιν 14. ἔσται*: 21. Εὐριπίδην] Phoen. 532

Digitized by Google

βάλλειν; ὁρᾷς τὸ καλὸν οἵους καρποὺς ἀποδίδωσι; ταῦτα ἀπαιτοῦμεν οἱ φίλοι, ταῦτ' ἔστιν οἰκεῖα, πρὸς ταῦτα πέφυκας· ἐκεῖνα δ' ἀποδιοπομπητέον

'εἰς ὄρος ἢ ἐς κῦμα πολυφλοίσβοιο θαλάσσης'.

ὡς γὰρ ἰατρὸς εὐγνώμων βούλοιτ' ἂν ὕπνῳ καὶ τροφῇ μᾶλλον ἢ καστορίῳ καὶ σκαμωνίῳ τὸ νόσημα λῦσαι τοῦ κάμνοντος, οὕτω καὶ φίλος ἐπιεικὴς καὶ πατὴρ χρηστὸς καὶ διδάσκαλος ἐπαίνῳ μᾶλλον ἢ ψόγῳ χαίρει πρὸς ἐπανόρθωσιν ἥθους χρώμενος. οὐδὲν γὰρ ἄλλο ποιεῖ τὸν παρρησιαζόμενον ἥκιστα λυπεῖν καὶ μάλιστα θεραπεύειν ἢ τὸ φειδόμενον ὀργῆς ἐν ἤθει καὶ μετ' εὐνοίας προσφέρεσθαι τοῖς ἁμαρτάνουσιν. ὅθεν οὔτ' ἀρνουμένους δεῖ πικρῶς ἐξελέγχειν οὔτε κωλύειν ἀπολογουμένους, ἀλλὰ καὶ προφάσεις εὐσχήμονας ἁμωσγέπως συνεκπορίζειν καὶ τῆς χείρονος αἰτίας ἀφισταμένοις αὐτὸν ἐνδιδόναι μετριωτέραν, ὡς ὁ Ἕκτωρ

'δαιμόνι', οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῷ'

πρὸς τὸν ἀδελφόν, ὡς οὐκ ἀπόδρασιν οὐδὲ δειλίαν οὖσαν ἀλλ' ὀργὴν τὴν ἐκ τῆς μάχης ἀναχώρησιν αὐτοῦ. καὶ πρὸς τὸν Ἀγαμέμνονα ὁ Νέστωρ

'σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
εἶξας'.

ἠθικώτερον γὰρ οἶμαι τοῦ 'ἠδίκησας' καὶ 'ἠσχημόνησας' τὸ 'οὐκ ἐπέστησας' καὶ 'ἠγνόησας', καὶ τὸ 'μὴ φιλονείκει πρὸς τὸν ἀδελφόν' ἢ τὸ 'μὴ φθόνει τῷ ἀδελφῷ', καὶ τὸ 'φύγε τὴν γυναῖκα διαφθείρουσαν' ἢ τὸ 'παῦσαι τὴν γυναῖκα διαφθείρων'. τοιοῦτον γὰρ

1, 235—237 H. 6, 271—273 R.

4. Homer. Z 347 15. ἀφισταμένοις Hauptius: ἀφισταμένους 17. Homer. Z 326 21. Id. I 109 24. τὸ οὐκ Reiskius: καὶ οὐκ καὶ ἠγνόησας W: τοῦ ἠγνόησας

ἡ θεραπευτικὴ παρρησία ζητεῖ τρόπον, ἡ δὲ πληκτικὴ τὸν ἐναντίον. ὅταν γὰρ ἢ μέλλοντας ἁμαρτάνειν ἐκκρούσαι δεήσῃ ἢ πρὸς ὁρμήν τινα βίαιον μεθισταμένους ἐξ ἐναντίας φερομένην ** ἢ πρὸς τὰ καλὰ μαλακῶς καὶ ἀπροθύμως ἔχοντας ἐντεῖναι καὶ παρορμῆσαι θελήσωμεν, εἰς αἰτίας δεῖ περιφέρειν ἀτόπους καὶ μὴ πρεπούσας τὸ γιγνόμενον. ὡς ὁ παρὰ Σοφοκλεῖ τὸν Ἀχιλλέα παροξύνων Ὀδυσσεὺς οὔ φησιν ὀργίζεσθαι διὰ τὸ δεῖπνον, ἀλλ'

B ‘ἤδη’ φησί ‘τὰ Τροίας εἰσορῶν ἑδώλια
δέδοικας’,

καὶ πρὸς ταῦτα πάλιν τοῦ Ἀχιλλέως διαγανακτοῦντος καὶ ἀποπλεῖν λέγοντος

‘ἐγῷδ' ὃ φεύγεις, οὐ τὸ μὴ κλύειν κακῶς,
ἀλλ' ἐγγὺς Ἕκτωρ ἐστί· οὐ μένειν καλόν'.

τὸν μὲν οὖν θυμοειδῆ καὶ ἀνδρώδη δειλίας δόξῃ, τὸν δὲ σώφρονα καὶ κόσμιον ἀκολασίας, τὸν δ' ἐλευθέριον καὶ μεγαλοπρεπῆ μικρολογίας καὶ φιλαργυρίας δεδιττόμενοι παρορμῶσι πρὸς τὰ καλὰ καὶ τῶν αἰσχρῶν ἀπελαύνουσι, μέτριοι μὲν ἐν τοῖς ἀνηκέστοις ἐξεταζόC μενοι καὶ τὸ λυπούμενον καὶ τὸ συναλγοῦν πλέον ἐν τῷ παρρησιάζεσθαι τοῦ ψέγοντος ἔχοντες, ἐν δὲ ταῖς κωλύσεσι τῶν ἁμαρτανομένων καὶ πρὸς τὰ πάθη διαμάχαις σφοδροὶ καὶ ἀπαραίτητοι καὶ συνεχεῖς ὄντες· οὗτος γὰρ ὁ καιρὸς εὐνοίας ἀθρύπτου καὶ παρρησίας ἀληθινῆς ἐστι. τῷ δὲ ψέγειν τὰ πραχθέντα καὶ τοὺς ἐχθροὺς κατ' ἀλλήλων ὁρῶμεν χρωμένους, ὥσπερ Διογένης ἔλεγεν ὅτι τῷ μέλλοντι σώζεσθαι δεῖ φίλους

1, 237—238 H. 6, 273—275 R.

1. πληκτικὴ*: πρακτικὴ 3. μεθισταμένους*: ἱσταμένους 4. Hiatum significavi. Infinitivum deesse vidit Reiskius 10. Nauck. p. 129

Digitized by Google

ἀγαθοὺς ἢ διαπύρους ἐχθροὺς ὑπάρχειν· οἳ μὲν γὰρ διδάσκουσιν, οἳ δ' ἐλέγχουσι. βέλτιον δὲ τὰς ἁμαρτίας φυλάττεσθαι τοῖς συμβουλεύουσι πειθόμενον ἢ μετανοεῖν ἁμαρτόντα διὰ τοὺς κακῶς λέγοντας. καὶ D διὰ τοῦτο δεῖ καὶ περὶ τὴν παρρησίαν φιλοτεχνεῖν, ὅσῳ μέγιστον καὶ κράτιστόν ἐστιν ἐν φιλίᾳ φάρμακον, εὐστοχίας τε καιροῦ μάλιστα καὶ κράσεως μέτρον ἐχούσης ἀεὶ δεομένη.

37. Ἐπεὶ τοίνυν, ὥσπερ εἴρηται, πολλάκις ἡ παρρησία τῷ θεραπευομένῳ λυπηρὰ πέφυκε, δεῖ μιμεῖσθαι τοὺς ἰατρούς· οὔτε γὰρ ἐκεῖνοι τέμνοντες ἐν τῷ πονεῖν καὶ ἀλγεῖν καταλείπουσι τὸ πεπονθός, ἀλλ' ἐνέβρεξαν προσηνῶς καὶ κατηόνησαν, οὔθ' οἱ νουθετοῦντες ἀστείως τὸ πικρὸν καὶ δηκτικὸν προσβαλόντες ἀποτρέχουσιν, ἀλλ' ὁμιλίαις ἑτέραις καὶ λόγοις ἐπιεικέσιν ἐκπραῦνουσι καὶ διαχέουσιν, ὥσπερ οἱ λιθοξόοι E τὰ πληγέντα καὶ περικοπέντα τῶν ἀγαλμάτων ἐπιλεαίνοντες καὶ γανοῦντες. ὁ δὲ πληγεὶς μὲν τῇ παρρησίᾳ καὶ χαραχθείς, ἀφεθεὶς δὲ τραχὺς καὶ οἰδῶν καὶ ἀνώμαλος ὑπ' ὀργῆς δυσανάκλητος αὖθίς ἐστι καὶ δυσπαρηγόρητος. διὸ καὶ τοῦτο δεῖ παραφυλάττειν ἐν τοῖς μάλιστα τοὺς νουθετοῦντας καὶ μὴ προαπολείπειν, μηδὲ ποιεῖσθαι πέρας ὁμιλίας καὶ συνουσίας τὸ λυποῦν καὶ παροξύνον τοὺς συνήθεις.

1, 238—239 H. 6, 275—276 R.

Digitized by Google

ΑΙΣΘΟΙΤΟ ΕΑΥΤΟΥ ΠΡΟΚΟΠΤΟΝΤΟΣ ΕΠ' ΑΡΕΤΗι.

Β 1. Τίς τῶν λόγων, ὦ Cόccιε Cενεκίων, σώσει τὴν αὑτοῦ βελτιουμένου πρὸς ἀρετὴν συναίσθησιν, εἰ μηδεμίαν αἱ προκοπαὶ ποιοῦσι τῆς ἀφροσύνης ἄνεσιν, ἀλλ' ἴσῳ σταθμῷ πᾶσιν ἡ κακία περιτιθεμένη

'μολυβδὶς ὥστε δίκτυον κατέσπασεν'; 5

οὐδὲ γὰρ ἐν μουσικοῖς τις ἢ γραμματικοῖς ἐπιδιδοὺς ἂν γνοίη μηδὲν ἐν τῷ μανθάνειν ἀπαρύτων τῆς περὶ ταῦτα ἀμαθίας ἀλλ' ἴσης ἀεὶ τῆς ἀτεχνίας αὐτῷ παρούσης, οὐδὲ κάμνοντι θεραπεία μὴ ποιοῦσα ῥᾳστώνην μηδὲ κουφισμὸν ἀμωσγέπως τοῦ νοσήματος ὑπείκοντος καὶ χαλῶντος αἴσθησιν ἂν παρέχοι διαφορᾶς, 10
C πρὶν εἰλικρινῆ τὴν ἐναντίαν ἕξιν ἐγγενέσθαι παντάπασιν ἀναρρωσθέντος τοῦ σώματος. ἀλλ' ὥσπερ ἐν τούτοις οὐ προκόπτουσιν, ἂν προκόπτοντες ἀνέσει τοῦ βαρύνοντος οἷον ἐπὶ ζυγοῦ πρὸς τοὐναντίον 15

1, 240—241 H. 6, 277—278 R.

4. περιτιθεμένη Emperius: περιθεμένη 5. Nauck. p. 247

Digitized by Google

ἀναφερόμενοι μὴ γιγνώσκωσι τὴν μεταβολήν, οὕτως
ἐν τῷ φιλοσοφεῖν οὔτε προκοπὴν οὔτε τινὰ προκο-
πῆς αἴσθησιν ὑπολητέον, εἰ μηδὲν ἡ ψυχὴ μεθίησι
μηδ' ἀποκαθαίρεται τῆς ἀβελτερίας, ἄχρι δὲ τοῦ λα-
βεῖν τὸ ἄκρον ἀγαθὸν καὶ τέλειον ἀκράτῳ τῷ κακῷ
χρῆται. καὶ γὰρ ἐν ἀκαρεῖ χρόνου καὶ ὥρας ἐκ τῆς D
ὡς ἔνι μάλιστα φαυλότητος εἰς οὐκ ἔχουσαν ὑπερ-
βολὴν ἀρετῆς διάθεσιν μεταβάλοι ἂν ὁ σοφός, εἰ ἧς
οὐδ' ἐν χρόνῳ πολλῷ μέρος ἀφεῖλε κακίας ἅμα πᾶσαν
ἐξαίφνης ἐκπέφευγε. καίτοι ἤδη τοὺς ταῦτά γε λέ-
γοντας οἶσθα δήπου πάλιν πολλὰ παρέχοντας αὐτοῖς
πράγματα καὶ μεγάλας ἀπορίας περὶ τοῦ διαλεληθό-
τος, ὃς αὐτὸς ἑαυτὸν οὐδέπω κατείληφε γεγονὼς σο-
φός, ἀλλ' ἀγνοεῖ καὶ ἀμφιδοξεῖ τῷ κατὰ μικρὸν ἐν
χρόνῳ πολλῷ τὰ μὲν ἀφαιροῦντι τὰ δὲ προστιθέντι
γιγνομένην τὴν ἐπίδοσιν καθάπερ πορείαν τῇ ἀρετῇ
λαθεῖν ἀτρέμα προσμίξασαν. εἰ δέ γ' εἴη τάχος το-
σοῦτον τῆς μεταβολῆς καὶ μέγεθος, ὥστε τὸν πρῴ E
κάκιστον ἑσπέρας γεγονέναι κράτιστον, ἢ ἂν οὕτω
τινὶ συντύχῃ τὰ τῆς μεταβολῆς, καταδαρθόντα φαῦ-
λον ἀνεγρέσθαι σοφὸν καὶ προσειπεῖν ἐκ τῆς ψυχῆς
μεθεικότα τὰς χθιζὰς ἀβελτερίας καὶ ἀπάτας

ψευδεῖς ὄνειροι, χαίρετ'· οὐδὲν ἦτ' ἄρα',

τίς ἂν ἀγνοήσειεν αὐτοῦ διαφορὰν ἐν αὑτῷ τοσαύτην
γενομένην καὶ φρόνησιν ἀθρόον ἐκλάμψασαν; ἐμοὶ
μὲν γὰρ δοκεῖ μᾶλλον ἄν τις, ὡς ὁ Καινεύς, γενό-
μενος κατ' εὐχὴν ἀνὴρ ἐκ γυναικὸς ἀγνοῆσαι τὴν με-
τακόσμησιν, ἢ σώφρων καὶ φρόνιμος καὶ ἀνδρεῖος ἐκ

1, 241—242 H. 6, 278—280 B.

6. ἐν Xylander 8. εἰ Madvigius 17. γ' εἴη*: γε ἦν 20. καταδαρθόντα W: καταδαρθέντα 23. Eurip. Iph. T. 569 24. ἂν Emperius

Digitized by Google

F δειλοῦ καὶ ἀνοήτου καὶ ἀκρατοῦς ἀποτελεσθεὶς καὶ μεταβαλὼν εἰς θεῖον ἐκ θηριώδους βίον ἀκαρῆ διαλαθεῖν αὐτόν.

2. Ἀλλ' ὀρθῶς μὲν εἴρηται τό

'πρὸς στάθμῃ
πέτρον τίθεσθαι, μή τι πρὸς πέτρῳ στάθμην'.

οἱ δὲ μὴ τιθέμενοι τὰ δόγματα πρὸς τοῖς πράγμασιν ἀλλὰ τὰ πράγματα πρὸς ταῖς ἑαυτῶν ὑποθέσεσιν, ὁμολογεῖν μὴ πεφυκότα καταβιαζόμενοι πολλῶν ἀπο-
76 ριῶν ἐμπεπλήκασι τὴν φιλοσοφίαν, μεγίστης δὲ τῆς εἰς μίαν ὁμοῦ κακίαν πάντας ἀνθρώπους πλὴν ἑνὸς τοῦ τελείου τιθεμένης, ὑφ' ἧς αἴνιγμα γέγονεν ἡ λεγομένη προκοπή, μικρὸν ἀπολείπουσα ἐσχάτης ἀφροσύνης, τοὺς δὲ μὴ πάντων ἅμα παθῶν καὶ νοσημάτων ἀφειμένους ὑπ' αὐτῆς ἔτι τοῖς μηδενὸς ἀπηλλαγμένοις τῶν κακίστων ὁμοίως παρέχουσα κακοδαιμονοῦντας. οὗτοι μὲν οὖν ἑαυτοὺς ἐλέγχουσιν, ἐν μὲν ταῖς σχολαῖς ἴσην ἀδικίαν τὴν Ἀριστείδου τῇ Φαλάριδος τιθέμενοι, καὶ δειλίαν τὴν Βρασίδου τῇ Δόλωνος, καὶ
B νὴ Δία τῆς Μελήτου μηδ' ὁτιοῦν τὴν Πλάτωνος ἀγνωμοσύνην διαφέρουσαν, ἐν δὲ τῷ βίῳ καὶ τοῖς πράγμασιν ἐκείνους μὲν ἐκτρεπόμενοι καὶ φεύγοντες ὡς ἀμειλίκτους, τούτοις δ' ὡς ἀξίοις πολλοῦ τὰ μέγιστα καὶ χρώμενοι καὶ πιστεύοντες.

3. Ἡμεῖς δὲ παντὶ γένει κακοῦ, μάλιστα δὲ τῷ περὶ ψυχὴν ἀτάκτῳ καὶ ἀορίστῳ τὸ μᾶλλον καὶ ἧττον ἐγγιγνόμενον ὁρῶντες (ᾗ καὶ διαφέρουσιν αἱ προκοπαί, καθάπερ σκιᾶς ἀνέσει τῆς μοχθηρίας τοῦ λόγου

1, 242—243 H. 6, 280—282 B.

5. Nauck. p. 697 8. ταῖς — ὑποθέσεσιν*: τὰς — ὑποθέσεις 14. μὴ W

Digitized by Google

διαφωτίζοντος. ἀτρέμα τὴν ψυχὴν καὶ διακαθαίροντος)
οὐκ ἄλογον οἰόμεθα τὴν συναίσθησιν εἶναι τῆς μετα-
βολῆς ὥσπερ ἐκ βυθοῦ τινὸς ἀναφερομένοις, ἀλλ'
ἔχουσαν ἐπιλογισμούς. ὧν σκόπει τὸν πρῶτον εὐ- C
θύς. εἰ καθάπερ οἱ τὸ ἀχανὲς θέοντες ἱστίοις πέλα-
γος ἅμα τῷ χρόνῳ πρὸς τὴν τοῦ πνεύματος ῥώμην
ἀναμετροῦνται τὸν δρόμον, ὅσον εἰκὸς ἐν τοσούτῳ
γεγονότι ὑπὸ τοσαύτης κομιζομένοις ἠνύσθαι δυνά-
μεως, οὕτως ἄν τις ἐν φιλοσοφίᾳ τὸ ἐνδελεχὲς καὶ τὸ
συνεχὲς τῆς πορείας καὶ μὴ πολλὰς διὰ μέσου ποιού-
μενον ἐπιστάσεις, εἶτ' αὖθις ὁρμὰς καὶ ἐπιπηδήσεις,
ἀλλὰ λείως καὶ ὁμαλῶς τοῦ πρόσθεν ἐπιλαμβανόμε-
νον ἀεὶ καὶ διὸν ἀπταίστως διὰ τοῦ λόγου τεκμήριον
ἑαυτῷ ποιήσαιτο προκοπῆς. τὸ γάρ

'εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο
καὶ θαμὰ τοῦθ' ἕρδοις'

οὐ πρὸς ἀργυρίου μόνον αὔξησιν εἴρηται καλῶς, ἀλλ' D
εἰς ἅπαντα ποιεῖ, μάλιστα δ' εἰς ἀρετῆς ἐπίδοσιν,
πολὺ καὶ τελεσιουργὸν ἔθος τοῦ λόγου προσλαμβά-
νοντος· αἱ δ' ἀνωμαλίαι καὶ ἀμβλύτητες τῶν φιλοσο-
φούντων οὐ μόνας ποιοῦσιν ἐποχὰς ὥσπερ ἐν ὁδῷ
τῆς προκοπῆς, ἀλλὰ καὶ ἀναλύσεις, ἀεὶ τῷ παρεί-
κοντι κατὰ σχολὴν τῆς κακίας ἐπιτιθεμένης καὶ πρὸς
τοὐναντίον ἀνθυποφερούσης. τοὺς μὲν γὰρ πλανήτας
οἱ μαθηματικοὶ στηρίζειν λέγουσι παυσαμένης τῆς εἰς
τοὔμπροσθεν αὐτῶν πορείας, ἐν δὲ τῷ φιλοσοφεῖν οὐκ
ἔστι ληγούσης διάλειμμα προκοπῆς οὐδὲ στηριγμός,
ἀλλ' ἀεί τινας ἔχουσα κινήσεις ἡ φύσις ὥσπερ ἐπὶ E
ζυγοῦ ῥέπειν ἐθέλει καὶ κατατείνεσθαι ταῖς βελτίοσιν,

1, 243—245 H. 6, 282—284 R.

5. τὸ*: πρὸς 7. ὅσον Reiskius: ὡς 15. Hesiod. O. et D. 361

Digitized by Google

ἢ ταῖς ἐναντίαις πρὸς τὸ χεῖρον οἴχεται φερομένη. ἂν οὖν κατὰ τὸν δοθέντα χρησμὸν Ἀμφικτύοσιν ὑπὸ τοῦ θεοῦ Κιρραίοις πάντ' ἤματα καὶ πάσας νύκτας πολεμεῖν' οὕτω συνίδῃς σεαυτὸν ἡμέρας τε καὶ νύκτωρ ἀεὶ τῇ κακίᾳ διαμεμαχημένον, ἢ μὴ πολλάκις γε τὴν φρουρὰν ἀνεικότα μηδὲ συχνῶς παρ' αὐτῆς οἱονεὶ κήρυκας ἡδονάς τινας ἢ ῥᾳστώνας ἢ ἀσχολίας ἐπὶ σπονδαῖς προσδεδεγμένον, εἰκότως ἂν εὐθαρσὴς καὶ πρόθυμος βαθίζοις ἐπὶ τὸ λειπόμενον.

F 4. Οὐ μὴν ἀλλὰ κἂν ᾖ διαλείμματα γιγνόμενα τοῦ φιλοσοφεῖν, τὰ δ' ὕστερα τῶν πρότερον ἑδραιότερα καὶ μακρότερα, σημεῖον οὐ φαῦλόν ἐστιν ἐκθλιβομένης πόνῳ καὶ ἀσκήσει τῆς ῥᾳθυμίας· τὸ δ' ἐναντίον πονηρόν, αἱ μετ' οὐ πολὺν χρόνον πολλαὶ καὶ συνεχεῖς ἀνακοπαί, τῆς προθυμίας οἷον ἀπομαραινομένης. ὡς γὰρ ἡ τοῦ καλάμου βλάστησις, ὁρμὴν
77 ἔχουσα πλείστην ἀπ' ἀρχῆς εἰς μῆκος ὁμαλὸν καὶ συνεχές, τὸ πρῶτον ἐν διαστήμασι μεγάλοις ὀλίγας λαμβάνουσα προσκρούσεις καὶ ἀντικοπάς, εἶθ' οἷον ὑπ' ἄσθματος ἄνω δι' ἀσθένειαν ἀπαγορεύουσα πολλοῖς ἐνίσχεται καὶ πυκνοῖς τοῖς γόνασι, τοῦ πνεύματος πληγὰς καὶ τρόμους λαμβάνοντος, οὕτως ὅσοι τὸ πρῶτον μεγάλαις ἐκδρομαῖς ἐχρήσαντο πρὸς φιλοσοφίαν, εἶτα πολλὰ καὶ συνεχῆ προσκρούσματα καὶ διασπάσματα λαμβάνουσι μηδενὸς διαφόρου πρὸς τὸ
B βέλτιον ἐπαισθανόμενοι, τελευτῶντες ἐξέκαμον καὶ ἀπηγόρευσαν. 'τῷ δ' εὖτε πτερὰ γίγνετο' δι' ὠφέ-

1, 245—246 H. 6, 284—286 R.

2. Ἀμφικτύοσιν* ὑπὸ τοῦ θεοῦ Κιρραίοις Boissonadius: Κιρραίοις ὑπὸ τοῦ θεοῦ 4. συνίδῃς Reiskius: συνειδῇς 6. συχνῶς Emperius: συνεχῶς 27. τῷ δ'] Homer. Τ 386 εὖτε*: αὖτε

Digitized by Google

λειαν φερομένῳ καὶ διακόπτοντι τὰς προφάσεις ὥσπερ ὄχλον ἐμποδὼν ὄντα ῥώμῃ καὶ προθυμίᾳ τῆς ἀνύσεως. καθάπερ οὖν ἔρωτος ἀρχομένου σημεῖόν ἐστιν οὐ τὸ χαίρειν τῷ καλῷ παρόντι (τοῦτο γὰρ κοινόν) ἀλλὰ τὸ δάκνεσθαι καὶ ἀλγεῖν ἀποσπώμενον, οὕτως ἄγονται μὲν ὑπὸ φιλοσοφίας πολλοὶ καὶ σφόδρα γε φιλοτίμως ἀντιλαμβάνεσθαι τοῦ μανθάνειν δοκοῦσιν, ἂν δ' ἀπέλθωσιν ὑπὸ πραγμάτων ἄλλων καὶ ἀσχολιῶν, ἐξερρύη τὸ πάθος αὐτῶν ἐκεῖνο, καὶ ῥᾳδίως φέρουσιν. 'ὅτῳ δ' ἔρωτος δῆγμα παιδικῶν προσῇ,' C μέτριος μὲν ἄν σοι φανείη καὶ πρᾶος ἐν τῷ παρεῖναι καὶ συμφιλοσοφεῖν· ὅταν δ' ἀποσπασθῇ καὶ χωρὶς γένηται, θεῶ φλεγόμενον καὶ ἀδημονοῦντα καὶ δυσκολαίνοντα πᾶσι πράγμασι καὶ ἀσχολίαις, μνήμῃ δὲ φίλων ὥσπερ ἄλογος ἐλαύνεται πόθῳ τῷ πρὸς φιλοσοφίαν. οὐ γὰρ δεῖ τοῖς λόγοις εὐφραίνεσθαι μὲν παρόντας ὥσπερ τοῖς μύροις, ἀποστάντας δὲ μὴ ζητεῖν μηδ' ἀσχάλλειν, ἀλλὰ πείνῃ τινὶ καὶ δίψῃ πάθος ὅμοιον ἐν τοῖς ἀποσπασμοῖς πάσχοντας ἔχεσθαι τοῦ προκόπτοντος ἀληθῶς, ἄν τε γάμος ἄν τε πλοῦς ἄν τε φρουρά τις ἄν τε στρατεία προσπεσοῦσα ποιήσῃ D τὸν χωρισμόν. ὅσῳ γὰρ πλέον ἐστὶ τὸ προσειλημμένον ἐκ φιλοσοφίας, τοσούτῳ μᾶλλον ἐνοχλεῖ τὸ ἀπολειπόμενον.

5. Τούτῳ δ' ὁμοῦ τι ταὐτόν ἐστιν ἢ σύνεγγυς τὸ πρεσβύτατον δήλωμα προκοπῆς τοῦ Ἡσιόδου, μηκέτι προσάντη μηδ' ὄρθιον ἄγαν ἀλλὰ ῥᾳδίαν καὶ λείαν καὶ δι' εὐπετείας εἶναι τὴν ὁδόν, οἷον ἐκλεαινομένην τῇ ἀσκήσει καὶ φῶς ἐν τῷ φιλοσοφεῖν καὶ λαμπρότητα ποιοῦσαν ἐξ ἀπορίας καὶ πλάνης καὶ μεταμε-

1, 246—248 H. 6, 286—288 R.

21. φρουρά*: φιλία 26. Ἡσιόδου] O. et D. 289

Digitized by Google

λειῶν, αἷς προστυγχάνουσιν οἱ φιλοσοφοῦντες τὸ πρῶτον, ὥσπερ οἱ γῆν ἀπολιπόντες ἣν ἴσασι, μηδέπω
E δὲ καθορῶντες ἐφ' ἣν πλέουσι. προέμενοι γὰρ τὰ κοινὰ καὶ συνήθη πρὶν ἢ τὰ βελτίονα γνῶναι καὶ λαβεῖν, ἐν μέσῳ περιφέρονται πολλάκις ὑποτρεπόμενοι. καθάπερ φασὶ Σέξτιον τὸν Ῥωμαῖον ἀφεικότα τὰς ἐν τῇ πόλει τιμὰς καὶ ἀρχὰς διὰ φιλοσοφίαν, ἐν δὲ τῷ φιλοσοφεῖν αὖ πάλιν δυσπαθοῦντα καὶ χρώμενον τῷ λόγῳ χαλεπῷ τὸ πρῶτον, ὀλίγου δεῆσαι καταβαλεῖν ἑαυτὸν ἔκ τινος διήρους. καὶ περὶ Διογένους ὅμοια τοῦ Σινωπέως ἱστοροῦσιν ἀρχομένου φιλοσοφεῖν, ὡς Ἀθηναίοις ἦν ἑορτὴ καὶ δεῖπνα δημοτελῆ καὶ θέατρα,
F καὶ συνουσίας μετ' ἀλλήλων ἔχοντες ἐχρῶντο κώμοις καὶ παννυχίσιν, ὁ δ' ἔν τινι γωνίᾳ συνεσπειραμένος ὡς καθευδήσων ἐνέπιπτεν εἰς λογισμοὺς τρέποντας αὐτὸν οὐκ ἀτρέμα καὶ θραύοντας, ὡς οὐδ' ἀπὸ μιᾶς ἀνάγκης εἰς ἐπίπονον καὶ ἀλλόκοτον ἥκων βίον αὐτὸς ὑφ' ἑαυτοῦ κάθηται τῶν ἀγαθῶν ἁπάντων ἐστερημένος. εἶτα μέντοι μῦν τινα προσερπύσαντα λέγεται περὶ τὰς ψίχας αὐτοῦ τῆς μάζης ἀναστρέφεσθαι,
78 τὸν δ' αὖθις ἀναφέρειν τῷ φρονήματι καὶ λέγειν πρὸς ἑαυτὸν οἷον ἐπιπλήττοντα καὶ κακίζοντα 'τί φῄς, ὦ Διόγενες; τοῦτον μὲν εὐωχεῖ τὰ σὰ λείμματα, σὺ δ' ὁ γενναῖος ὅτι μὴ μεθύεις ἐκεῖ κατακείμενος ἐν ἁπαλοῖς καὶ ἁνθινοῖς στρώμασιν ὀδύρῃ καὶ θρηνεῖς σεαυτόν; ὅταν οὖν οἱ τοιοῦτοι κατασπασμοὶ γένωνται μὴ πολλάκις, αἵ τε πρὸς αὐτοὺς ἐξερείσεις καὶ ἀνακρούσεις τοῦ φρονήματος ὥσπερ ἐκ τροπῆς ταχεῖαι παρῶσι καὶ διαλύωσι ῥᾳδίως τὸν ἄλυν καὶ τὴν ἀδημονίαν, ἔν τινι βεβαίῳ δεῖ νομίζειν τὴν προκοπὴν εἶναι.

6. Ἐπεὶ δ' οὐ μόνον ἐξ αὐτῶν τὰ κατασείοντα

Digitized by Google

καὶ στρέφοντα πρὸς τοὐναντίον ὑπ' ἀσθενείας ἐπιγίγνεται τοῖς φιλοσοφοῦσιν, ἀλλὰ καὶ φίλων συμβουλαὶ B μετὰ σπουδῆς καὶ διαφόρων ἀντιλήψεις ἐν γέλωτι καὶ παιδιᾷ γιγνόμεναι κάμπτουσι καὶ μαλάσσουσιν, ἐνίους δὲ καὶ τέλεον ἤδη φιλοσοφίας ἐξέσεισαν, οὐ φαῦλον ἄν τι προκοπῆς εἴη σημεῖον ἡ πρὸς ταῦτα πραότης ἑκάστου καὶ τὸ μὴ ταραττόμενον μηδὲ κνιζόμενον ὑπὸ τῶν λεγόντων καὶ ὀνομαζόντων ἥλικάς τινας ἐν αὐλαῖς βασιλέων εὐημεροῦντας ἢ φερνὰς ἐπὶ γάμοις λαμβάνοντας ἢ κατιόντας ὑπὸ πλήθους εἰς ἀγορὰν ἐπ' ἀρχήν τινα ἢ συνηγορίαν. ὁ γὰρ ἀνέκπληκτος ἐν τούτοις καὶ ἄτεγκτος ἤδη δῆλός ἐστιν εἰλημμένος ἣν προσήκει λαβὴν ὑπὸ φιλοσοφίας. οὐ γὰρ οἷόν τε C παύσασθαι ζηλοῦντας ἅπερ οἱ πολλοὶ θαυμάζουσιν, οἷς ἂν μὴ τὸ θαυμάζειν ἀρετὴν ἐγγένηται. πρὸς μὲν γὰρ ἀνθρώπους ἀποθραύνεσθαι καὶ δι' ὀργὴν ἐνίοις παρέστη καὶ διὰ παραφροσύνην· ὧν δὲ θαυμάζουσιν ἄνθρωποι πραγμάτων οὐκ ἔστιν ἄνευ φρονήματος ἀληθινοῦ καὶ βεβαίου καταφρονῆσαι. διὸ καὶ ταῦτα παραβάλλοντες ἐκείνοις ἐπιγαυροῦσιν ἑαυτούς, ὥσπερ ὁ Σόλων

'ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδόν ἀιεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει'.

καὶ Διογένης τὴν εἰς Ἀθήνας ἐκ Κορίνθου καὶ πάλιν D εἰς Κόρινθον ἐξ Ἀθηνῶν μετάβασιν ἑαυτοῦ παρέβαλλε ταῖς βασιλέως ἔαρος μὲν ἐν Σούσοις καὶ χειμῶνος ἐν Βαβυλῶνι, θέρους δ' ἐν Μηδίᾳ διατριβαῖς. καὶ ὁ Ἀγησίλαος περὶ τοῦ μεγάλου βασιλέως 'τί γὰρ ἐμοῦ

1, 249—250 H. 6, 290—291 R.

1. ἐπιγίγνεται Reiskius: ἐπιτείνεται 22. Bergk. fr. 15

Digitized by Google

μείζων ἐκεῖνος, εἰ μὴ καὶ δικαιότερος'; ὁ δ' Αριστοτέλης πρὸς Ἀντίπατρον περὶ Ἀλεξάνδρου γράφων ἔφη μὴ μόνον ἐκείνῳ προσήκειν ὅτι πολλῶν κρατεῖ μέγα φρονεῖν, ἀλλ' οὐδὲν ἧττον εἴ τις ὀρθῶς γιγνώ-
E σκει περὶ θεῶν. ὁ δὲ Ζήνων ὁρῶν τὸν Θεόφραστον 5
ἐπὶ τῷ πολλοὺς ἔχειν μαθητὰς θαυμαζόμενον, 'ὁ Ἀκείνου χορός' ἔφη 'μείζων, οὑμὸς δὲ συμφωνότερος'.

7. Ὅταν οὖν οὕτως τὰ τῆς ἀρετῆς πρὸς τὰ ἐκτὰς ἀντιτιθεὶς ὑπεκχέῃς φθόνους καὶ ζηλοτυπίας καὶ τὰ κνίζοντα καὶ ταπεινοῦντα πολλοὺς τῶν ἀρχομένων 10
φιλοσοφεῖν, μέγα καὶ τοῦτο δήλωμα σεαυτῷ τοῦ προκόπτειν ποιεῖς. οὐκ ἔστι δὲ μικρὸν οὐδ' ἡ περὶ τοὺς λόγους μεταβολή. πάντες γὰρ ὡς εἰπεῖν οἱ ἀρχόμενοι φιλοσοφεῖν τοὺς πρὸς δόξαν διώκουσι μᾶλλον, οἳ μὲν ὥσπερ ὄρνιθες ἐπὶ τὴν λαμπρότητα τῶν φυ- 15
σικῶν καὶ τὸ ὕψος ὑπὸ κουφότητος καὶ φιλοτιμίας καταίροντες, οἳ δ' 'ὥσπερ τὰ σκυλάκια' φησὶν ὁ Πλά-
F των 'τῷ ἕλκειν καὶ σπαράττειν χαίροντες' ἐπὶ τὰς ἔριδας καὶ τὰς ἀπορίας καὶ τὰ σοφίσματα χωροῦσιν, οἱ δὲ πλεῖστοι τοῖς διαλεκτικοῖς ἐνδύντες εὐθὺς ἐπι- 20
σιτίζονται πρὸς σοφιστείαν, ἔνιοι δὲ καὶ χρείας καὶ ἱστορίας ἀναλεγόμενοι περιίασιν, ὥσπερ Ἀνάχαρσις ἔλεγε τῷ νομίσματι πρὸς οὐδὲν ἢ τὸ ἀριθμεῖν χρωμένους ὁρᾶν τοὺς Ἕλληνας, οὕτω τοὺς λόγους παραριθμούμενοι καὶ παραμετροῦντες, ἄλλο δ' οὐδὲν εἰς 25
79 ὄνησιν αὐτῶν τιθέμενοι. συμβαίνει δὴ τὸ τοῦ Ἀντιφάνους, ὅ τις εἶπεν ἐπὶ τῶν Πλάτωνος συνήθων. ὁ γὰρ Ἀντιφάνης ἔλεγε παίζων ἔν τινι πόλει τὰς φωνὰς εὐθὺς λεγομένας πήγνυσθαι διὰ ψῦχος, εἶθ'

1, 250–251 H. 6, 291–293 R.

17. Πλάτων] Rep. VII. p. 539 B 27. εἶπεν ἐπὶ Madvigius: εἶπε

Digitized by Google

ὕστερον ἀνιεμένων ἀκούειν θέρους ἃ τοῦ χειμῶνος διελέχθησαν· οὕτω δὴ τῶν ὑπὸ Πλάτωνος ἔφη νέοις οὖσιν ἔτι λεχθέντων μόλις ποτὲ τοὺς πολλοὺς αἰσθάνεσθαι γέροντας γενομένους. καὶ πρὸς ὅλην δὲ τοῦτο τὴν φιλοσοφίαν πεπόνθασιν, ἄχρι οὗ κατάστασιν ἡ κρᾶσις λαβοῦσα τοῖς ἤθος ἐμποιοῦσι καὶ μέγεθος ἄρξηται συμφέρεσθαι καὶ ζητεῖν λόγους, ὧν κατὰ τὸν Αἶσωπον εἶσω μᾶλλον ἢ ἔξω τὰ ἴχνη τέτραπται. B ὥσπερ γὰρ ὁ Σοφοκλῆς ἔλεγε τὸν Αἰσχύλου διαπεπαιχὼς ὄγκον εἶτα τὸ πικρὸν καὶ κατάτεχνον τῆς αὐτοῦ κατασκευῆς τρίτον ἤδη τὸ τῆς λέξεως μεταβάλλειν εἶδος, ὅπερ ἠθικώτατόν ἐστι καὶ βέλτιστον, οὕτως οἱ φιλοσοφοῦντες, ὅταν ἐκ τῶν πανηγυρικῶν καὶ κατατέχνων εἰς τὸν ἁπτόμενον ἤθους καὶ πάθους λόγον μεταβῶσιν, ἄρχονται τὴν ἀληθῆ προκοπὴν προκόπτειν καὶ ἄτυφον.

8. Ὅρα δὴ μὴ μόνον φιλοσόφων συγγράμματα διεξιὼν καὶ λόγους ἀκούων εἰ μὴ πλέον τοῖς ὀνόμασι C μόνοις προσέχεις ἢ τοῖς πράγμασι μηδὲ μᾶλλον ἐπιπηδᾷς τοῖς τὸ δύσκολον ἔχουσι καὶ περιττὸν ἢ τοῖς τὸ χρήσιμον καὶ σάρκινον καὶ ὠφέλιμον, ἀλλὰ καὶ ποιήμασιν ὁμιλῶν καὶ ἱστορίᾳ παραφύλαττε σεαυτὸν εἰ μηδέν σε διαφεύγει τῶν πρὸς ἐπανόρθωσιν ἤθους ἢ πάθους κουφισμὸν ἐμμελῶς λεγομένων. ὥσπερ γὰρ ἄνθεσιν ὁμιλεῖν ὁ Σιμωνίδης φησὶ τὴν μέλισσαν 'ξανθὸν μέλι μηδομέναν', οἱ δ' ἄλλοι χρόαν αὐτῶν καὶ ὀσμήν, ἕτερον δ' οὐδὲν ἀγαπῶσιν οὐδὲ λαμβάνουσιν, οὕτως ὁ τῶν ἄλλων ἐν ποιήμασιν ἡδονῆς ἕνεκα καὶ

1, 251—253 H. 6, 293—295 R.

3. ποτὲ*: ὀψὲ 9. Σοφοκλῆς] Emendandi conatus enumerat Iahnius ad Soph. El. p. 2 25. Σιμωνίδης] Bergk. p. 1135[3] 28. οὕτως ὁ Madvigius: οὕτω

Digitized by Google

παιδιᾶς ἀναστρεφομένων αὐτὸς εὑρίσκων τι καὶ συν-
D άγων σπουδῆς ἄξιον ἔοικεν ἥδη γνωριστικὸς ὑπὸ
συνηθείας καὶ φιλίας τοῦ καλοῦ καὶ οἰκείου γεγονέ-
ναι. τοὺς μὲν γὰρ Πλάτωνι καὶ Ξενοφῶντι χρωμέ-
νους διὰ τὴν λέξιν, ἕτερον δὲ μηδὲν ἀλλ' ἢ τὸ κα-
θαρόν τε καὶ Ἀττικὸν ὥσπερ δρόσον καὶ χνοῦν ἀπο-
δρεπομένους τί ἂν ἄλλο φαίης ἢ φαρμάκων τὸ μὲν
εὐῶδες καὶ ἀνθηρὸν ἀγαπᾶν, τὸ δ' ἀνώδυνον καὶ
καθαρτικὸν μὴ προίεσθαι μηδὲ γιγνώσκειν; ἀλλ' οἵ
γε μᾶλλον ἔτι προκόπτοντες οὐκ ἀπὸ λόγων μόνον
ἀλλὰ καὶ θεαμάτων καὶ πραγμάτων πάντων ὠφελεῖ-
E σθαι δύνανται καὶ συνάγειν τὸ οἰκεῖον καὶ χρήσιμον,
οἷα καὶ περὶ Αἰσχύλου λέγεται καὶ περὶ ἄλλων δμοί-
ων. Αἰσχύλος μὲν γὰρ Ἰσθμοῖ θεώμενος ἀγῶνα πυ-
κτῶν, ἐπεὶ πληγέντος τοῦ ἑτέρου τὸ θέατρον ἐξέκραγε,
νύξας Ἴωνα τὸν Χῖον 'ὁρᾷς' ἔφη 'οἷόν ἐστιν ἡ ἄσκη-
σις; ὁ πεπληγὼς σιωπᾷ, οἱ δὲ θεώμενοι βοῶσιν'.
Βρασίδας δὲ μῦν τινα συλλαβὼν ἐν ἰσχάδι καὶ δηχθεὶς
ἀφῆκεν· εἶτα πρὸς ἑαυτόν 'ὦ Ἡράκλεις' ἔφη, 'ὡς
οὐδέν ἐστι μικρὸν οὐδ' ἀσθενές, ὃ μὴ ζήσεται τολ-
μῶν ἀμύνεσθαι'. Διογένης δὲ τὸν πίνοντα ταῖς χερσὶ
θεασάμενος ἐξέβαλε τῆς πήρας τὸ ποτήριον. οὕτω
F τὸ προσέχειν καὶ τετάσθαι τὴν ἄσκησιν αἰσθητικοὺς
καὶ δεκτικοὺς ποιεῖ τῶν πρὸς ἀρετὴν φερόντων ἁπαν-
ταχόθεν. γίγνεται δὲ τοῦτο μᾶλλον ἂν τοὺς λόγους
ταῖς πράξεσι μιγνύωσι, μὴ μόνον, ὡς Θουκυδίδης
ἔλεγε, 'μετὰ κινδύνων ποιούμενοι τὰς μελέτας,' ἀλλὰ
καὶ πρὸς ἡδονὰς καὶ πρὸς ἔριδας καὶ περὶ κρίσεις καὶ
συνηγορίας καὶ ἀρχάς, οἷον ἀπόδειξιν αὐτοῖς τῶν δογ-

1, 253—254 H. 6, 296—297 B.

16. ἐστιν ἡ ἄσκησις Stobaeus Flor. XXIX 89: ἡ ἄσκησίς ἐστιν 26. Θουκυδίδης] I 18

Digitized by Google

μάτων διδόντες, μᾶλλον δὲ τῷ χρῆσθαι ποιοῦντες τὰ δόγματα. ὡς τούς γε μανθάνοντας ἔτι καὶ πραγ- 80
ματευομένους καὶ σκοποῦντας ὃ λαβόντες ἐκ φιλοσοφίας εὐθὺς εἰς ἀγορὰν ἢ νέων διατριβὴν ἢ βασιλικὸν συμπόσιον ἐκκυκλήσουσιν, οὐ μᾶλλον οἴεσθαι χρὴ φιλοσοφεῖν ἢ τοὺς τὰ φάρμακα πωλοῦντας ἰατρεύειν· μᾶλλον δ' ὅλως οὐδὲν ὁ τοιοῦτος σοφιστὴς διαφέρει τῆς Ὁμηρικῆς ὄρνιθος, ὅ τι ἂν λάβῃ τοῖς μαθηταῖς ὥσπερ 'ἀπτῆσι νεοσσοῖσιν προφέρων' διὰ τοῦ στόματος.

'κακῶς δέ τέ οἱ πέλει αὐτῷ'

μηδὲν εἰς ὄνησιν οἰκείαν ἀναδιδόντι μηδὲ καταπέττοντι τῶν λαμβανομένων.

9. Ὅθεν ἐπισκοπεῖν ἀναγκαῖον εἰ χρώμεθα τῷ B
λόγῳ πρὸς ἑαυτοὺς μὲν χρηστικῶς, πρὸς ἑτέρους δὲ μὴ δόξης εἰκαίας ἕνεκα μηδ' ἐκ φιλοτιμίας, ἀλλὰ μᾶλλον ἀκοῦσαί τι καὶ διδάξαι βουλόμενοι, μάλιστα δ' εἰ τὸ φιλόνεικον καὶ δύσερι περὶ τὰς ζητήσεις ὑφεῖται καὶ πεπαύμεθα τοὺς λόγους ὥσπερ ἱμάντας ἢ σφαίρας ἐπιδούμενοι πρὸς ἀλλήλους καὶ τῷ πατάξαι καὶ καταβαλεῖν μᾶλλον ἢ τῷ μαθεῖν τι καὶ διδάξαι χαίροντες· ἡ γὰρ ἐν τούτοις ἐπιείκεια καὶ πραότης καὶ τὸ μὴ μετ' ἀγῶνος συνίστασθαι μήτε διαλύεσθαι μετ' ὀργῆς τὰς κοινολογίας μηδ' οἷον ἐφυβρίζειν C
ἐλέγξαντας ἢ χαλεπαίνειν ἐλεγχθέντας ἱκανῶς προκόπτοντός ἐστιν. ἐδήλωσε δ' Ἀρίστιππος ἔν τινι λόγῳ κατασοφισθεὶς ὑπ' ἀνθρώπου τόλμαν μὲν ἔχοντος, ἄλλως δ' ἀνοήτου καὶ μανικοῦ. χαίροντα γὰρ ὁρῶν αὐτόν 'ἐγὼ μέν' εἶπεν 'ὁ ἐλεγχθεὶς ἄπειμι σοῦ τοῦ

1, 254—255 H. 6, 297—299 R.

8. Ὁμηρικῆς] l 323 λάβῃ Pflugkius: λάβοι 9. νεοσσοῖσιν*: νεοσσοῖς προφέρων*: προσφέρων 19. περιδούμενοι W

Digitized by Google

ἐλέγξαντος ἥδιον καθευδήσων'. ἔστι δὲ καὶ λέγοντας ἑαυτῶν λαμβάνειν διάπειραν εἰ μήτε πολλῶν παρὰ προσδοκίαν συνελθόντων ὑπὸ δειλίας ἀναδυόμεθα, μήτ' ἐν ὀλίγοις ἀθυμοῦμεν ἀγωνιζόμενοι, μήτε πρὸς
D δῆμον ἢ πρὸς ἀρχὴν εἰπεῖν δεῆσαν ἐνδείᾳ τῆς περὶ τὴν λέξιν παρασκευῆς προϊέμεθα τὸν καιρόν, οἷα περὶ Δημοσθένους λέγουσι καὶ Ἀλκιβιάδου. καὶ γὰρ οὗτος νοῆσαι μὲν πράγματα δεινότατος ὢν περὶ δὲ τὴν λέξιν ἀθαρσέστερος ἑαυτὸν διέκρουεν ἐν τοῖς πράγμασι, καὶ πολλάκις ἐν αὐτῷ τῷ λέγειν ζητῶν καὶ διώκων
ὄνομα καὶ ῥῆμα διαφεῦγον ἐξέπιπτεν· ** Ὅμηρος δὲ τὸν πρῶτον οὐ διηνέχθη τῶν στίχων ἐξενεγκὼν ἄμετρον· τοσοῦτον περιῆν αὐτῷ φρονήματος εἰς τὰ λοιπὰ διὰ τὴν δύναμιν. οὐκοῦν μᾶλλον εἰκός ἐστιν, οἷς
E πρὸς ἀρετὴν καὶ τὸ καλὸν ἡ ἅμιλλα, τῷ καιρῷ καὶ τοῖς πράγμασι χρῆσθαι τῶν ἐπὶ ταῖς λέξεσι θορύβων καὶ κρότων ἐλάχιστα φροντίζοντας.

10. Οὐ μόνον δὲ δεῖ τοὺς λόγους ἀλλὰ καὶ τὰς πράξεις ἕκαστον ἐπισκοπεῖν εἰ τὸ χρειῶδες τοῦ παντηγυρικοῦ καὶ τοῦ πρὸς ἐπίδειξιν αὐταῖς πλέον ἔνεστι
τὸ πρὸς ἀλήθειαν. εἰ γὰρ ἀληθινὸς ἔρως παιδὸς ἢ γυναικὸς οὐ ζητεῖ μάρτυρας, ἀλλὰ καρποῦται τὸ ἡδὺ κἂν κρύφα κατεργάσηται τὸν πόθον, ἔτι μᾶλλον εἰκός ἐστι τὸν φιλόκαλον καὶ φιλόσοφον συνόντα διὰ τῶν πράξεων τῇ ἀρετῇ καὶ χρώμενον αὐτὸν ἐν ἑαυτῷ
σιωπῇ μέγα φρονεῖν, ἐπαινετῶν μηδὲν δεόμενον.
F ὥσπερ οὖν ὁ καλῶν ἐκεῖνος οἴκοι τὴν θεραπαινίδα καὶ βοῶν 'θέασαι, Διονυσία, πέπαυμαι τετυφωμένος', οὕτως ὁ ποιήσας τι χάριεν καὶ ἀστεῖον εἶτα τοῦτο

1, 255—256 H. 6, 299—301 R

11. Hiatum signavi. De Demosthene apodosin excidisse vidit Wyttenbachius

Digitized by Google

διηγούμενος καὶ περιφέρων ἁπανταχόσε δῆλός ἐστιν ἔξω βλέπων ἔτι καὶ πρὸς δόξαν ἑλκόμενος, οὔπω δὲ τῆς ἀρετῆς γεγονὼς θεατής, οὐδ' ὕπαρ ἀλλ' ὄναρ αὐτῆς ἐν εἰδώλοις καὶ σκιαῖς ῥεμβόμενος, εἶθ' ὥσπερ ζωγράφημα προτιθεὶς ἐπὶ θέαν τὸ πεπραγμένον. ἔστιν οὖν τοῦ προκόπτοντος οὐ μόνον δόντα τῷ φίλῳ καὶ 81
γνώριμον εὐεργετήσαντα μὴ φράσαι πρὸς ἑτέρους, ἀλλὰ καὶ ψῆφον ἐν πολλαῖς θέμενον ἀδίκοις δικαίαν καὶ πρὸς ἔντευξιν αἰσχρὰν πλουσίου τινὸς ἢ ἄρχοντος ἀπισχυρισάμενον καὶ δωρεᾶς ὑπεριδόντα καὶ νὴ Δία διψήσαντα νύκτωρ καὶ μὴ πιόντα ἢ πρὸς φίλημα καλῆς ἢ καλοῦ διαμαχεσάμενον, ὡς ὁ Ἀγησίλαος, ἐν ἑαυτῷ κατασχεῖν καὶ σιγῆσαι. τὸ γὰρ αὐτὸν εὐδοκιμοῦντα παρ' ἑαυτῷ μὴ καταφρονεῖν ἀλλὰ χαίρειν κἀγαπᾶν ὡς ἱκανὸν ὄντα μάρτυν ἅμα καὶ θεατὴν τῶν καλῶν δείκνυσι τὸν λόγον ἐντὸς ἤδη τρεφόμενον καὶ B
ῥιζούμενον ἐν ἑαυτῷ καὶ κατὰ Δημόκριτον αὐτὸν ἐξ ἑαυτοῦ 'τὰς τέρψιας ἐθιζόμενον λαμβάνειν'. οἱ μὲν οὖν γεωργοὶ τῶν σταχύων ἥδιον ὁρῶσι τοὺς κεκλιμένους καὶ νεύοντας ἐπὶ γῆν, τοὺς δ' ὑπὸ κουφότητος αἰρομένους ἄνω κενοὺς ἡγοῦνται καὶ ἀλαζόνας· οὕτω δὴ καὶ τῶν φιλοσοφεῖν βουλομένων νέων οἱ μάλιστα κενοὶ καὶ βάρος οὐκ ἔχοντες θράσος ἔχουσι καὶ σχῆμα καὶ βάδισμα καὶ πρόσωπον ὑπεροψίας καὶ ὀλιγωρίας μετὸν ἀφειδούσης ἁπάντων, ἀρχόμενοι δὲ πληροῦσθαι καὶ συλλέγειν καρπὸν ἀπὸ τῶν λόγων· τὸ σοβαρὸν καὶ φλοιῶδες ἀποτίθενται. καὶ καθάπερ ἀγγείων C
κενῶν ὑγρὸν δεχομένων ὁ ἐντὸς ἀὴρ ὑπέξειcιν ἐκθλιβόμενος, οὕτως ἀνθρώποις πληρουμένοις τῶν ἀληθινῶν ἀγαθῶν ἐνδίδωσιν ὁ τῦφος καὶ γίγνεται τὸ οἴημα

1, 256—257 H. 6, 301—302 R.

13. τὸ Madvigius: οὗτος

Digitized by Google

μαλακώτερον, καὶ παυόμενοι τοῦ διὰ πώγωνα καὶ τρίβωνα φρονεῖν μέγα τὴν ἄσκησιν ἐπὶ τὴν ψυχὴν μεταφέρουσι, καὶ τῷ δηκτικῷ καὶ πικρῷ χρῶνται πρὸς ἑαυτοὺς μάλιστα, τοῖς δ' ἄλλοις πραότερον ἐντυγχάνουσι. τὸ δὲ φιλοσοφίας ὄνομα καὶ τὴν τοῦ φιλοσοφεῖν δόξαν οὐχ ἁρπάζουσιν ἑαυτοῖς ὡς πρότερον
D οὐδὲ προσγράφουσιν, ἀλλὰ προσαγορευθεὶς ὑφ' ἑτέρου τῇ προσηγορίᾳ ταύτῃ φθάσας ἂν εὐφυὴς νέος εἴποι μετ' ἐρυθήματος

'οὔ τις τοι θεός εἰμι· τί μ' ἀθανάτοισιν ἐίσκεις;'

'νέας' μὲν γὰρ 'γυναικός', ὡς Αἰσχύλος φησίν, 'οὔ τι λανθάνει φλέγων

ὀφθαλμός, ἥτις ἀνδρὸς ἢ γεγευμένη'·

νέῳ δ' ἀνδρὶ γευσαμένῳ προκοπῆς ἀληθοῦς ἐν φιλοσοφίᾳ τὰ Σαπφικὰ ταυτὶ παρέπεται

'κἀμὲ μὲν γλῶσσα ἔαγε, λεπτὸν δ'
αὐτίκα χρῶ πῦρ ὑποδέδρομεν',

ἀθόρυβον δ' ὄψει καὶ πρᾶον ὄμμα, φθεγγομένου δ'
E ἂν ἀκοῦσαι ποθήσειας. ὥσπερ γὰρ οἱ τελούμενοι κατ' ἀρχὰς μὲν ἐν θορύβῳ καὶ βοῇ συνίασι πρὸς ἀλλήλους ὠθούμενοι, δρωμένων δὲ καὶ δεικνυμένων τῶν ἱερῶν προσέχουσιν ἤδη μετὰ φόβου καὶ σιωπῆς, οὕτω καὶ φιλοσοφίας ἐν ἀρχῇ καὶ περὶ θύρας πολὺν θόρυβον ὄψει καὶ λαλιὰν καὶ θρασύτητα, ὠθουμένων πρὸς τὴν δόξαν ἐνίων ἀγροίκως τε καὶ βιαίως· ὁ δ' ἐντὸς γενόμενος καὶ μέγα φῶς ἰδών, οἷον ἀνακτόρων ἀνοιγομένων, ἕτερον λαβὼν σχῆμα καὶ σιωπὴν καὶ θάμ-

1, 257—258 H. 6, 302—304 R.

10. Homer. π 187 11. Αἰσχύλος] Nauck. p. 61
16. κἀμ — δ'* (Bergk. p. 879[3]): κατὰ μὲν γλῶσσά γε λεπτὸν

Digitized by Google

βος ὥσπερ θεῷ τῷ λόγῳ 'ταπεινὸς ξυνέπεται καὶ κεκοσμημένος'. εἰς δὲ τούτους ἔοικε καὶ τὸ Μενεδήμῳ F πεπαιγμένον καλῶς λέγεσθαι· καταπλεῖν γὰρ ἔφη τοὺς πολλοὺς ἐπὶ σχολὴν Ἀθήναζε, σοφοὺς τὸ πρῶτον, εἶτα γίγνεσθαι φιλοσόφους, τοῦ χρόνου δὲ προϊόντος ἰδιώτας, ὅσῳ μᾶλλον ἅπτονται τοῦ λόγου, μᾶλλον τὸ οἴημα καὶ τὸν τῦφον κατατιθεμένους.

11. Τῶν τοίνυν δεομένων ἰατρείας οἱ μὲν ὀδόντα πονοῦντες ἢ δάκτυλον αὐτόθεν βαδίζουσι πρὸς τοὺς θεραπεύοντας, οἱ δὲ πυρέττοντες οἴκαδε καλοῦσι καὶ δέονται βρηθεῖν, οἱ δ' εἰς μελαγχολίαν ἢ φρενῖτιν ἢ παρακοπὴν ἥκοντες οὐδὲ φοιτῶντας ἐνιαχοῦ πρὸς αὐτοὺς ἀνέχονται, ἀλλ' ἐξελαύνουσιν· ἢ φεύγουσιν, ὑπὸ τοῦ σφόδρα νοσεῖν μηδ' ὅτι νοσοῦσιν αἰσθανόμε- 82 νοι. οὕτω δὴ καὶ τῶν ἁμαρτανόντων ἀνήκεστοι μέν εἰσιν οἱ πρὸς τοὺς ἐλέγχοντας καὶ νουθετοῦντας ἐχθρῶς καὶ ἀγρίως διατιθέμενοι καὶ χαλεπαίνοντες· οἱ δ' ὑπομένοντες καὶ προσιέμενοι πραότερον ἔχουσι. τὸ δ' ἑαυτὸν ἁμαρτόντα παρέχειν τοῖς ἐλέγχουσι καὶ τὸ πάθος λέγειν καὶ τὴν μοχθηρίαν διακαλύπτειν καὶ μὴ χαίρειν λανθάνοντα μηδ' ἀγαπᾶν ἀγνοούμενον ἀλλ' ὁμολογεῖν καὶ δεῖσθαι τοῦ ἁπτομένου καὶ νουθετοῦντος οὐ φαῦλον ἂν εἴη προκοπῆς σημεῖον. ὥς που Διογένης ἔλεγε τῷ σωτηρίας δεομένῳ ζητεῖν προσήκειν ἢ φίλον σπουδαῖον ἢ διάπυρον ἐχθρόν, ὅπως ἐλεγχόμενος ἢ θεραπευόμενος ἀποφεύγοι τὴν B κακίαν. ἄχρι δ' οὗ τις ἐπιδεικνύμενος ῥύπον ἢ κηλῖδα χιτῶνος ἢ διερρωγὸς ὑπόδημα καλλωπίζεται πρὸς τοὺς ἐκτὸς ἀτυφίᾳ κενῇ καὶ διασκώπτων αὐτὸς ἑαυτὸν ὡς μικρὸν ἢ ὡς κυρτὸν οἴεται νεανιεύεσθαι, τὰ

1, 258—259 H. 6, 304—305 B.

1. ξυνέπεται] Plat. Legg. p. 716 A

Digitized by Google

δ' ἐντὸς αἴσχη τῆς ψυχῆς καὶ τὰ περὶ τὸν βίον ἐγχρέμματα καὶ φθόνους καὶ κακοηθείας καὶ μικρολογίας καὶ φιληδονίας καὶ ὥσπερ ἕλκη περιστέλλων καὶ ἀποκρύπτων οὐδένα θιγεῖν οὐδὲ προσιδεῖν ἐᾷ δεδιὼς τὸν ἔλεγχον, ὀλίγον αὐτῷ προκοπῆς μέτεστι, μᾶλλον δ' οὐδέν. ἀλλ' ὁ τούτοις ὁμόσε χωρῶν καὶ μάλιστα μὲν αὐτὸς ἑαυτὸν ἀλγύνειν τε καὶ κακίζειν ἁμαρτάνοντα, δεύτερον δὲ παρέχειν ἑτέρου νουθετοῦντος ἐγκαρτεροῦντα καὶ καθαιρόμενον ὑπὸ τῶν ἐλέγχων καὶ δυνάμενος καὶ βουλόμενος, οὗτος ἀποτριβομένῳ καὶ βδελυττομένῳ τὴν μοχθηρίαν ἀληθῶς ἔοικε. δεῖ μὲν γὰρ ἀμέλει καὶ τὸ δοκεῖν εἶναι πονηρὸν αἰδεῖσθαι καὶ φεύγειν· ὁ δὲ τὴν οὐσίαν τῆς μοχθηρίας μᾶλλον ἢ τὴν ἀδοξίαν δυσχεραίνων οὐ φεύγει τὸ κακῶς ἀκοῦσαι καὶ εἰπεῖν ἐπὶ τῷ βελτίων γενέσθαι. χάριεν γὰρ τὸ τοῦ Διογένους πρός τινα νεανίσκον ὀφθέντα μὲν ἐν καπηλείῳ, καταφυγόντα δ' εἰς τὸ καπηλεῖον, 'ὅσῳ' γὰρ εἶπεν 'ἐνδοτέρω φεύγεις, μᾶλλον ἐν τῷ καπηλείῳ γίγνῃ'. καὶ τῶν φαύλων ἕκαστος ὅσῳ μᾶλλον ἀρνεῖται, τοσούτῳ μᾶλλον ἐνδύεται καὶ καθείργνυσιν ἑαυτὸν εἰς τὴν κακίαν. ἀμέλει τῶν πενομένων οἱ προσποιούμενοι πλουτεῖν ἔτι μᾶλλον πένονται διὰ τὴν ἀλαζονείαν· ὁ δὲ προκόπτων ἀληθῶς τὸν Ἱπποκράτη ποιεῖται παράδειγμα, τὸ περὶ τὰς ῥαφὰς τῆς κεφαλῆς ἀγνοηθὲν αὐτῷ καὶ ἐξαγορεύσαντα καὶ γράψαντα, λογιζόμενος ὅτι δεινόν ἐστιν ἐκεῖνον μέν, ὅπως ἂν ἕτεροι μὴ τὸ αὐτὸ πάθωσιν, ἑαυτοῦ τὴν ἁμαρτίαν κατειπεῖν, αὐτὸν δέ τινα μέλλοντα αἰσχύνεσθαι μὴ τολμᾶν ἐλέγχεσθαι μηδ' ὁμολογεῖν τὴν ἀβελ-

1, 259—260 H. 6, 305—307 B.

23. τὸν Emperius: καὶ τὸν Ἱπποκράτη] T. IX. p. 340 F. Charter.

Digitized by Google

τερίαν καὶ ἀμαθίαν. καὶ μὴν τά γε Βίαντος καὶ Πύρρωνος οὐ προκοπῆς ἄν τις ἀλλὰ μείζονος ἕξεως σημεῖα θεῖτο καὶ τελειοτέρας. ὃ μὲν γὰρ ἠξίου τοὺς συνήθεις οἴεσθαι προκόπτειν ὅταν τῶν λοιδορούντων οὕτως ἀκούωσιν ὡς λεγόντων

'ξεῖν', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας,
οὔλέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν'.

Πύρρωνα δέ φασι πλέοντα καὶ κινδυνεύοντα ἐν χειμῶνι δελφάκιόν τι δεῖξαι χρώμενον ἀσμένως κριθαῖς παραγκεχυμέναις, καὶ εἰπεῖν πρὸς τοὺς ἑταίρους ὅτι τοιαύτην ἀπάθειαν παρασκευαστέον ἐκ λόγου καὶ σοφίας τὸν ὑπὸ τῶν προστυγχανόντων ταράττεσθαι μὴ βουλόμενον. F

12. Ὅρα δὴ καὶ τὸ τοῦ Ζήνωνος ὁποῖόν ἐστιν. ἠξίου γὰρ ἀπὸ τῶν ὀνείρων ἕκαστον ἑαυτοῦ συναισθάνεσθαι προκόπτοντος, εἰ μήθ' ἡδόμενον αἰσχροῦ τινὸς ἑαυτὸν μήτε τι προσιέμενον ἢ πράττοντα τῶν δεινῶν καὶ ἀτόπων ὁρᾷ κατὰ τοὺς ὕπνους, ἀλλ' οἷον ἐν βυθῷ γαλήνης ἀκλύστου καταφανεῖ διαλάμπει τῆς ψυχῆς τὸ φανταστικὸν καὶ παθητικὸν διακεχυμένον ὑπὸ τοῦ λόγου. τοῦτο δὲ καὶ Πλάτων, ὡς ἔοικε, συνιδὼν πρότερος ἐξεμόρφωσε καὶ διετύπωσε τῆς φύσει τυραννικῆς ψυχῆς τὸ φανταστικὸν οἷα κατὰ τοὺς ὕπνους ὁρᾷ. 'μητρί τε γὰρ ἐπιχειρεῖ μίγνυσθαι' καὶ πρὸς βρώσεις ὁρμᾷ παντοδαπάς, παρανομοῦν καὶ χρώμενον ἑαυτοῦ ταῖς ἐπιθυμίαις οἷον λελυμέναις, ἃς μεθ' ἡμέραν ὁ νόμος αἰσχύνῃ καὶ φόβῳ καθείργυσιν. ὥσπερ 83

1, 260—261 H. 6, 307—309 R.

6. ξεῖν'* (Homer. ζ 187): ὦ ξέν' 7. Id. ω 402 8. ἐν* 21. Πλάτων] Rep. IX. ρ. 571 D 24. πρὸς*: περὶ

Digitized by Google

οὖν τὰ πεπαιδευμένα καλῶς τῶν ὑποζυγίων, οὐδ' ἂν
ἀφῇ τὰς ἡνίας ὁ ἄρχων, ἐπιχειρεῖ παρατρέπεσθαι καὶ
B ἀπολείπειν τὴν ὁδόν, ἀλλ', ὥσπερ εἴθισται, πρόεισιν
ἐν τάξει, διαφυλάττοντα τὴν πορείαν ἄπταιστον, οὕ-
τως οἷς ἂν εὐπειθὲς ἦδη τὸ ἄλογον καὶ πρᾶον ᾖ γε- 5
γονὸς ὑπὸ τοῦ λόγου καὶ κεκολασμένον, οὔτε καθ'
ὕπνους οὔθ' ὑπὸ νόσων ἔτι ῥᾳδίως ἐξυβρίζειν ἢ πα-
ρανομεῖν ἐθέλει ταῖς ἐπιθυμίαις, ἀλλὰ τηρεῖ καὶ δια-
μνημονεύει τὸν ἐθισμόν, ἰσχὺν ἐμποιοῦντα τῇ προσο-
χῇ καὶ τόνον. εἰ γὰρ καὶ τὸ σῶμα τῇ ἀσκήσει τῆς 10
ἀπαθείας ὑπήκοον ἑαυτὸ καὶ τὰ μέρη παρέχειν πέφυ-
κεν, ὡς ὀφθαλμούς τε πρὸς οἶκτον ἴσχεσθαι δακρύων
καὶ καρδίαν πηδήματος ἐν φόβοις, αἰδοῖά τε σωφρό-
C νως ἔχειν ἀτρέμα καὶ μηδὲν ἐνοχλεῖν παρὰ καλοῖς ἢ
καλαῖς, πῶς οὐ μᾶλλον εἰκός ἐστι τῆς ψυχῆς τοῦ 15
παθητικοῦ τὴν ἄσκησιν ἐπιλαβομένην οἷον ἐκλεαίνειν
καὶ συσχηματίζειν τὰ φαντάσματα καὶ τὰ κινήματα
μέχρι τῶν ὕπνων πιέζουσαν; οἷα λέγεται περὶ τοῦ
φιλοσόφου Στίλπωνος, ὃς ἰδεῖν ἔδοξε κατὰ τοὺς
ὕπνους ὀργιζόμενον αὐτῷ τὸν Ποσειδῶνα μὴ θύσαντι 20
βοῦν, ὥσπερ ἔθος ἦν Μεγαρεῦσιν, αὐτὸν δὲ μη-
δὲν ἐκπλαγέντα 'τί λέγεις' φάναι 'ὦ Πόσειδον;
ὥσπερ παῖς ἥκεις μεμψιμοιρῶν ὅτι μὴ δανεισάμενος
D ἐνέπλησα κνίσης τὴν πόλιν, ἀλλ' ἀφ' ὧν εἶχον ἔθυσά
σοι μετρίως οἰκοθεν;' καὶ μέντοι δοκεῖν αὐτῷ τὸν 25
Ποσειδῶνα μειδιάσαντα τὴν δεξιὰν προτεῖναι καὶ εἰπεῖν
ὡς ἀφύων φορὰν Μεγαρεῦσι ποιήσει δι' ἐκεῖνον. οἷς
οὖν οὕτως εὐόνειρα καὶ φανὰ καὶ ἄλυπα, φοβερὸν
δὲ μηδὲν ἢ τραχὺ μηδὲ κακόηθες ἢ σκολιὸν ἐκ τῶν
ὕπνων ἐπαναφέρεται, τούτοις τῆς προκοπῆς ἀπαυ- 30

961—162 H. 6, 309—311 B.

23. Μεγαρεῦσιν Hauptius: ἱερεῦσιν p. 340 F. C. 30. τούτοις *: ταῦτα

γασμούς τινας εἶναι λέγομεν, οἵστρους δὲ καὶ πτοίας καὶ φυγὰς ἀγεννεῖς καὶ παιδικὰς περιχαρείας καὶ ὀλοφύρσεις ἐνυπνίων οἰκτρῶν καὶ ἀλλοκότων ῥαχίαις τισὶ καὶ κάλοις ἐοικέναι, ψυχῆς οὔπω τὸ κοσμοῦν ἐχούσης οἰκεῖον, ἀλλὰ πλαττομένης ἔτι δόξαις καὶ νόμοις, ὧν ἀπωτάτω γιγνομένη κατὰ τοὺς ὕπνους αὖθις ἀναλύεται καὶ ἀνελίττεται τοῖς πάθεσι. ταῦτα μὲν οὖν συνεπισκόπει καὶ αὐτός, εἴτε προκοπῆς ἐστιν εἴτε τινὸς ἕξεως ἤδη βεβαιότητα καὶ κράτος ἐχούσης ἐπὶ τοῖς λόγοις ἀσάλευτον. E

13. Ἐπεὶ δ' ἡ παντελὴς ἀπάθεια μέγα καὶ θεῖον, ἐνδόσει δέ τινι καὶ πραότητι παθῶν ἔοικεν ὡς λέγομεν ἡ προκοπή, δεῖ καὶ πρὸς αὐτὰ καὶ πρὸς ἄλληλα τὰ πάθη σκοποῦντας κρίνειν τὰς διαφοράς· πρὸς αὐτὰ μέν, εἰ νῦν ἐπιθυμίαις τε χρώμεθα μαλακωτέραις τῶν πάλαι καὶ φόβοις καὶ ὀργαῖς, ταχὺ τῷ λόγῳ τὸ ἐξάπτον αὐτῶν καὶ φλεγμαῖνον ἀφαιροῦντες· πρὸς ἄλληλα δέ, εἰ μᾶλλον αἰσχυνόμεθα νῦν ἢ φοβούμεθα καὶ ζηλοῦμεν ἢ φθονοῦμεν καὶ φιλοδοξοῦμεν ἢ φιλοχρηματοῦμεν, καὶ ὅλως εἰ Δωρίοις μᾶλλον ἢ Λυδίοις ὥσπερ οἱ μελῳδοῦντες ὑπερβολαῖς ἁμαρτάνομεν, σκληρότεροι περὶ τὴν δίαιταν ὄντες ἢ μαλακώτεροι, καὶ βραδύτεροι περὶ τὰς πράξεις ἢ προπετέστεροι, καὶ θαυμασταὶ παρ' ὃ δεῖ λόγων καὶ ἀνθρώπων ἢ καταφρονηταί. καθάπερ γὰρ αἱ τῶν νόσων εἰς τὰ μὴ κύ- 84
ρια μέρη τοῦ σώματος ἐκτροπαὶ σημεῖον οὐ φαῦλόν εἰσιν, οὕτως ἡ κακία τῶν προκοπτόντων ἔοικεν εἰς ἐπιεικέστερα πάθη μεθισταμένη κατὰ μικρὸν ἐξαλείφεσθαι. Φρῦνιν μὲν γὰρ οἱ ἔφοροι ταῖς ἑπτὰ χορδαῖς F

1, 262—264 H. 6, 311—312 R.

1. λέγομεν Reiskius: λέγουσιν 21. ὑπερβολαῖς] ὑπερβολαῖς καὶ ἐλλείψεσιν W 29. Φρῦνιν W: Φρύννιν

Digitized by Google

δύο παρεντεινάμενον ἡρώτων πότερον τὰς ἄνωθεν ἢ τὰς κάτωθεν ἐκτεμεῖν αὐτοῖς παρασχεῖν ἐθέλει· ἡμῶν δὲ δεῖται μέν πως τὰ ἄνω καὶ τὰ κάτω περικοπῆς, εἰ μέλλομεν εἰς τὸ μέσον καθίστασθαι καὶ μέτριον· ἡ δὲ προκοπὴ τὰς ὑπερβολὰς πρότερον καὶ τὰς ὀξύτητας τῶν παθῶν ἀνίησι

B 'πρὸς ἅσπερ· οἱ μαργῶντες ἐντονώτατοι'

κατὰ Σοφοκλέα.

14. Καὶ μὴν ὅτι τὸ τὰς κρίσεις ἐπὶ τὰ ἔργα μετάγειν καὶ τοὺς λόγους μὴ λόγους ἐᾶν ἀλλὰ πράξεις ποιεῖν μάλιστα τῆς προκοπῆς ἴδιόν ἐστιν εἴρηται. δήλωμα δ' αὐτοῦ πρῶτον μὲν ὁ πρὸς τὰ ἐπαινούμενα ζῆλος καὶ τὸ ποιεῖν εἶναι προθύμους ἃ θαυμάζομεν, ἃ δὲ ψέγομεν μὴ ἐθέλειν μηδ' ὑπομένειν. ἐπεὶ πάντας μὲν Ἀθηναίους εἰκὸς ἦν ἐπαινεῖν τὴν Μιλτιάδου τόλμαν καὶ ἀνδρείαν, Θεμιστοκλῆς δ' εἰπὼν ὡς οὐκ ἐᾷ καθεύδειν αὐτὸν ἀλλ' ἐκ τῶν ὕπνων ἀνίστησι τὸ

C Μιλτιάδου τρόπαιον, οὐκ ἐπαινῶν μόνον οὐδὲ θαυμάζων ἀλλὰ καὶ ζηλῶν καὶ μιμούμενος εὐθὺς ἦν καταφανής. σμικρὸν οὖν οἴεσθαι χρὴ προκόπτειν, ἄχρι οὗ τὸ θαυμάζειν τοὺς κατορθοῦντας ἀργὸν ἔχομεν καὶ ἀκίνητον ἐξ ἑαυτοῦ πρὸς μίμησιν. οὔτε γὰρ ἔρως σώματος ἐνεργός, εἰ μὴ μετὰ ζηλοτυπίας ἔνεστιν, οὔτ' ἔπαινος ἀρετῆς διάπυρος καὶ δραστήριος ὁ μὴ νύττων μηδὲ κεντρίζων μηδὲ ποιῶν ἀντὶ φθόνου ζῆλον ἐπὶ τοῖς καλοῖς, ἀναπληρώσεως ὀρεγόμενον. οὐ γὰρ ὑπὸ τῶν λόγων δεῖ τοῦ φιλοσοφοῦντος μόνον ὥσπερ

D Ἀλκιβιάδης ἔλεγε τὴν καρδίαν στρέφεσθαι καὶ δάκρυα ἐκπίπτειν, ἀλλ' ὅ γε προκόπτων ἀληθῶς, μᾶλλον

1, 264 H. 6, 312—314 R.

7. Nauck. p. 248 28. Ἀλκιβιάδης] Plat. Conv. p. 25 E

Digitized by Google

ἔργοις καὶ πράξεσιν ἀνδρὸς ἀγαθοῦ καὶ τελείου παραβάλλων ἑαυτόν, ἅμα τῷ συνειδότι τοῦ ἐνδεοῦς δακνόμενος καὶ δι' ἐλπίδα καὶ πόθον χαίρων καὶ μεστὸς ὧν ὁρμῆς οὐκ ἠρεμούσης οἷός τ' ἐστὶ κατὰ τὸν Σιμωνίδην

'ἄθηλος ἵππῳ πῶλος ὣς ἅμα τρέχειν',

τῷ ἀγαθῷ μονονουχὶ συμφῦναι γλιχόμενος. καὶ γὰρ τοῦτο προκοπῆς ἀληθοῦς ἴδιόν ἐστι πάθος, ὧν ζηλοῦμεν τὰ ἔργα τὴν διάθεσιν φιλεῖν καὶ ἀγαπᾶν καὶ μετ' εὐνοίας ἀεὶ τιμὴν εὔφημον ἀποδιδούσης ἐξομοιοῦσθαι. φιλονεικία δ' ὅτῳ καὶ φθόνος ἐνέστακται πρὸς τοὺς κρείττονας, οὗτος ἴστω δόξης τινὸς ἢ δυνάμεως ζηλοτυπίᾳ κνιζόμενος, ἀρετὴν δὲ μὴ τιμῶν μηδὲ θαυμάζων.

15. Ὅταν οὖν οὕτως ἀρχώμεθα τῶν ἀγαθῶν ἐρᾶν, ὥστε μὴ μόνον κατὰ Πλάτωνα μακάριον μὲν αὐτὸν ἡγεῖσθαι τὸν σώφρονα, 'μακάριον δὲ τὸν ξυνήκοον τῶν ἐκ τοῦ σωφρονοῦντος στόματος ἰόντων λόγων', ἀλλὰ καὶ σχῆμα καὶ βάδισμα καὶ βλέμμα καὶ μειδίαμα θαυμάζοντες αὐτοῦ καὶ ἀγαπῶντες οἷον συναρμόττειν καὶ συγκολλᾶν ἑαυτοὺς ὦμεν πρόθυμοι, τότε χρὴ νομίζειν ἀληθῶς προκόπτειν. ἔτι δὲ μᾶλλον, ἂν μὴ μόνον εὐημεροῦντας τοὺς ἀγαθοὺς θαυμάζωμεν, ἀλλ' ὥσπερ οἱ ἐρῶντες καὶ τραυλότητας ἀσπάζονται τῶν ἐν ὥρᾳ καὶ ὠχρότητας, τῆς δὲ Πανθείας καὶ δάκρυα καὶ κατήφεια πενθούσης ἄρα καὶ κεκακωμένης ἐξέπληξε τὸν Ἀράσπην, οὕτως ἡμεῖς μήτε φυγὴν Ἀριστείδου μήθ' εἱργμὸν Ἀναξαγόρου μήτε πενίαν Σωκράτους ἢ καταδίκην Φωκίωνος ὑποδειμαίνωμεν, ἀλλὰ

1, 264—265 H. 6, 314—315 R.

4. Σιμωνίδην] Bergk. p. 738[8] 16. Πλάτωνα] Legg. IV. p. 711 E

Digitized by Google

καὶ μετὰ τούτων ἀξιέραστον ἡγούμενοι τὴν ἀρετὴν
ὁμόσε χωρῶμεν αὐτῇ, τὸ Εὐριπίδειον ἐφ' ἑκάστῳ
φθεγγόμενοι

85 'φεῦ, τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν'.

τὸν γὰρ ἄχρι τοῦ καὶ τὰ φαινόμενα δεινὰ μὴ δυσχε- 5
ραίνειν ἀλλὰ θαυμάζειν καὶ ζηλοῦν ἐνθουσιασμὸν οὐκ
ἂν ἔτι γε τῶν καλῶν οὐδεὶς ἀποτρέψειεν. ἤδη δὲ
τοῖς τοιούτοις παρέπεται τὸ βαδίζουσιν ἐπὶ πράξεις
τινὰς ἢ λαβοῦσιν ἀρχὴν ἢ χρησαμένοις τύχῃ τίθεσθαι
πρὸ ὀφθαλμῶν τοὺς ὄντας ἀγαθοὺς ἢ γεγενημένους, 10
καὶ διανοεῖσθαι 'τί δ' ἂν ἔπραξεν ἐν τούτῳ Πλάτων,
τί δ' ἂν εἶπεν Ἐπαμεινώνδας, ποῖος δ' ἂν ὤφθη
B Λυκοῦργος ἢ Ἀγησίλαος', οἷον πρὸς ἔσοπτρα κοσμοῦν-
τας ἑαυτοὺς καὶ μεταρρυθμίζοντας ἢ φωνῆς ἀγεννε-
στέρας αὐτῶν ἐπιλαμβανομένους ἢ πρός τι πάθος ἀν- 15
τιβαίνοντας. οἱ μὲν γὰρ ἐκμεμαθηκότες τὰ τῶν Ἰδαίων
δακτύλων ὀνόματα χρῶνται πρὸς τοὺς φόβους αὐτοῖς
ὡς ἀλεξικάκοις, ἀτρέμα καταλέγοντες ἕκαστον· ἡ δὲ
τῶν ἀγαθῶν ἀνδρῶν ἐπίνοια καὶ μνήμη ταχὺ παρι-
σταμένη καὶ διαλαμβάνουσα τοὺς προκόπτοντας ἐν 20
πᾶσι πάθεσι καὶ ἀπορίαις ἁπάσαις, ὀρθούς τε καὶ
ἀπτῶτας διαφυλάσσει. ὅθεν ἔστω σοι καὶ τοῦτο ση-
μεῖον τοῦ πρὸς ἀρετὴν ἐπιδιδόντος.

16. Πρὸς δὲ τούτῳ τὸ μηκέτι ταράττεσθαι σφό-
C δρα μηδ' ἐρυθριᾶν μηδὲ κατακρύπτειν ἢ μετασχηματί- 25
ζειν τι τῶν καθ' ἑαυτόν, ἀνδρὸς ἐνδόξου καὶ σώφρο-
νος ἐξαπίνης ἐπιφανέντος, ἀλλὰ θαρρεῖν ὁμόσε χωροῦν-
τα τοῖς τοιούτοις ἔχει τοῦ συνειδότος τινὰ βεβαίωσιν.
Ἀλέξανδρος μὲν γὰρ ὡς ἔοικεν ἄγγελον ἰδὼν περιχαρὴ

1, 265—266 H. 6, 315—317 B.

2. Εὐριπίδειον] Nauck. p. 953 13. οἷον Schaeferus: οἷόν τι 14. καὶ Emperius: ἢ 15. αὐτῶν W: αὐτῶν

Digitized by Google

προσθέοντα καὶ τὴν δεξιὰν προτείνοντα 'τί μοι μέλλεις' εἶπεν 'ὦ 'τὰν ἀπαγγελεῖν; ἢ ὅτι "Ομηρος ἀναβεβίωκεν;' οὐδενὸς αὐτῷ τὰ πράγματα πλὴν ὑστεροφημίας οἰόμενος ἐνδεῖν. νέῳ δ' ἀνδρὶ βελτιουμένῳ τὸ ἦθος οὐδενὸς ἔρως ἐμφύεται μᾶλλον ἢ καλοῖς κἀγαθοῖς ἀνδράσιν ἐγκαλλωπίσασθαι καὶ παρασχεῖν D οἰκίαν αὐτοῦ καταφανῆ, τράπεζαν γυναῖκα, παιδιὰν σπουδήν, λόγους λεγομένους ἢ γραφομένους, ὥστε καὶ δάκνεσθαι πατρὸς τεθνεῶτος ἢ καθηγητοῦ μεμνημένον οὐκ ἐπιδόντος αὐτὸν ἐν διαθέσει τοιαύτῃ, καὶ μηδὲν ἂν οὕτως εὔξασθαι παρὰ τῶν θεῶν, ὡς ἐκείνους ἀναβιώσαντας αὐτῷ γενέσθαι τοῦ βίου καὶ τῶν πράξεων θεατάς. ὥσπερ αὖ τοὐναντίον οἱ καταμελήσαντες ἑαυτῶν καὶ διαφθαρέντες οὐδ' ἐν ὕπνῳ τοὺς προσήκοντας ἀτρέμα καὶ ἀδεῶς ὁρῶσιν.

17. Ἔτι τοίνυν πρόσλαβε τοῖς εἰρημένοις σημεῖον E οὐ μικρόν, εἰ βούλει, τὸ μηδὲν ἔτι μικρὸν ἡγεῖσθαι τῶν ἁμαρτανομένων ἀλλ' ἐξευλαβεῖσθαι καὶ προσέχειν ἅπασιν. ὥσπερ γὰρ οἱ τὸ πλουτήσειν ἀπεγνωκότες ἐν οὐδενὶ τίθενται τὰ μικρὰ δαπανήματα, μηδὲν οἰόμενοι ποιήσειν μέγα τὸ μικρῷ τινι προστιθέμενον, ἡ δ' ἐλπὶς ἐγγυτέρω τοῦ τέλους βαδίζουσα τῷ πλούτῳ τὴν φιλοπλουτίαν συναύξει, οὕτως ἐν τοῖς πρὸς ἀρετὴν πράγμασιν ὁ μὴ πολλὰ συγχωρῶν τῷ 'τί γὰρ τὸ παρὰ τοῦτο;' καὶ 'νῦν μὲν οὕτως αὖθις δὲ βέλτιον', ἀλλὰ προσέχων ἑκάστῳ κἂν εἰς τὸ σμικρότατον ἡ κακία ποτὲ τῶν ἁμαρτημάτων ἐνδῦσα συγγνώμην πορίζηται δυσανασχετῶν καὶ δυσκολαίνων δῆλός ἐστιν ἤδη τι καθαρὸν κτώμενος ἑαυτῷ καὶ οὐδ' ὁπωσοῦν ἀξιῶν F

1, 266—267 H. 6, 317—318 R.

7. παιδιὰν Emperius: παιδία 10. τοιαύτῃ idem: τοσαύτῃ 17. μικρὸν] Hesiod. O. et D. 361

Digitized by Google

ὑπαίνεσθαι, τὸ δὲ μηδὲν οἴεσθαι κατ' αἰσχύνην μέγα μηδ' ἔχειν εὐχερεῖς ποιεῖ καὶ ὀλιγώρους πρὸς τὰ μικρά. καὶ γὰρ αἱμασιάν τινα καὶ θριγκὸν οἰκοδομοῦσιν οὐ διαφέρει ξύλον τὸ τυχὸν ἢ λίθον ὑποβαλεῖν χυδαῖον ἢ στήλην ὑποθεῖναι παραπεσοῦσαν ἀπὸ μνήματος, οἷα ποιοῦσιν οἱ φαῦλοι, πᾶσαν ἐργασίαν καὶ πρᾶξιν ὡς ἔτυχε συμφοροῦντες εἰς ταὐτὸ καὶ σωρεύ-
86 οντες· ἀλλ' οἵ γε προκόπτοντες, οἷς ἤδη, καθάπερ ἱεροῦ τινος οἰκοδομήματος καὶ βασιλικοῦ τοῦ βίου κεκρότηται χρυσέα κρηπίς', οὐδὲν εἰκῇ τῶν γιγνομένων προσίενται, ἀλλ' οἷον ἀπὸ στάθμης τοῦ λόγου προσάγουσι καὶ προσαρμόττουσιν ἕκαστον. ὑπὲρ οὗ τὸν Πολύκλειτον οἰόμεθα λέγειν ὡς ἔστι χαλεπώτατον τὸ ἔργον ὅταν εἰς ὄνυχα ὁ πηλὸς ἀφίκηται.

1, 267—268 H. 6, 318—318 R.

10. κεκρότηται] Bergk. Pind. fr. 176 [206] 14. ὅταν W: οἷς ἂν

ΠΩΣ

ΑΝ ΤΙΣ ΥΠ' ΕΧΘΡΩΝ ΩΦΕΛΟΙΤΟ.

1. Ὁρῶ μὲν ὅτι τὸν πραότατον ὦ Κορνήλιε Πούλχερ πολιτείας ἤρηται τρόπον, ἐν ᾧ μάλιστα τοῖς κοινοῖς ὠφέλιμος ὢν ἀλυπότατον ἰδίᾳ τοῖς ἐντυγχάνουσι παρέχεις σεαυτόν. Ἐπεὶ δὲ χώραν μὲν ἄθηρον C ὥσπερ ἱστοροῦσι τὴν Κρήτην εὑρεῖν ἔστι, πολιτεία δὲ μήτε φθόνον ἐνηνοχυῖα μήτε ζῆλον ἢ φιλονεικίαν, ἔχθρας γονιμώτατα πάθη, μέχρι νῦν οὐ γέγονεν (ἀλλ' εἰ μηδὲν ἄλλο, ταῖς ἔχθραις αἱ φιλίαι συμπλέκουσιν ἡμᾶς· ὃ καὶ Χίλων ὁ σοφὸς νοήσας τὸν εἰπόντα μηδένα ἔχειν ἐχθρὸν ἠρώτησεν εἰ μηδὲ φίλον ἔχει), δοκεῖ μοι τά τε ἄλλα περὶ ἐχθρῶν τῷ πολιτικῷ διεσκέφθαι προσήκειν καὶ τοῦ Ξενοφῶντος ἀκηκοέναι μὴ παρέργως εἰπόντος ὅτι τοῦ νοῦν ἔχοντός ἐστι καὶ 'ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι'. ἅπερ οὖν εἰς τοῦτο πρώην εἰπεῖν μοι παρέστη, συναγαγὼν ὁμοῦ τι τοῖς αὐτοῖς ὀνόμασιν ἀπέσταλκά σοι, φεισάμενος ὡς ἐνῆν μάλιστα τῶν ἐν τοῖς Πολιτικοῖς Παραγγέλμασι γε-

1, 269 H. 6, 320—321 R.

1. Πούλχερ Xylander: πούλχερ ἄτερ 12. Ξενοφῶντος] Oecon. I 15

Digitized by Google

D γραμμένων, ἐπεὶ κἀκεῖνο τὸ βιβλίον ὁρῶ σε πρόχειρον ἔχοντα πολλάκις.

2. Ἐξήρκει τοῖς παλαιοῖς ὑπὸ τῶν ἀλλοφύλων καὶ ἀγρίων ζώων μὴ ἀδικεῖσθαι, καὶ τοῦτο τῶν πρὸς τὰ θηρία τέλος ἦν ἀγώνων ἐκείνοις· οἱ δ' ὕστερον ἤδη χρῆσθαι μαθόντες αὐτοῖς καὶ ὠφελοῦνται σαρξὶ τρεφόμενοι καὶ θριξὶν ἀμφιεννύμενοι καὶ χολαῖς καὶ πυτίαις ἰατρευόμενοι καὶ δέρμασιν ὁπλίζοντες ἑαυτούς, ὥστ' ἄξιον εἶναι δεδιέναι μὴ τῶν θηρίων ἐπιλιπόντων τῷ ἀνθρώπῳ θηριώδης ὁ βίος αὐτοῦ γένηται καὶ ἀνήμερος. ἐπεὶ τοίνυν τοῖς μὲν ἄλλοις ἱκανόν ἐστι
E τὸ μὴ πάσχειν ὑπὸ τῶν ἐχθρῶν κακῶς, τοὺς δὲ νοῦν ἔχοντας ὁ Ξενοφῶν καὶ ὠφελεῖσθαί φησιν ἀπὸ τῶν διαφερομένων, ἀπιστεῖν μὲν οὐ χρή, ζητεῖν δὲ μέθοδον καὶ τέχνην δι' ἧς τοῦτο περιέσται τὸ καλὸν οἷς χωρὶς ἐχθροῦ ζῆν ἀδύνατόν ἐστιν. οὐ δύναται πᾶν ἐξημερῶσαι δένδρον ὁ γεωργός, οὐδὲ πᾶν τιθασεῦσαι θηρίον ὁ κυνηγός· ἐζήτησαν οὖν καθ' ἑτέρας χρείας ὃ μὲν ἐκ τῶν ἀκάρπων ὃ δ' ἀπὸ τῶν ἀγρίων ὠφελεῖσθαι. τῆς θαλάττης τὸ ὕδωρ ἄποτόν ἐστι καὶ πονηρόν, ἀλλ' ἰχθῦς τρέφει καὶ πόμπιμόν ἐστι πάντη καὶ πορεύσιμον ὄχημα τοῖς κομιζομένοις· τοῦ δὲ σα-
F τύρου τὸ πῦρ (ὡς πρῶτον ὤφθη, βουλομένου φιλῆσαι καὶ περιβαλεῖν, ὁ Προμηθεύς

'τράγος' ἔφη 'γένειον ἆρα πενθήσεις σύ γε')

κάει τὸν ἁψάμενον, ἀλλὰ φῶς παρέχει καὶ θερμότητα καὶ τέχνης ἁπάσης ὄργανόν ἐστι τοῖς χρῆσθαι μαθοῦσι. σκόπει δὴ καὶ τὸν ἐχθρόν, εἰ βλαβερὸς ὢν τἄλλα καὶ δυσμεταχείριστος, ἀμωσγέπως ἀφὴν ἐνδίδωσιν αὐτοῦ

1, 269—270 H. 6, 321—323 R

25. Nauck. p. 53 ἔφη*

Digitized by Google

καὶ χρῆσιν οἰκείαν καὶ ὠφέλιμός ἐστι. καὶ τῶν πραγ- 87
μάτων ἄφιλα πολλὰ καὶ ἀπεχθῆ καὶ ἀντίπαλα τοῖς
ἐντυγχάνουσιν· ἀλλ' ὁρᾷς ὅτι καὶ νόσοις ἔνιοι σώμα-
τος εἰς ἀπραγμοσύνην ἐχρήσαντο, καὶ πόνοι πολλοῖς
προσπεσόντες ἔρρωσαν καὶ ηὔξησαν. ἔνιοι δὲ καὶ
πατρίδος στέρησιν καὶ χρημάτων ἀποβολὴν ἐφόδιον
σχολῆς ἐποιήσαντο καὶ φιλοσοφίας, ὡς Διογένης καὶ
Κράτης· Ζήνων δέ, τῆς ναυκληρίας αὐτῷ συντριβεί-
σης, πυθόμενος εἶπεν 'εὖ γε ὦ τύχη ποιεῖς, εἰς τὸν
τρίβωνα συνελαύνουσα ἡμᾶς'. ὥσπερ γὰρ τὰ ῥωμα-
λεώτατα τοὺς στομάχους καὶ ὑγιεινότατα τῶν ζώων
ὄφεις ἐσθίοντα καταπέττει καὶ σκορπίους, ἔστι δ' ἃ B
καὶ λίθοις καὶ ὀστράκοις τρέφεται, μεταβάλλει δὲ δι'
εὐτονίαν καὶ θερμότητα πνεύματος, οἱ δὲ σικχοὶ καὶ
νοσώδεις ἄρτον καὶ οἶνον προσφερόμενοι ναυτιῶσιν,
οὕτως οἱ μὲν ἀνόητοι καὶ τὰς φιλίας διαφθείρουσιν,
οἱ δὲ φρόνιμοι καὶ ταῖς ἔχθραις ἐμμελῶς χρῆσθαι δύ-
νανται.

3. Πρῶτον μὲν οὖν δοκεῖ μοι τῆς ἔχθρας τὸ βλα-
βερώτατον ὠφελιμώτατον ἂν γενέσθαι τοῖς προσέχου-
σιν. τί δὲ τοῦτό ἐστιν; ἐφεδρεύει σου τοῖς πράγμα-
σιν ἐγρηγορὼς ὁ ἐχθρὸς ἀεὶ καὶ λαβὴν ζητῶν παντα-
χόθεν περιοδεύει τὸν βίον, οὐ διὰ δρυὸς μόνον ὁρῶν
ὡς ὁ Λυγκεύς, οὐδὲ διὰ λίθων καὶ ὀστράκων, ἀλλὰ C
καὶ διὰ φίλου καὶ οἰκέτου καὶ διὰ συνήθους παντὸς
ὡς ἀνυστόν ἐστι φωρῶν τὰ πραττόμενα καὶ τὰ βου-
λευόμενα διορύττων καὶ διερευνώμενος. οἱ μὲν γὰρ
φίλοι καὶ νοσοῦντες ἡμᾶς πολλάκις καὶ ἀποθνήσκον-

1, 270—271 H. 6, 323—324 R.

5. ηὔξησαν*: ἤσκησαν Suidas v. σικχός): Suidas: τοῖς στομάχοις
11. ῥωμαλεώτατα* (ῥωμαλεώτερα τοὺς στομάχους
13. μεταβάλλει*: μεταβάλλουσι

Digitized by Google

τες λανθάνουσιν ἀμελοῦντας καὶ ὀλιγωροῦντας, τῶν δ' ἐχθρῶν μονονουχὶ καὶ τοὺς ὀνείρους πολυπραγμονοῦμεν· νόσοι δὲ καὶ δανεισμοὶ καὶ διαφοραὶ πρὸς γυναῖκας αὐτοὺς ἐκείνους μᾶλλον ἢ τὸν ἐχθρὸν λανθάνουσι. μάλιστα δὲ τῶν ἁμαρτιῶν ἔχεται καὶ ταύτας ἐξιχνεύει. καὶ καθάπερ οἱ γῦπες ἐπὶ τὰς ὀσμὰς τῶν διεφθορότων σωμάτων φέρονται, τῶν δὲ καθαρῶν καὶ ὑγιαινόντων αἴσθησιν οὐκ ἔχουσιν, οὕτω τὰ νοσοῦντα τοῦ βίου καὶ φαῦλα καὶ πεπονθότα κινεῖ τὸν ἐχθρόν, καὶ πρὸς ταῦτα οἱ μισοῦντες ἄττουσι καὶ τούτων ἅπτονται καὶ σπαράττουσι. τοῦτο οὖν ὠφέλιμόν ἐστι; πάνυ μὲν οὖν ** εὐλαβούμενον ζῆν καὶ προσέχειν ἑαυτῷ, καὶ μήτε πράττειν μηδὲν ὀλιγώρως καὶ ἀπεριskέπτως μήτε λέγειν, ἀλλ' ἀεὶ διαφυλάττειν ὥσπερ ἐν ἀκριβεῖ διαίτῃ τὸν βίον ἀνεπίληπτον· ἡ γὰρ οὕτω συστέλλουσα τὰ πάθη καὶ συνέχουσα τὸν λογισμὸν εὐλάβεια μελέτην ἐμποιεῖ καὶ προαίρεσιν τοῦ ζῆν ἐπιεικῶς καὶ ἀνεγκλήτως. καθάπερ γὰρ αἱ πολέμοις ἀστυγειτονικοῖς καὶ στρατείαις ἐνδελεχέσι σωφρονιζόμεναι πόλεις εὐνομίαν καὶ πολιτείαν ὑγιαίνουσαν ἠγάπησαν, οὕτως οἱ δι' ἔχθρας τινὰς ἀναγκασθέντες ἐπινήφειν τῷ βίῳ καὶ φυλάττεσθαι τὸ ῥᾳθυμεῖν καὶ καταφρονεῖν καὶ μετ' εὐχρηστίας ἕκαστα πράττειν λανθάνουσιν εἰς τὸ ἀναμάρτητον ὑπὸ τῆς συνηθείας ἀγόμενοι καὶ κατακοσμούμενοι τὸν τρόπον, ἂν καὶ μικρὸν ὁ λόγος συνεπιλαμβάνηται. τὸ γάρ

'ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες'

οἷς ἐστιν ἀεὶ πρόχειρον, ἐπιστρέφει καὶ διατρέπει καὶ ἀφίστησι τῶν τοιούτων ἐφ' οἷς οἱ ἐχθροὶ χαίρουσι καὶ καταγελῶσι. καὶ μὴν τοὺς περὶ τὸν Διόνυσον τεχνί-

1, 271—273 H. 6, 324—326 R.

12. **] Signavi hiatum 27. Homer. A 255

Digitized by Google

τας ὁρῶμεν ἐκλελυμένους καὶ ἀπροθύμους καὶ οὐκ ἀκριβῶς πολλάκις ἀγωνιζομένους ἐν τοῖς θεάτροις ἐφ' ἑαυτῶν· ὅταν δ' ἅμιλλα καὶ ἀγὼν γένηται πρὸς ἑτέρους, οὐ μόνον αὑτοὺς ἀλλὰ καὶ τὰ ὄργανα μᾶλλον συνεπιστρέφουσι, χορδολογοῦντες καὶ ἀκριβέστερον ἁρμοττόμενοι καὶ καταυλοῦντες. ὅστις οὖν οἶδεν ἀνταγωνιστὴν βίου καὶ δόξης τὸν ἐχθρὸν ὄντα, προσέχει μᾶλλον αὑτῷ, καὶ τὰ πράγματα περισκοπεῖ καὶ 88
διαρμόττεται τὸν βίον. ἐπεὶ καὶ τοῦτο τῆς κακίας ἴδιόν ἐστι, τὸ τοὺς ἐχθροὺς αἰσχύνεσθαι μᾶλλον ἢ τοὺς φίλους ἐφ' οἷς ἐξαμαρτάνομεν. ὅθεν ὁ Νασικᾶς, οἰομένων τινῶν καὶ λεγόντων ἐν ἀσφαλεῖ γεγονέναι τὰ Ῥωμαίων πράγματα Καρχηδονίων μὲν ἀνῃρημένων Ἀχαιῶν δὲ δεδουλωμένων, 'νῦν μὲν οὖν' εἶπεν 'ἐπισφαλῶς ἔχομεν, μήθ' οὓς φοβηθῶμεν μήθ' οὓς αἰσχυνθῶμεν ἑαυτοῖς ἀπολελοιπότες'.

4. Ἔτι τοίνυν πρόσλαβε τὴν Διογένους ἀπόφασιν, B
φιλόσοφον σφόδρα καὶ πολιτικὴν οὖσαν. 'πῶς ἀμυνοῦμαι τὸν ἐχθρόν;' 'αὐτὸς καλὸς κἀγαθὸς γενόμενος'. ἵππους ἐχθρῶν ὁρῶντες εὐδοκιμοῦντας ἢ κύνας ἐπαινουμένους ἀνιῶνται· ἂν χωρίον ἐκπεπονημένον ἴδωσιν, ἂν εὐθαλοῦντα κῆπον, ἐπιστένουσι. τί οὖν οἴει, σεαυτὸν ἐπιδεικνύμενος ἄνδρα δίκαιον ἀρτίφρονα χρηστόν, ἐν λόγοις εὐδόκιμον, ἐν πράξεσι καθαρόν, ἐν διαίτῃ κόσμιον,

'βαθεῖαν αὔλακα διὰ φρενὸς καρπούμενον,
ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα';

'νικώμενοι' φησὶ Πίνδαρος 'ἄνδρες ἀγρυξίᾳ δέδεν-

1, 273—274 H. 6, 326—327 R.

20. ἢ κύνας ἐπαινουμένους ἀνιῶνται*: ἀνιῶνται κύνας ἐπαινουμένους 26. βαθεῖαν] Aesch. Sept. 793 28. Πίνδαρος] Bergk. fr. 214 [253]

Digitized by Google

C ται', οὐχ ἁπλῶς οὐδὲ πάντες, ἀλλ' ὅσοι νικωμένους αὐτοὺς ὁρῶσιν ὑπὸ τῶν ἐχθρῶν ἐπιμελείᾳ χρηστότητι μεγαλοφροσύνῃ φιλανθρωπίαις εὐεργεσίαις· ταῦτα 'ἀποστρέφει τὴν γλῶτταν' ὡς ὁ Δημοσθένης φησίν, 'ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾶν ποιεῖ'.

'σύ τοι διάφερε τῶν κακῶν· ἔξεστι γάρ.'

εἰ θέλεις ἀνιᾶν τὸν μισοῦντα, μὴ λοιδόρει κίναιδον μηδὲ μαλακὸν μηδ' ἀκόλαστον μηδὲ βωμολόχον μηδ' ἀνελεύθερον, ἀλλ' αὐτὸς ἀνὴρ ἴσθι καὶ σωφρόνει καὶ ἀλήθευε καὶ χρῶ φιλανθρώπως καὶ δικαίως τοῖς ἐν-
D τυγχάνουσιν. ἂν δὲ λοιδορῆσαι προαχθῇς, ἄπαγε πορρωτάτω σεαυτὸν ὧν λοιδορεῖς ἐκεῖνον. ἐνδύου τῇ ψυχῇ, περισκόπει τὰ καθρά, μή τίς σοί ποθεν ὑποφθέγγηται τὸ τοῦ τραγῳδοῦ

'ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων'.

ἂν ἀπαίδευτον εἴπῃς, ἐπίτεινε τὸ φιλομαθὲς ἐν σεαυτῷ καὶ φιλόπονον· ἂν δειλόν, ἔγειρε μᾶλλον τὸ θαρραλέον καὶ ἀνδρῶδες· ἂν ἀσελγῆ καὶ ἀκόλαστον, ἐξάλειφε τῆς ψυχῆς εἴ τι λανθάνον ἐστὶ φιληδονίας ἴχνος. οὐδὲν γὰρ αἴσχιόν ἐστι βλασφημίας παλινδρο-
E μούσης οὐδὲ λυπηρότερον, ἀλλ' ἔοικε καὶ τοῦ φωτὸς τὸ ἀνακλώμενον μᾶλλον ἐνοχλεῖν τὰς ἀσθενεῖς ὁράσεις καὶ τῶν ψόγων οἱ πρὸς αὐτοὺς ἀναφερόμενοι τοὺς ψέγοντας ὑπὸ τῆς ἀληθείας. ὡς γὰρ ὁ καικίας τὰ νέφη, καὶ ὁ φαῦλος βίος ἐφ' ἑαυτὸν ἕλκει τὰς λοιδορίας.

5. Ὁ μὲν οὖν Πλάτων ὁσάκις ἀσχημονοῦσιν ἀν-

1, 274—275 H. 6, 327—329 R.

4. Δημοσθένης] P. 406, 5 6. σύ] Eurip. Or. 251 13. ὑποφθέγγηται*: ὑποφθέγγηται κακία 15. Nauck. p. 515 16. εἴπῃς Boissonadius: εἴπῃ σε 18. ἂν*: κἂν 24. ὡς γὰρ] Nauck. p. 660

Digitized by Google

θρώποις παραγένοιτο, πρὸς αὐτὸν εἰώθει λέγειν 'μή που ἄρ' ἐγὼ τοιοῦτος;' ὁ δὲ λοιδορήσας τὸν ἑτέρου βίον ἂν εὐθὺς ἐπισκοπῇ τὸν ἑαυτοῦ καὶ μεθαρμόττῃ πρὸς τοὐναντίον ἀπευθύνων καὶ ἀποστρέφων, ἕξει τι χρήσιμον ἐκ τοῦ λοιδορεῖν, ἄλλως ἀχρήστου καὶ κενοῦ δοκοῦντος εἶναι καὶ ὄντος. οἱ μὲν οὖν πολλοὶ γελῶσιν, ἄν τις ὢν φαλακρὸς ἢ κυρτὸς ἑτέρους εἰς ταῦτα λοιδορῇ καὶ σκώπτῃ· γελοῖον δ' ὅλως ἐστὶ F τὸ λοιδορεῖν καὶ σκώπτειν ὁτιοῦν ἀντιλοιδορηθῆναι δυνάμενον, ὡς Λέων ὁ Βυζάντιος ὑπὸ κυρτοῦ λοιδορηθεὶς εἰς τὴν τῶν ὀμμάτων ἀσθένειαν 'ἀνθρώπινον' ἔφη 'πάθος ὀνειδίζεις, ἐπὶ τοῦ νώτου φέρων τὴν νέμεσιν'. οὐκοῦν μηδὲ μοιχὸν λοιδορήσῃς, αὐτὸς ὢν παιδομανής· μηδ' ἄκωτον, αὐτὸς ὢν ἀνελεύθερος.

'ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς'

πρὸς τὸν Ἄδραστον ὁ Ἀλκμέων. τί οὖν ἐκεῖνος; οὐκ ἀλλότριον ἀλλ' ἴδιον αὐτῷ προφέρων ὄνειδος

'σὺ δ' αὐτόχειρ γε μητρὸς ἥ σ' ἐγείνατο'. 89

πρὸς τὸν Κράσσον ὁ Δομίτιος 'οὐ σὺ μυραίνης ἐν ζωγρείῳ σοι τρεφομένης εἶτα ἀποθανούσης ἔκλαυσας;' καὶ ὁ ἕτερος 'οὐ σὺ τρεῖς γυναῖκας ἐκκομίσας οὐκ ἐδάκρυσας;' οὐκ εὐφυᾶ δεῖ τὸν λοιδορησόμενον εἶναι καὶ μεγαλόφωνον καὶ ἰταμόν, ἀλλ' ἀλοιδόρητον καὶ ἀνέγκλητον· οὐδενὶ γὰρ οὕτως ἔοικε προστάττειν ὁ θεὸς ὡς τῷ μέλλοντι ψέγειν ἕτερον τὸ 'γνῶθι σαυτόν', ἵνα μὴ λέγοντες ἃ θέλουσιν ἀκούωσιν ἃ μὴ θέλουσι. 'φιλεῖ' γὰρ ὁ τοιοῦτος κατὰ τὸν Σοφοκλέα

'γλῶσσαν ἐκχέας μάτην B

ἄκων ἀκούειν οὓς ἑκὼν εἶπῃ λόγους'.

1, 275—276 H. 6, 329—331 R.

2. που ἄρ'*: πη ἄρ' 15. Nauck. p. 695 18. Id. p. 695 27. Σοφοκλέα] Id. p. 261

Digitized by Google

6. Τουτὶ μὲν οὖν ἔνεστι τῷ λοιδορεῖν τὸν ἐχθρὸν ὠφέλιμον καὶ χρήσιμον· οὐκ ἔλαττον δ' ἕτερον, τὸ λοιδορεῖσθαι καὶ κακῶς ἀκούειν αὐτὸν ὑπὸ τῶν ἐχθρῶν. ὅθεν ὀρθῶς ὁ Ἀντισθένης εἶπεν ὅτι τοῖς μέλλουσι σῴζεσθαι φίλων δεῖ γνησίων ἢ διαπύρων ἐχθρῶν· οἱ μὲν γὰρ νουθετοῦντες τοὺς ἁμαρτάνοντας οἱ δὲ λοιδοροῦντες ἀποτρέπουσι. ἐπεὶ δ' ἡ φιλία τὰ νῦν ἰσχνόφωνος γέγονεν ἐν τῷ παρρησιάζεσθαι, καὶ τὸ κολακεῦον αὐτῆς λάλον ἐστὶ τὸ δὲ νουθετοῦν C ἄναυδον, ἀκουστέον ἐστὶ παρὰ τῶν ἐχθρῶν τὴν ἀλήθειαν. ὡς γὰρ ὁ Τήλεφος οἰκείου μὴ τυγχάνων ἰατροῦ τῷ πολεμίῳ δόρατι τὸ ἕλκος ὑπέθηκεν, οὕτω τοὺς ἀποροῦντας εὐνοίας νουθετούσης ὑπομένειν ἀνάγκη μισοῦντος ἐχθροῦ λόγον, ἂν ἐλέγχῃ καὶ κολάζῃ τὴν κακίαν, σκοποῦντας τὸ ἔργον ἀλλὰ μὴ τὴν γνώμην τοῦ κακῶς λέγοντος. ὥσπερ γὰρ ὁ τὸν Θεσσαλὸν Προμηθέα κτεῖναι διανοηθεὶς ἔπαισε τῷ ξίφει τὸ φῦμα καὶ διεῖλεν οὕτως ὥστε σωθῆναι τὸν ἄνθρωπον καὶ ἀπαλλαγῆναι τοῦ φύματος ῥαγέντος, οὕτω πολλάκις ὑπ' ὀργῆς ἢ ἔχθρας προσπεσοῦσα λοιδορία D κακὸν ψυχῆς ἢ ἀγνοούμενον ἢ ἀμελούμενον ἐθεράπευσεν. ἀλλ' οἱ πολλοὶ λοιδορηθέντες οὐ σκοποῦσιν εἰ πρόσεστιν αὐτοῖς τὸ λεγόμενον, ἀλλὰ τί πρόσεστιν ἕτερον τῷ λοιδοροῦντι, καὶ καθάπερ οἱ παλαίοντες τὴν κόνιν οὐχ ἑαυτῶν ἀποψῶσι τὰς λοιδορίας, ἀλλὰ συμπάσσουσιν ἀλλήλους εἶτα φύρονται καὶ ἀναχρώννυνται συμπεσόντες ὑπ' ἀλλήλων. δεῖ δ' ἀκούσαντα κακῶς ὑπ' ἐχθροῦ τὸ μὲν προσὸν ἀφαιρεῖν αὐτοῦ μᾶλλον ἢ κηλῖδα προσοῦσαν ἱματίῳ καὶ δειχθεῖσαν· ἂν δέ τις λέγῃ τὰ μὴ προσόντα, ὅμως ζητεῖν τὴν αἰτίαν

1, 276—278 H. 6, 331—333 R.

30. τὴν*

Digitized by Google

ἀφ' ἧς ἡ βλασφημία γέγονε, καὶ φυλάττεσθαι καὶ E
δεδιέναι μή τι λανθάνωμεν ἢ σύνεγγυς ἢ ὅμοιον τῷ
λεγομένῳ παραμαρτάνοντες. οἷον Λακύδην τὸν Ἀρ-
γείων βασιλέα κόμης τις διάθεσις καὶ βάδισμα τρυφε-
ρώτερον εἰς μαλακίαν διέβαλε καὶ Πομπήιον τὸ ἑνὶ
κνᾶσθαι τὴν κεφαλὴν δακτύλῳ, πορρωτάτω θηλύτη-
τος καὶ ἀκολασίας ὄντας. Κράσσος δὲ τῶν ἱερῶν μιᾷ
παρθένων αἰτίαν ἔσχε πλησιάζειν, χωρίον τι καλὸν
ὠνήσασθαι παρ' αὐτῆς βουλόμενος καὶ διὰ τοῦτο πολ-
λάκις ἐντυγχάνων ἰδίᾳ καὶ θεραπεύων. Ποστουμίαν
δὲ τὸ γελᾶν προχειρότερον καὶ λαλιᾷ χρῆσθαι θρασυ- F
τέρᾳ πρὸς ἄνδρας διέβαλεν, ὥστε κριθῆναι φθορᾶς.
εὑρέθη μὲν οὖν καθαρὰ τῆς αἰτίας, ἀπολύσας δ' αὐ-
τὴν ὁ ἀρχιερεὺς Σπόριος Μινούκιος ὑπέμνησε μὴ χρῆ-
σθαι λόγοις ἀσεμνοτέροις τοῦ βίου. Θεμιστοκλεῖ δὲ
Παυσανίας μηδὲν ἀδικοῦντι προσετρίψατο τὴν ὑπο-
ψίαν τῆς προδοσίας διὰ τὸ χρῆσθαι φίλῳ καὶ γράφειν
συνεχῶς καὶ πέμπειν πρὸς αὐτόν.

7. Ὅταν οὖν λεχθῇ τι μὴ ἀληθές, οὐχ ὅτι ψεῦ-
δός ἐστι δεῖ καταφρονεῖν καὶ ἀμελεῖν, ἀλλὰ σκοπεῖν
τί τῶν ὑπὸ σοῦ λεγομένων ἢ πραττομένων ἢ σπου- 90
δαζομένων ἢ συνόντων ὁμοιότητα τῇ διαβολῇ πα-
ρέσχηκε, καὶ τοῦτο διευλαβεῖσθαι καὶ φεύγειν. εἰ γὰρ
ἕτεροι πράγμασιν ἀβουλήτοις περιπεσόντες διδάσκονται
τὸ χρήσιμον, ὥσπερ ἡ Μερόπη φησίν

ἀΐ τύχαι δέ με
μισθὸν λαβοῦσαι τῶν ἐμῶν τὰ φίλτατα
σοφὴν ἔθηκαν',

τί κωλύει διδάσκαλον ἄμισθον λαβόντα τὸν ἐχθρὸν

1, 278—279 H. 6, 333—335 B.

4. τις*: τινος 7. ὄντας*: ὄντα 22. συνόντων] Requiritur σκωπτομένων vel παιζομένων 26. Nauck. p. 396

Digitized by Google

ὠφεληθῆναι καὶ μαθεῖν τι τῶν λανθανόντων; πολλὰ γὰρ ὁ ἐχθρὸς αἰσθάνεται τοῦ φίλου μᾶλλον (‘τυφλοῦται’ γὰρ ‘τὸ φιλοῦν περὶ τὸ φιλούμενον’, ὡς ὁ
B Πλάτων φησί), τῷ δὲ μισεῖν μετὰ τοῦ πολυπραγμονεῖν καὶ τὸ λαλεῖν ἔνεστιν. ὁ Ἱέρων ὑπό τινος τῶν ἐχθρῶν εἰς τὴν δυσωδίαν ἐλοιδορήθη τοῦ στόματος. ἐλθὼν οὖν οἴκαδε πρὸς τὴν γυναῖκα ‘τί λέγεις;’ εἶπεν, ‘οὐδὲ σύ μοι τοῦτο ἔφρασας;’ ἡ δ’ οὖσα σώφρων καὶ ἄκακος ‘ᾤμην’ εἶπεν ‘ὅτι τοιοῦτο πάντες ὄζουσιν οἱ ἄνδρες’. οὕτω καὶ τὰ αἰσθητὰ καὶ τὰ σωματικὰ καὶ τὰ καταφανῆ πᾶσι παρὰ τῶν ἐχθρῶν μαθεῖν πρότερόν ἐστιν ἢ τῶν φίλων καὶ συνήθων.

8. Ἄνευ δὲ τούτου τὴν περὶ τὴν γλῶτταν ἐγκράτειαν, οὐ μικρὸν ἀρετῆς μέρος οὖσαν, ὑπήκοον
C ἀεὶ τῷ λογισμῷ καὶ πειθήνιον ἔχειν οὐκ ἔνεστιν, ἂν μή τις ἀσκήσει καὶ μελέτῃ καὶ φιλοπονίᾳ τὰ κάκιστα τῶν παθῶν, οἷόν ἐστιν ἡ ὀργή, κατεργάσηται. ἡ γὰρ ‘ἀκουσίως ἐκπίπτουσα φωνὴ’ καὶ τό

‘ἔπος φύγεν ἕρκος ὀδόντων’,

καὶ τὸ ‘ἔνια ἐξίπτασθαι τῶν ῥημάτων αὐτόματα’ τοῖς ἀνασκήτοις μάλιστα θυμοῖς οἷον ὀλισθάνουσι καὶ διαρρέουσιν ἐπιγίγνεται δι’ ἀσθένειαν θυμοῦ, δι’ ἀκρατῆ γνώμην, δι’ ἀγωγὴν θρασεῖαν. λόγου δὲ κουφοτάτου πράγματος βαρυτάτη ζημία κατὰ τὸν θεῖον Πλάτωνα καὶ παρὰ θεῶν ἔπεται καὶ παρ’ ἀνθρώπων. ἡ δὲ
D σιγὴ πανταχοῦ μὲν ἀνυπεύθυνον (οὐ μόνον ἄδιψον, ὥς φησιν Ἱπποκράτης), ἐν δὲ λοιδορίαις σεμνὸν καὶ

1, 279—280 H. 6, 335—336 R.

4. Πλάτων] Legg. V. p. 731 E 10. αἰσθητὰ Reiskius: αἰσθητικὰ 13. τὴν Stobaeus Flor. XXXIV 9 23. δι’ ἀγωγὴν θρασεῖαν Reiskius: διαίτῃ θρασείᾳ 24. Πλάτωνα] Legg. XI. p. 935 A 27. λοιδορίαις Stob. Flor. XIX 1: λοιδορίᾳ

Digitized by Google

Σωκρατικόν, μᾶλλον δ' Ἡράκλειον, εἴ γε κἀκεῖνος
'οὐδ' ὅσσον μυίας στυγερῶν ἐμπάζετο μύθων'.
οὐ μὴν τούτου σεμνότερον καὶ κάλλιόν ἐστι τὸ λοιδοροῦντος ἐχθροῦ τὴν ἡσυχίαν ἄγειν 'λισσάδα πέτραν φιλοκέρτομον ὡς παρανηχομένους', οὐδ' ἄλλη μείζων ἄσκησις. ἂν γὰρ ἐχθρὸν ἐθισθῇς λοιδοροῦντα φέρειν σιωπῇ, πάνυ ῥᾳδίως οἴσεις γυναικὸς ὀργὴν κακῶς λεγούσης, καὶ φίλου φωνὰς καὶ ἀδελφοῦ πικροτάτας ἀκούων ὑπομενεῖς ἀθορύβως· πατρὶ δὲ καὶ μητρὶ τυπτόμενος καὶ βαλλόμενος παρέξεις ἄθυμον καὶ ἀμήνιτον σεαυτόν. ὁ μὲν γὰρ Σωκράτης ἔφερε τὴν Ξανθίππην θυμοειδῆ καὶ χαλεπὴν οὖσαν, ὡς εὐκόλως συνεσόμενος ἑτέροις, ἂν ἐκείνην ὑπομένειν ἐθισθῇ· πολὺ δὲ βέλτιον ἐχθρῶν καὶ ἀλλοτρίων ἐγγυμνασάμενον βδελυρίαις καὶ ὀργαῖς καὶ σκώμμασι καὶ λοιδορίαις ἐθίσαι τὸν θυμὸν ἡσυχίαν ἄγειν μηδ' ἀσχάλλειν ἐν τῷ λοιδορεῖσθαι.

9. Πραότητα μὲν οὖν καὶ ἀνεξικακίαν οὕτως ἔστιν ἐνεπιδείξασθαι ταῖς ἔχθραις, ἁπλότητα δὲ καὶ μεγαλοφροσύνην καὶ χρηστότητα μᾶλλον ἐν ταῖς φιλίαις. φίλον μὲν γὰρ οὐχ οὕτω τὸ εὖ ποιεῖν καλόν, ὡς αἰσχρὸν τὸ μὴ ποιεῖν δεόμενον· ἐχθροῦ δὲ καὶ τὸ τιμωρίαν παραλείπειν καιροῦ παρασχόντος ἐπιεικές ἐστι. τὸν δὲ καὶ πταίσαντι συμπαθήσαντα καὶ δεηθέντι συλλαβόμενον καὶ παιδὶν ἐχθροῦ καὶ οἰκείοις καὶ πράγμασιν ἐν χρείᾳ γενομένοις σπουδήν τινα καὶ

1, 280—281 H. 6, 336—338 R.

3. οὐ*: οὔτε τὸ] τοῦ Reiskius 5. οὐδ' ἄλλη μείζων ἄσκησις Emperius: ἀλλὰ μείζων ἡ ἄσκησις 6. γὰρ idem 7. ὀργὴν W: ὁρμὴν 23. παραλείπειν καιροῦ*: παραλιπεῖν ἐν καιρῷ 25. οἰκείοις καὶ Reiskius: οἰκείοις

Digitized by Google

προθυμίαν ἐνδειξάμενον ὅστις οὐκ ἄγαται τῆς εὐμενείας οὐδ' ἐπαινεῖ τὴν χρηστότητα, 'κεῖνος

91 'ἐξ ἀδάμαντος
ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν'.

τῷ Καίσαρι κελεύσαντι τὰς Πομπηίου τιμὰς ἀναστα- 5
θῆναι καταβεβλημένας ὁ Κικέρων 'τοὺς Πομπηίου' φησίν 'ἀνδριάντας ἀνέστησας, τοὺς δὲ σοὺς ἔπηξας'. ὅθεν οὐδ' ἐπαίνου φειστέον οὐδὲ τιμῆς περὶ ἀνδρὸς ἐχθροῦ δικαίως εὐδοκιμήσαντος. ἔπαινόν τε γὰρ φέρει μείζονα τοῖς ἐπαινοῦσι, καὶ πίστιν ἔχει πάλιν ἐγ- 10
καλῶν, ὡς οὐ τὸν ἄνδρα μισῶν ἀλλὰ τὴν πρᾶξιν ἀποδοκιμάζων· τὸ δὲ κάλλιστον καὶ χρησιμώτατον,
B ἀπωτάτω καθίσταται τοῦ φθονεῖν καὶ φίλοις εὐτυχοῦσι καὶ κατορθοῦσιν οἰκείοις ὁ τοὺς ἐχθροὺς ἐθισθεὶς ἐπαινεῖν καὶ μὴ δάκνεσθαι μηδὲ βασκαίνειν εὖ πρατ- 15
τόντων. καίτοι τίς ἄσκησις ἑτέρα μείζονα ὠφέλειαν ἐνεργάζεται ταῖς ψυχαῖς ἢ διάθεσιν κρείττονα τῆς ἀφαιρούσης τὸ δύσζηλον ἡμῶν καὶ φιλόφθονον; ὥσπερ γὰρ ἐν πολέμῳ πολλὰ τῶν ἀναγκαίων ἄλλως δὲ φαύλων ἔθους λαβόντα καὶ νόμου δύναμιν οὐκ ἔστι 20
ῥᾳδίως ἀπώσασθαι βλαπτομένους, οὕτως ἡ ἔχθρα συνεισάγουσα τῷ μίσει φθόνον, ζηλοτυπίαν ἐπιχαιρεκακίαν μνησικακίαν ἐναπολείπει. πρὸς δὲ τούτοις καὶ
C πανουργία καὶ ἀπάτη καὶ ἐπιβουλή, δοκοῦσα μὴ φαῦλον εἶναι μηδ' ἄδικον πρὸς ἐχθρόν, ἂν ἐγγένηται, 25
παραμένει δυσαπάλλακτος· εἶτα χρῶνται πρὸς τοὺς φίλους ὑπὸ συνηθείας, ἂν μὴ φυλάξωνται πρὸς τοὺς ἐχθρούς. εἴπερ οὖν ὀρθῶς ὁ Πυθαγόρας, ἐν ἀλόγοις ζῴοις ἐθίζων ὠμότητος ἀπέχεσθαι καὶ πλεον-

1, 281—282 H. 6, 338—340 B.

1. ἄγαται*: ἀγαπᾷ 3. Bergk. Pind. fr. 100 [88]
27. φίλους*: φίλους αὐτοί

Digitized by Google

εξίας, ὀρνέων τε θήρας παρῃτεῖτο καὶ βόλους ὠνούμενος ἰχθύων ἐκέλευεν ἀφιέναι, καὶ παντὸς ἡμέρου ζῴου φόνον ἀπηγόρευε, πολὺ δήπου σεμνότερόν ἐστιν ἐν διαφοραῖς πρὸς ἀνθρώπους καὶ φιλονεικίαις, γεναῖον ἐχθρὸν ὄντα καὶ δίκαιον καὶ ἀψευδῆ, τὰ μοχ- D
θηρὰ καὶ ἀγεννῆ καὶ πανοῦργα πάθη κολάζειν καὶ ταπεινὰ ποιεῖν, ὅπως ἐν τοῖς πρὸς τοὺς φίλους συμβολαίοις παντάπασιν ἀτρεμῇ καὶ ἀπέχηται τοῦ κακουργεῖν. Σκαῦρος ἐχθρὸς ἦν Δομιτίου καὶ κατήγορος. οἰκέτης οὖν τοῦ Δομιτίου πρὸ τῆς δίκης ἦκε πρὸς αὐτὸν ὡς ἔχων τι μηνῦσαι τῶν λανθανόντων ἐκεῖνον, ὃ δ' οὐκ εἴασεν εἰπεῖν, ἀλλὰ συλλαβὼν τὸν ἄνθρωπον ἀπήγαγε πρὸς τὸν δεσπότην. Κάτωνι δὲ Μουρήναν διώκοντι δημοκοπίας καὶ συνάγοντι τοὺς ἐλέγχους ἐξ ἔθους παρηκολούθουν οἱ τὰ πραττόμενα παραφυλάττοντες. πολλάκις οὖν αὐτὸν ἠρώτων εἴ τι μέλλει σήμερον συνάγειν ἢ πραγματεύεσθαι πρὸς E
τὴν κατηγορίαν· εἰ δὲ μὴ φαίη, πιστεύοντες ἀπῄεσαν. ταῦτα μὲν οὖν αὐτοῦ τῆς δόξης ἔχει τεκμήριον μέγιστον· ἀλλὰ μεῖζον καὶ κάλλιον, ὅτι τῷ δικαίῳ χρῆσθαι καὶ πρὸς ἐχθροὺς ἐθισθέντες οὐδέποτε μὴ προσενεχθῶμεν ἀδίκως καὶ πανούργως τοῖς συνήθεσι καὶ φίλοις.

10. 'Ἐπεὶ' δὲ 'πάσαις κορυδαλλίσι χρὴ λόφον ἐγγενέσθαι' κατὰ τὸν Σιμωνίδην, καὶ πᾶσα φύσις ἀνθρώπου φέρει φιλονικίαν καὶ ζηλοτυπίαν καὶ φθό- F
νον, 'κενεοφρόνων ἀνδρῶν ἑταῖρον', ὥς φησι Πίν-

1, 282—283 H. 6, 340—341 R.

1. θήρας*: θηρευτὰς 20. κάλλιον Reiskius: κάλλιστον 24. πάσαις*: πάσαισι 25. Σιμωνίδην] Bergk. p. 1141[3] Πίνδαρος] Bergk. fr. 196 (231)

Digitized by Google

δαρος, οὐ μετρίως ἄν τις ὠφελοῖτο τῶν παθῶν τούτων ποιούμενος εἰς τοὺς ἐχθροὺς ἀποκαθάρσεις καὶ ἀποστρέφων ὥσπερ ὀχετοὺς πορρωτάτω τῶν ἑταίρων καὶ οἰκείων. καὶ τοῦτο, ὡς ἔοικε, συνιδὼν πολιτικὸς ἀνὴρ Ὀνομάδημος, ἐν Χίῳ τῆς κρατούσης μερίδος ἐν στάσει γενόμενος, παρῄνει τοῖς ἑταίροις μὴ πάντας
92 ἐξελάσαι τοὺς ἀντισταsιάσαντας, ἀλλ' ὑπολιπέσθαι τινάς, 'ὅπως' ἔφη 'μὴ πρὸς τοὺς φίλους ἀρξώμεθα διαφέρεσθαι, τῶν ἐχθρῶν παντάπασιν ἀπαλλαγέντες'. οὐκοῦν καὶ ἡμῶν καταναλισκόμενα ταῦτα τὰ πάθη πρὸς τοὺς ἐχθροὺς ἧττον ἐνοχλήσει τοῖς φίλοις. οὐ γὰρ κεραμεῖ δεῖ κεραμέα φθονεῖν οὐδ' ἀοιδὸν ἀοιδῷ καθ' Ἡσίοδον, οὐδὲ γείτονα ζηλοῦν οὐδ' ἀνεψιὸν οὐδ' ἀδελφὸν 'εἰς ἄφενος σπεύδοντα' καὶ τυγχάνοντα χρηστῶν πραγμάτων. ἀλλ' εἰ μηδεὶς τρόπος ἐστὶν
B ἄλλος ἀπαλλαγῆς ἐρίδων καὶ φθόνων καὶ φιλονικιῶν, ἔθιζε σεαυτὸν δάκνεσθαι τῶν ἐχθρῶν εὐημερούντων, καὶ παρόξυνε καὶ χάραττε τὸ φιλόνικον ἐν ἐκείνοις θηγόμενον. ὥσπερ γὰρ οἱ χαρίεντες γεωργοὶ τὰ ῥόδα καὶ τὰ ἴα βελτίω ποιεῖν νομίζουσι σκόροδα καὶ κρόμμυα παραφυτεύοντες (ἀποκρίνεται γὰρ εἰς ἐκεῖνα πᾶν ὅσον ἔνεστι τῇ τροφῇ δριμὺ καὶ δυσῶδες), οὕτω καὶ ὁ ἐχθρὸς ἀναλαμβάνων καὶ περιέπτων τὸ κακόηθες καὶ βάσκανον, εὐμενέστερόν σε παρέξει τοῖς φίλοις εὖ πράττουσι καὶ ἀλυπότερον. διὸ καὶ τὰς ἁμίλλας πρὸς ἐκείνους ἐστὶ ποιητέον ὑπὲρ δόξης ἢ ἀρχῆς ἢ ποριsμῶν δικαίων, μὴ δακνομένους μόνον, ἄν τι πλέον ἡμῶν ἔχωσιν, ἀλλὰ καὶ πάντα παραφυλάττοντας ἐξ
C ὧν πλέον ἔχουσι, καὶ πειρωμένους ὑπερβαλέσθαι ταῖς ἐπιμελείαις καὶ φιλοπονίαις καὶ τῷ σωφρονεῖν καὶ

1, 283—285 H. 6, 341—343 R.

13. Ἡσίοδον] O. et D. 23 24. σε Reiskius

Digitized by Google

προσέχειν ἑαυτοῖς, ὡς Θεμιστοκλῆς ἔλεγεν οὐκ ἐᾶν αὐτὸν καθεύδειν τὴν ἐν Μαραθῶνι Μιλτιάδου νίκην. ὁ μὲν γὰρ εὐτυχίᾳ διαφέρειν αὐτοῦ τὸν ἐχθρὸν ἡγούμενος ἐν ἀρχαῖς ἢ συνηγορίαις ἢ πολιτείαις ἢ παρὰ φίλοις καὶ ἡγεμόσιν ἐκ τοῦ πράττειν τι καὶ ζηλοῦν εἰς τὸ βασκαίνειν παντάπασι καὶ ἀθυμεῖν καταδυόμενος ἀργῷ τῷ φθόνῳ καὶ ἀπράκτῳ σύνεστιν· ὁ δὲ μὴ τυφλούμενος περὶ τὸ μισούμενον ἀλλὰ καὶ βίου καὶ ἤθους καὶ λόγων καὶ ἔργων γιγνόμενος θεατὴς δίκαιος τὰ πλεῖστα κατόψεται τῶν ζηλουμένων ἐξ D ἐπιμελείας καὶ προνοίας καὶ πράξεων χρηστῶν περιγιγνόμενα τοῖς κεκτημένοις, καὶ πρὸς ταῦτα συντείνων ἐπασκήσει τὸ φιλότιμον αὐτοῦ καὶ φιλόκαλον, τὸ δὲ χασμῶδες ἐκκόψει καὶ ῥᾴθυμον.

11. Εἰ δέ τινας οἱ ἐχθροὶ κολακεύοντες ἢ πανουργοῦντες ἢ δεκάζοντες ἢ μισθαρνοῦντες αἰσχρὰς καὶ ἀνελευθέρους δοκοῦσι καρποῦσθαι δυνάμεις ἐν αὐλαῖς ἢ πολιτείαις, οὐκ ἐνοχλήσουσιν ἡμᾶς ἀλλὰ μᾶλλον εὐφρανοῦσι, τὴν αὐτῶν ἐλευθερίαν καὶ τὸ καθαρὸν τοῦ βίου καὶ ἀνύβριστον ἀντιτιθέντας. Ἅπας γὰρ ὁ ὑπὲρ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος E κατὰ Πλάτωνα, καὶ τὸ τοῦ Κόλωνος ἔχειν ἀεὶ δεῖ πρόχειρον

'ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον'

οὐδέ γε βοὰς δεδειπνισμένων θεάτρων οὐδὲ τιμὰς καὶ προεδρίας παρ' εὐνούχοις καὶ παλλακαῖς οὐδὲ κατραπείας βασιλέων· ζηλωτὸν γὰρ οὐδὲν οὐδὲ καλὸν ἐξ

1, 285—286 H. 6, 343—345 B.

22. Πλάτωνα] Legg. V. p. 728 A Κόλωνος] Bergk. p. 427[3] 27. οὐδὲ*: καὶ κατραπείας Reiskius: κατραπείαις

Digitized by Google

F αἰσχροῦ φυόμενον. ἀλλ' ἐπεὶ τυφλοῦται τὸ φιλοῦν περὶ τὸ φιλούμενον, ὥς φησιν ὁ Πλάτων, καὶ μᾶλλον ἡμῖν οἱ ἐχθροὶ παρέχουσιν αἴσθησιν ἀσχημονοῦντες, δεῖ μήτε τὸ χαῖρον ἐφ' οἷς ἁμαρτάνουσιν ἀργὸν εἶναι, μήτε τὸ λυπούμενον ἐφ' οἷς κατορθοῦσιν, ἀλλ' ἐπιλογίζεσθαι δι' ἀμφοτέρων ὅπως τὰ μὲν φυλαττόμενοι βελτίονες ὦμεν αὐτῶν, τὰ δὲ μιμούμενοι μὴ χείρονες.

1, 286 H. 6, 345 B.

2. Πλάτων] Legg. V. p. 731 E

ΠΟΛΥΦΙΛΙΑΣ.

1. Μένωνα τὸν Θετταλὸν οἰόμενον ἐν λόγοις ἱκανῶς B
γεγυμνάσθαι καὶ τοῦτο δὴ τὸ ὑπὸ τοῦ Ἐμπεδοκλέους
λεγόμενον

'σοφίης ἐπ' ἄκροισι θαμίζειν'

ἠρώτησεν ὁ Σωκράτης τί ἀρετή ἐστιν· ἀποκριναμένου
δ' ἰταμῶς ἐκείνου καὶ προχείρως ὅτι καὶ παιδός ἐστιν
ἀρετὴ καὶ πρεσβύτου καὶ ἀνδρὸς καὶ γυναικὸς καὶ
ἄρχοντος καὶ ἰδιώτου καὶ δεσπότου καὶ θεράποντος,
'εὖ γε' εἶπεν ὁ Σωκράτης 'ὅτι μίαν ἀρετὴν αἰτηθεὶς
ςμῆνος ἀρετῶν κεκίνηκας', οὐ κακῶς τεκμαιρόμενος
ὅτι μηδεμίαν εἰδὼς ἀρετὴν ἄνθρωπος πολλὰς ὠνόμα-
ζεν. ἆρ' οὖν οὐχὶ καὶ ἡμῖν ἄν τις ἐπιχλευάσειεν ὅτι
μηδέπω μίαν φιλίαν κεκτημένοι βεβαίως φοβούμεθα C
μὴ λάθωμεν εἰς πολυφιλίαν ἐμπεσόντες; σχεδὸν γὰρ
οὐδὲν διαφέρομεν ἀνθρώπου κολοβοῦ καὶ τυφλοῦ,
φοβουμένου μὴ Βριάρεως ὁ ἑκατόγχειρ καὶ Ἄργος ὁ
πανόπτης γένηται. καίτοι τόν γε παρὰ τῷ Μενάν-

1, 287 H. 6, 346—347 R.

4. σοφίης Sextus Empiricus: σοφίας 5. Σωκράτης] Plat. Men. p. 71 E 17. Μενάνδρῳ] Meinek. IV. p. 241

Digitized by Google

δρῳ νεανίσκον ὑπερφυῶς ἐπαινοῦμεν εἰπόντα θαυμαστὸν ὅσον νομίζειν 'ἀγαθὸν ἕκαστον', ἂν 'ἔχῃ φίλου σκιάν'.

2. Ἐναντιοῦται δὲ μετὰ πολλῶν ἄλλων οὐχ ἥκιστα πρὸς φιλίας κτῆσιν ἡ τῆς πολυφιλίας ὄρεξις, ὥσπερ ἀκολάστων γυναικῶν τῷ πολλάκις καὶ πολλοῖς συμ- D πλέκεσθαι τῶν πρώτων κρατεῖν μὴ δυναμένοις ἀμελουμένων καὶ ἀπορρεόντων· μᾶλλον δ' ὥσπερ ὁ τῆς Ὑψιπύλης τρόφιμος εἰς τὸν λειμῶνα καθίσας ἔδρεπεν

'ἕτερον ἐφ' ἑτέρῳ αἱρόμενος
ἄγρευμ' ἀνθέων ἡδομένᾳ ψυχᾷ
τὸ νήπιον ἄπληστον ἔχων',

οὕτως ἕκαστον ἡμῶν διὰ τὸ φιλόκαινον καὶ ἀψίκορον ὁ πρόσφατος ἀεὶ καὶ ἀνθῶν ἐπάγεται, καὶ μετατίθηει πολλὰς ὁμοῦ καὶ ἀτελεῖς ἀρχὰς πράττοντας φι- λίας καὶ συνηθείας, ἔρωτι τοῦ διωκομένου παρερχο- E μένους τὸ καταλαμβανόμενον. πρῶτον μὲν οὖν ὥσπερ ἀφ' ἑστίας ἀρξάμενοι τῆς τοῦ βίου φήμης ἣν ὑπὲρ φίλων βεβαίων ἀπολέλοιπεν ἡμῖν, τὸν μακρὸν καὶ παλαιὸν αἰῶνα μάρτυρα ἅμα τοῦ λόγου καὶ σύμβουλον λάβωμεν, ἐν ᾧ κατὰ ζεῦγος φιλίαι λέγονται Θησεὺς καὶ Πειρίθους, Ἀχιλλεὺς καὶ Πάτροκλος, Ὀρέστης καὶ Πυλάδης, Φιντίας καὶ Δάμων, Ἐπαμεινώνδας καὶ Πελοπίδας. σύννομον γὰρ ἡ φιλία ζῷον οὐκ ἀγελαῖόν ἐστιν οὐδὲ κολοιῶδες, καὶ τὸ ἄλλον αὐτὸν ἡγεῖσθαι τὸν φίλον καὶ προσαγορεύειν

'τὸν ἑταῖρον 'ἕτερον' οὐδέν ἐστιν ἢ μέτρῳ'

φιλίας τῇ δυάδι χρωμένων. οὔτε γὰρ δούλους οὔτε

1, 287—289 H. 6, 347—350 R.

4. ἐναντιοῦται*: αἴτιον 5. πρὸς*: εἰς 10. Nauck. p. 468 12. ἄπληστον p. 661 F: ἄχρηστον 17. τὸ Reiskius: τὸν 21. φιλίαι Stephanus: φιλίας 27. τὸν*

Digitized by Google

φίλους ἔστι κτήσασθαι πολλοὺς ἀπ' ὀλίγου νομίσμα- F
τος. τί οὖν νόμισμα φιλίας; εὔνοια καὶ χάρις μετ'
ἀρετῆς, ὧν οὐδὲν ἔχει σπανιώτερον ἡ φύσις. ὅθεν
τὸ σφόδρα φιλεῖν καὶ φιλεῖσθαι πρὸς πολλοὺς οὐκ
ἔστιν, ἀλλ' ὥσπερ οἱ ποταμοὶ πολλὰς σχίσεις καὶ κα-
τατομὰς λαμβάνοντες ἀσθενεῖς καὶ λεπτοὶ ῥέουσιν,
οὕτω τὸ φιλεῖν ἐν ψυχῇ σφοδρὸν πεφυκὸς εἰς πολ-
λοὺς μεριζόμενον ἐξαμαυροῦται. διὸ καὶ τῶν ζῴων
τὸ φιλότεκνον τοῖς μονοτόκοις ἰσχυρότερον ἐμφύεται,
καὶ Ὅμηρος ἀγαπητὸν υἱὸν ὀνομάζει 'μοῦνον τη-
λύγετον', τοῦτ' ἔστι τὸν τοῖς μήτ' ἔχουσιν ἕτερον γο- 94
νεῦσι μήθ' ἕξουσι γεγενημένον.

3. Τὸν δὲ φίλον ἡμεῖς 'μοῦνον' μὲν οὐκ ἀξιοῦ-
μεν εἶναι, μετ' ἄλλου δὲ τηλύγετός τις καὶ ὀψίγονος
ἔστω, τὸν θρυλούμενον ἐκεῖνον χρόνῳ τῶν ἁλῶν συγ-
κατεδηδοκὼς μέδιμνον, οὐχ ὥσπερ νῦν πολλοὶ φίλοι λε-
γόμενοι συμπιόντες ἅπαξ ἢ συσφαιρίσαντες ἢ συγκυβεύ-
σαντες ἢ συγκαταλύσαντες ἐκ πανδοκείου καὶ παλαίστρας
καὶ ἀγορᾶς φιλίαν συλλέγουσιν. ἐν δὲ ταῖς τῶν πλου-
σίων καὶ ἡγεμονικῶν οἰκίαις πολὺν ὄχλον καὶ θόρυ- B
βον ἀσπαζομένων καὶ δεξιουμένων καὶ δορυφορούντων
ὁρῶντες εὐδαιμονίζουσι τοὺς πολυφίλους. καίτοι πλεί-
ονάς γε μυίας ἐν τοῖς ὀπτανίοις αὐτῶν ὁρῶσιν. ἀλλ'
οὔθ' αὗται τῆς λιχνείας οὔτ' ἐκεῖνοι τῆς χρείας ἐπι-
λιπούσης παραμένουσιν. ἐπεὶ δ' ἡ ἀληθινὴ φιλία
τρία ζητεῖ μάλιστα, τὴν ἀρετὴν ὡς καλόν, καὶ τὴν
συνήθειαν ὡς ἡδύ, καὶ τὴν χρείαν ὡς ἀναγκαῖον (δεῖ
γὰρ ἀποδέξασθαι κρίναντα καὶ χαίρειν συνόντα καὶ
χρῆσθαι δεόμενον, ἃ πάντα πρὸς τὴν πολυφιλίαν ὑπεν-
αντιοῦται, καὶ μάλιστά πως τὸ κυριώτατον ἡ κρίσις),

1, 290—291 H. 6, 350—352 R.

10. Ὅμηρος] I 498. π 19 11. μήτ'*: μὴ

Digitized by Google

σκεπτέον πρῶτον εἰ δύνατόν ἐστιν ἐν βραχεῖ χρόνῳ
C δοκιμάσαι χορευτὰς συγχορευσομένους, ἐρέτας ὁμορροθήσοντας, οἰκέτας χρημάτων ἐπιτρόπους ἢ τέκνων παιδαγωγοὺς ἐσομένους, μήτι γε φίλους πολλοὺς εἰς ἀγῶνα πάσης τύχης συναποδυσομένους, ὧν ἕκαστος αὐτός θ' αὑτόν

'πράττων εὖ τίθησιν εἰς μέσον,
τοῦ δυστυχοῦς τε λαγχάνων οὐκ ἄχθεται'.

οὔτε ναῦς ἐπὶ τοσούτους ἕλκεται χειμῶνας εἰς θάλατταν, οὔτε χωρίοις θριγκοὺς καὶ λιμέσι προσβάλλουσιν ἔρκη καὶ χώματα τηλικούτους προσδεχόμενοι κινδύ-
D νους καὶ τοσούτους, ὅσων ἐπαγγέλλεται φιλία καταφυγὴν καὶ βοήθειαν, ὀρθῶς καὶ βεβαίως ἐξετασθεῖσα. τῶν δ' ἀνεξετάστως παραρρυέντων ὥσπερ νομισμάτων ἀδοκίμων ἐλεγχομένων

'οἱ μὲν ἐστερημένοι
χαίρουσιν, οἱ δ' ἔχοντες εὔχονται φυγεῖν'.

ἔστι δὲ τοῦτο χαλεπὸν καὶ οὐ ῥᾴδιον, τὸ φυγεῖν ἢ ἀποθέσθαι δυσαρεστουμένην φιλίαν. ἀλλ' ὥσπερ κιτίον βλαβερὸν καὶ δυσχεραινόμενον οὔτε κατέχειν οἷόν τε μὴ λυποῦν καὶ διαφθεῖρον οὔτ' ἐκβάλλειν οἷον εἰσῆλθεν ἀλλ' εἰδεχθὲς καὶ συμπεφυρμένον καὶ ἀλλόκοτον, οὕτω φίλος πονηρὸς ἢ σύνεστι λυπῶν καὶ λυμαινόμενος, ἢ βίᾳ μετ' ἔχθρας καὶ δυσμενείας ὥσπερ χολή τις ἐξέπεσε.

E 4. Διὸ δεῖ μὴ ῥᾳδίως προσδέχεσθαι μηδὲ κολλᾶσθαι τοῖς ἐντυγχάνουσι μηδὲ φιλεῖν τοὺς διώκον-

1, 291—292 H. 6, 352—355 R.

1. σκεπτέον*: σκεπτέον δὲ 7. Nauck. p. 697 10. περιβάλλουσιν*? 16. Nauck. p. 215 23. λυμαινόμενος*: λυπούμενος

Digitized by Google

τας, ἀλλὰ τοὺς ἀξίους φιλίας διώκειν. οὐ γὰρ αἱρετέον πάντως τὸ ῥᾳδίως ἁλισκόμενον. καὶ γὰρ ἀπαρίνην καὶ βάτον ἐπιλαμβανομένην ὑπερβάντες καὶ διωσάμενοι βαδίζομεν ἐπὶ τὴν ἐλάαν καὶ τὴν ἄμπελον. οὕτω δεῖ μὴ τὸν εὐχερῶς περιπλεκόμενον ποιεῖσθαι συνήθη, ἀλλὰ τοῖς ἀξίοις σπουδῆς καὶ ὠφελίμοις αὐτοὺς περιπλέκεσθαι δοκιμάσαντας.

5. Ὥσπερ οὖν ὁ Ζεῦξις αἰτιωμένων αὐτὸν τινῶν F ὅτι ζωγραφεῖ βραδέως, 'ὁμολογῶ' εἶπεν 'ἐν πολλῷ χρόνῳ γράφειν, καὶ γὰρ εἰς πολύν', οὕτω φιλίαν δεῖ καὶ συνήθειαν σῴζειν παραλαβόντας ἐν πολλῷ κριθεῖσαν. ἆρ' οὖν κρῖναι μὲν οὐκ ἔστι πολλοὺς φίλους ῥᾴδιον, συνεῖναι δὲ πολλοῖς ὁμοῦ ῥᾴδιον, ἢ καὶ τοῦτο ἀδύνατον; καὶ μὴν ἀπόλαυσίς ἐστιν ἡ συνήθεια τῆς φιλίας, καὶ τὸ ἥδιστον ἐν τῷ συνεῖναι καὶ συνδιημερεύειν·

'οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν'.

καὶ περὶ τοῦ Ὀδυσσέως ὁ Μενέλαος 95

'οὐδέ κεν ἄλλο
ἄμμε διέκρινεν φιλέοντά τε τερπομένω τε,
πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψε'.

τοὐναντίον οὖν ἔοικεν ἡ καλουμένη πολυφιλία ποιεῖν. ἡ μὲν γὰρ συνάγει καὶ συνίστησι καὶ συνέχει καταπυκνοῦσα ταῖς ὁμιλίαις καὶ φιλοφροσύναις

'ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐτόμφωσεν καὶ ἔπηξε'

1, 292—293 H. 6, 355—357 R.

5. δεῖ W: ἀεὶ 6. συνήθη*: συνήθη καλόν 7. δοκιμάσαντας Reiskius: δοκιμάζοντας 17. Homer. Ψ 78 20. Id. δ 179

Digitized by Google

B κατ' Ἐμπεδοκλέα (τοιαύτην γὰρ ἡ φιλία βούλεται ποιεῖν ἑνότητα καὶ σύμπηξιν), ἡ δὲ πολυφιλία διίστησι καὶ ἀποσπᾷ καὶ ἀποστρέφει, τῷ μετακαλεῖν καὶ μεταφέρειν ἄλλοτε πρὸς ἄλλον οὐκ ἐῶσα κρᾶσιν οὐδὲ κόλλησιν εὐνοίας ἐν τῇ συνηθείᾳ περιχυθείσῃ καὶ παγείσῃ γενέσθαι. τοῦτο δ' εὐθὺς ὑποβάλλει καὶ τὴν περὶ τὰς ὑπουργίας ἀνωμαλίαν καὶ δυσκολίαν· τὰ γὰρ εὔχρηστα τῆς φιλίας δύσχρηστα γίγνεται διὰ τὴν πολυφιλίαν.

'ἄλλον τρόπον' γὰρ 'ἄλλων ἐγείρει φροντὶς ἀνθρώπων'·

οὔτε γὰρ αἱ φύσεις ἡμῶν ἐπὶ ταὐτὰ ταῖς ὁρμαῖς ῥέπουσιν, οὔτε τύχαις ὁμοτρόποις ἀεὶ σύνεσμεν· οἵ τε C τῶν πράξεων καιροὶ καθάπερ τὰ πνεύματα τοὺς μὲν φέρουσι τοῖς δ' ἀντιπίπτουσι.

6. Καίτοι κἂν πάντες ἅμα τῶν αὐτῶν οἱ φίλοι δέωνται, χαλεπὸν ἐξαρκέσαι πᾶσι βουλευομένοις ἢ πολιτευομένοις ἢ φιλοτιμουμένοις ἢ ὑποδεχομένοις. ἂν δ' ἐνὶ καιρῷ διαφόροις πράγμασι καὶ πάθεσι προστυγχάνοντες ὁμοῦ παρακαλῶσιν ὁ μὲν πλέων συναποδημεῖν, ὁ δὲ κρινόμενος συνδικεῖν, ὁ δὲ κρίνων συνδικάζειν, ὁ δὲ πιπράσκων ἢ ἀγοράζων συνδιοικεῖν, ὁ δὲ γαμῶν συνθύειν, ὁ δὲ θάπτων συμπενθεῖν,

'πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμῃ,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων'

D ἡ πολυφιλία, πᾶσι μὲν ἀμήχανον παρεῖναι, μηδενὶ δ' ἄτοπον, ἑνὶ δ' ὑπουργοῦντα προσκρούειν πολλοῖς ἀνιαρόν·

1, 293—294 H. 6, 357—358 R.

7. δυσκολίαν Emperius: δυσωπίαν 10. Bergk. p. 1344[3] 24. Soph. O. R. 4

Digitized by Google

'οὐδεὶς γὰρ ἀγαπῶν αὐτὸς ἀμελεῖθ' ἡδέως'. καίτοι τὰς ἀμελείας καὶ ῥαθυμίας τῶν φίλων πραότερον φέρουσι, καὶ τὰς τοιαύτας ἀπολογίας ἀμηνίτως δέχονται παρ' αὐτῶν 'ἐξελαθόμην' 'ἠγνόησα'. ὁ δὲ λέγων 'οὐ παρέστην σοι δίκην ἔχοντι, παριστάμην γὰρ ἑτέρῳ φίλῳ', καὶ 'πυρέττοντά σε οὐκ εἶδον, τῷ δεῖνι γὰρ φίλους ἑστιῶντι συνηςχολούμην' αἰτίαν τῆς ἀμελείας τὴν ἑτέρων ἐπιμέλειαν ποιούμενος οὐ λύει τὴν μέμψιν, ἀλλὰ προσεπιβάλλει ζηλοτυπίαν. ἀλλ' E οἱ πολλοὶ τὰς πολυφιλίας ἃ δύνανται παρέχειν μόνον ὡς ἔοικε σκοποῦσιν, ἃ δ' ἀνταπαιτοῦσι παρορῶσι, καὶ οὐ μνημονεύουσιν ὅτι δεῖ τὸν πολλοῖς εἰς ἃ δεῖται χρώμενον πολλοῖς δεομένοις ἀνθυπουργεῖν. ὥσπερ οὖν ὁ Βριάρεως ἑκατὸν χερσὶν εἰς πεντήκοντα φορῶν γαστέρας οὐδὲν ἡμῶν πλέον εἶχε τῶν ἀπὸ δυοῖν χεροῖν μίαν κοιλίαν διοικούντων, οὕτως ἐν τῷ πολλοῖς φίλοις χρῆσθαι καὶ τὸ λειτουργεῖν πολλοῖς ἔνεστι καὶ τὸ συναγωνιᾶν καὶ τὸ συνασχολεῖσθαι καὶ τὸ συγκάμνειν. οὐ γὰρ Εὐριπίδῃ πειστέον λέγοντι

'χρῆν γὰρ μετρίας εἰς ἀλλήλους
φιλίας θνητοὺς ἀνακίρνασθαι
καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς, F
εὔλυτα δ' εἶναι στέργηθρα φρενῶν,
ἀπό τ' ὦσασθαι καὶ ξυντεῖναι',

καθάπερ πόδα νεὼς ἐνδιδόντι καὶ προσάγοντι ταῖς χρείαις τὴν φιλίαν. ἀλλὰ τοῦτο μέν, ὦ Εὐριπίδη, μεταθῶμεν ἐπὶ τὰς ἔχθρας, καὶ κελεύωμεν μετρίας

1, 294—295 H. 6, 358—36· R.

1. Meinek. IV. p. 282 16. ἐν τῷ πολλοῖς φίλοις χρῆσθαι Halmius: ἐν τοῖς φίλοις χρήσιμον 18. τὸ συγκάμνειν*: συγκάμνειν 20. μετρίας — φιλίας* (Hippol. 253): μετρίαν — φιλίαν 23. στέργηθρά*: θέλγητρα

Digitized by Google

ποιεῖσθαι τὰς διαφορὰς καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς, εὔλυτα δ' εἶναι μίση καὶ ὀργὰς καὶ μεμψιμοιρίας καὶ ὑπονοίας· ἐκεῖνο δὲ μᾶλλον ἡμῖν παραί-
96 νει τὸ Πυθαγορικὸν 'μὴ πολλοῖς ἐμβάλλειν δεξιάν', τοῦτ' ἔστι μὴ πολλοὺς ποιεῖσθαι φίλους μηδὲ πολύ- 5
κοινον μηδὲ πάνδημον ἀσπάζεσθαι φιλίαν καὶ πρὸς ἐναντίην ἢ μετὰ πολλῶν παθῶν εἰσιοῦσαν, ὧν τὸ μὲν συναγωνιᾶν καὶ συνάχθεσθαι καὶ συμπονεῖν καὶ συγκινδυνεύειν πάνυ δύσκοιστον τοῖς ἐλευθέροις καὶ γενναίοις ἐστί. τὸ δὲ τοῦ σοφοῦ Χίλωνος ἀληθές, 10
B ὃς πρὸς τὸν εἰπόντα μηδένα ἔχειν ἐχθρόν 'ἔοικας' ἔφη 'σὺ μηδὲ φίλον ἔχειν'. αἱ γὰρ ἔχθραι ταῖς φιλίαις εὐθὺς ἐπακολουθοῦσι καὶ συμπλέκονται, ἐπεί- περ (7) οὐκ ἔστι φίλον μὴ συναδικεῖσθαι μηδὲ συναδοξεῖν μηδὲ συναπεχθάνεσθαι· οἱ γὰρ ἐχθροὶ τὸν φί- 15
λον εὐθὺς ὑφορῶνταί τε καὶ μισοῦσιν, οἱ δὲ φίλοι πολλάκις φθονοῦσί τε καὶ ζηλοτυποῦσι καὶ περισπῶσιν. ὥσπερ οὖν ὁ τῷ Τιμησίᾳ περὶ τῆς ἀποικίας βοηθεὶς χρησμὸς προηγόρευσε

'σμῆνα μελισσάων τάχα τοι καὶ σφῆκες ἔσονται', 20

οὕτως οἱ φίλων ζητοῦντες ἐσμὸν ἔλαθον ἐχθρῶν σφηκίαις περιπεσόντες. καὶ οὐκ ἴσον ἄγει σταθμὸν ἐχθροῦ μνησικακία καὶ φίλου χάρις. ὅρα δὲ τοὺς Φι-
C λώτου καὶ Παρμενίωνος φίλους καὶ οἰκείους ἃ διέθηκεν Ἀλέξανδρος, ἃ τοὺς Δίωνος Διονύσιος καὶ 25
τοὺς Πλαύτου Νέρων καὶ τοὺς Σηιανοῦ Τιβέριος στρεβλοῦντες καὶ ἀποκτιννύοντες. ὡς γὰρ τὸν Κρέοντα τῆς θυγατρὸς οὐδὲν ὁ χρυσὸς οὐδ' ὁ πέπλος ὠφέλει, τὸ δὲ πῦρ ἀναφθὲν αἰφνιδίως προσδραμόντα καὶ

1, 295—297 H. 6, 360—362 R.

25. Διονύσιος καὶ*: διονύσιος

Digitized by Google

περιπτύξαντα κατέκαυσε καὶ συναπώλεσεν, οὕτως ἔνιοι τῶν φίλων οὐδὲν ἀπολαύσαντες εὐτυχούντων συναπόλλυνται δυστυχοῦσι. καὶ τοῦτο μάλιστα πάσχουσιν οἱ φιλόσοφοι καὶ χαρίεντες, ὡς Θησεὺς τῷ Πειρίθῳ κολαζομένῳ καὶ δεδεμένῳ

'αἰδοῦς ἀχαλκεύτοις συνέζευκται πέδαις',

ἐν δὲ τῷ λοιμῷ φησιν ὁ Θουκυδίδης τοὺς ἀρετῆς D μάλιστα μεταποιουμένους συναπόλλυσθαι τοῖς φίλοις νοσοῦσιν· ἠφείδουν γὰρ σφῶν αὐτῶν ἰόντες παρὰ τοὺς ἐπιτηδείους.

8. Ὅθεν τῆς ἀρετῆς ἀφειδεῖν οὐ προσῆκον ἄλλοτ' ἄλλοις συνδοῦντας αὐτὴν καὶ συμπλέκοντας, ἀλλὰ τοῖς ἀξίοις τὴν αὐτῆς κοινωνίαν φυλάττειν, τοῦτ' ἔστι τοῖς ὁμοίως φιλεῖν καὶ κοινωνεῖν δυνα- μένοις. καὶ γὰρ δὴ τοῦτο πάντων μέγιστόν ἐστιν ἐναντίωμα πρὸς τὴν πολυφιλίαν, ὅτι τῇ φιλίᾳ γένεσις δι' ὁμοιότητός ἐστιν. ὅπου γὰρ καὶ τὰ ἄψυχα τὰς μίξεις πρὸς τὰ ἀνόμοια ποιεῖται μετὰ βίας ἀναγ- καζόμενα καὶ ὀκλάζει καὶ ἀγανακτεῖ φεύγοντα ἀπ' E ἀλλήλων, τοῖς δὲ συγγενέσι καὶ οἰκείοις ὁμοιοπαθεῖ κεραννύμενα καὶ προσίεται τὴν κοινωνίαν λείως καὶ μετ' εὐμενείας, πῶς οἷόν τε φιλίαν ἤθεσι διαφόροις ἐγγενέσθαι καὶ πάθεσιν ἀνομοίοις καὶ βίοις ἑτέρας προαιρέσεις ἔχουσιν; ἡ μὲν γὰρ περὶ ψαλμοὺς καὶ φόρμιγγας ἁρμονία δι' ἀντιφώνων ἔχει τὸ σύμφω- νον, ὀξύτητι καὶ βαρύτητι ἀμωγέπως ὁμοιότητος

1, 297—298 H. 6, 362—364 R.

6. αἰδοῦς*: πέδαις ἀχαλκεύτοις συνέζευκται Stephanus: ἀχαλκεύτοισιν ἔζευκται πέδαισ*: πόδας 7. Θουκυδίδης] II 51 11. ὅθεν*: ὅθεν οὕτως 17. ἄψυχα] ἄλογα W 20. ὁμοιοπαθεῖ W: ὁμοπαθεῖ

Digitized by Google

ἐγγιγνομένης· τῆς δὲ φιλικῆς συμφωνίας ταύτης καὶ ἁρμονίας οὐδὲν ἀνόμοιον οὐδ' ἀνώμαλον οὐδ' ἄνισον εἶναι δεῖ μέρος, ἀλλ' ἐξ ἁπάντων ὁμοίως ἐχόν-
F των ὁμολογεῖν καὶ ὁμοβουλεῖν καὶ ὁμοδοξεῖν καὶ συνομοπαθεῖν, ὥσπερ μιᾶς ψυχῆς ἐν πλείοσι διηρημένης σώμασι.

9. Τίς οὖν ἐστιν οὕτως ἀνεπίμονος καὶ μετάβολος καὶ παντοδαπὸς ἄνθρωπος, ὥστε πολλοῖς ἑαυτὸν ἐξομοιοῦν καὶ προσαρμόττειν καὶ μὴ καταγελᾶν τοῦ Θεόγνιδος παραινοῦντος

'πουλύποδος νόον ἴσχε πολυχρόου, ὃς ποτὶ πέτρῃ,
τῇ περ ὁμιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη;'

καίτοι τοῦ πολύποδος αἱ μεταβολαὶ βάθος οὐκ ἔχουσιν, ἀλλὰ περὶ αὐτὴν γίγνονται τὴν ἐπιφάνειαν, στυ-
97 φότητι καὶ μανότητι τὰς ἀπορροὰς τῶν πλησιαζόντων ἀναλαμβάνουσαν· αἱ δὲ φιλίαι τὰ ἤθη ζητοῦσι συνεξομοιοῦν, καὶ τὰ πάθη καὶ τοὺς λόγους καὶ τὰ ἐπιτηδεύματα καὶ τὰς διαθέσεις. Πρωτέως τινὸς οὐκ εὐτυχοῦς οὐδὲ πάνυ χρηστοῦ τὸ ἔργον, ἀλλ' ὑπὸ γοητείας ἑαυτὸν εἰς ἕτερον εἶδος ἐξ ἑτέρου μεταλλάττοντος ἐν ταὐτῷ πολλάκις, φιλολόγοις συναναγιγνώσκοντος καὶ παλαισταῖς συγκονιομένου καὶ φιλοθήροις συγκυνηγετοῦντος καὶ φιλοπόταις συμμεθυσκομένου καὶ πολιτικοῖς συναρχαιρεσιάζοντος, ἰδίαν ἤθους ἑστίαν
B οὐκ ἔχοντος. ὡς δὲ τὴν ἀσχημάτιστον οἱ φυσικοὶ καὶ ἀχρώματον οὐσίαν καὶ ὕλην λέγουσιν ὑποκειμένην καὶ τρεπομένην ὑφ' αὐτῆς νῦν μὲν φλέγεσθαι νῦν δ' ἐξυγραίνεσθαι, τοτὲ δ' ἐξαεροῦσθαι πήγνυσθαι

1, 298—299 H. 6, 364—366 R.

7. ἀνεπίμονος*: ἐπίπονος 11. Bergk. p. 500[3]

Digitized by Google

δ' αὖθις, οὕτως ἄρα τῇ πολυφιλίᾳ ψυχὴν ὑποκεῖσθαι δεήσει, πολυπαθῆ καὶ πολύτροπον καὶ ὑγρὰν καὶ ῥᾳδίαν μεταβάλλειν. ἀλλ' ἡ φιλία στάσιμόν τι ζητεῖ καὶ βέβαιον ἦθος καὶ ἀμετάπτωτον ἐν μιᾷ χώρᾳ καὶ συνηθείᾳ. διὸ καὶ σπάνιον καὶ δυσεύρετόν ἐστι φίλος βέβαιος.

1, 299 H. 6, 866 B.

Digitized by Google

C

ΠΕΡΙ ΤΥΧΗΣ.

1. 'Τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία'. πότερον οὐδὲ δικαιοσύνη τὰ θνητῶν πράγματα οὐδ' ἰσότης οὐδὲ σωφροσύνη οὐδὲ κοσμιότης, ἀλλ' ἐκ τύχης μὲν καὶ διὰ τύχην Ἀριστείδης ἐνεκαρτέρησε τῇ πενίᾳ, D πολλῶν χρημάτων κύριος γενέσθαι δυνάμενος, καὶ Σκιπίων Καρχηδόνα ἑλὼν οὐδὲν οὔτ' ἔλαβεν οὔτ' εἶδε τῶν λαφύρων, ἐκ τύχης δὲ καὶ διὰ τύχην Φιλοκράτης λαβὼν χρυσίον παρὰ Φιλίππου 'πόρνας καὶ ἰχθῦς ἠγόραζε', καὶ Λακεδένης καὶ Εὐθυκράτης ἀπώλεσαν Ὄλυνθον, 'τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν;' ἀπὸ τύχης δ' ὁ μὲν Φιλίππου Ἀλέξανδρος αὐτός τε τῶν αἰχμαλώτων ἀπείχετο γυναικῶν καὶ τοὺς ὑβρίζοντας ἐκόλαζεν, ὁ δὲ Πριάμου δαίμονι κακῷ καὶ τύχῃ χρησάμενος συνεκοιμᾶτο τῇ τοῦ ξένου γυναικί, καὶ λαβὼν αὐτὴν ἐνέ- E πλησε πολέμου καὶ κακῶν τὰς δύο ἠπείρους; εἰ γὰρ ταῦτα γίγνεται διὰ τύχην, τί κωλύει καὶ τὰς γαλᾶς καὶ τοὺς τράγους καὶ τοὺς πιθήκους συνέχεσθαι φάναι διὰ τύχην ταῖς λιχνείαις καὶ ταῖς ἀκρασίαις καὶ ταῖς βωμολοχίαις;

1, 300—301 H. 6, 367—368 R.

1. Nauck. p. 607 15. ἐνέπλησε*: ἐνέπλησέ τε
19. ταῖς βωμολοχίαις*: βωμολοχίαις

Digitized by Google

2. Εἰ δ' ἔστι σωφροσύνη καὶ δικαιοσύνη καὶ ἀνδρεία, πῶς λόγον ἔχει μὴ εἶναι φρόνησιν; εἰ δὲ φρόνησις, πῶς εὐβουλίαν μὴ εἶναι; ἡ γὰρ σωφροσύνη φρόνησίς τίς ἐστιν ὡς λέγουσι, καὶ ἡ δικαιοσύνη τῆς φρονήσεως δεῖται παρούσης, μᾶλλον δὲ τὴν εὐβουλίαν καὶ τὴν φρόνησιν ἐν μὲν ἡδοναῖς ἀγαθοὺς παρεχομένην ἐγκράτειαν καὶ σωφροσύνην καλοῦμεν, ἐν δὲ κινδύνοις καὶ πόνοις καρτερίαν καὶ ἀνδραγαθίαν, ἐν δὲ κοινωνήμασι καὶ πολιτείαις εὐνομίαν καὶ δικαιοσύνην. ὅθεν εἰ τὰ τῆς εὐβουλίας ἔργα τῆς τύχης δι- F
καιοῦμεν εἶναι, ἔστω τύχης καὶ τὰ τῆς δικαιοσύνης καὶ τὰ τῆς σωφροσύνης, καὶ νὴ Δία τὸ κλέπτειν τύχης ἔστω καὶ τὸ βαλαντιοτομεῖν καὶ τὸ ἀκολασταίνειν, καὶ μεθέμενοι τῶν οἰκείων λογισμῶν εἰς τὴν τύχην ἑαυτοὺς ἀφῶμεν ὥσπερ ὑπὸ πνεύματος πολλοῦ κονιορτὸν ἢ συρφετὸν ἐλαυνομένους καὶ διαφερομένους. εὐβουλίας τοίνυν μὴ οὔσης οὐδὲ βουλὴν εἰκὸς εἶναι περὶ πραγμάτων οὐδὲ σκέψιν οὐδὲ ζήτησιν τοῦ συμφέροντος, ἀλλὰ ἐλήρησεν εἰπὼν ὁ Σοφοκλῆς ὅτι

98

'πᾶν τὸ ζητούμενον
ἅλωτόν, ἐκφεύγει δὲ τἀμελούμενον'

καὶ πάλιν αὖ τὰ πράγματα διαιρῶν

'τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετά
ζητῶ, τὰ δ' εὐκτὰ παρὰ θεῶν ἠτησάμην'.

τί γὰρ εὑρετὸν ἢ τί μαθητόν ἐστιν ἀνθρώποις, εἰ πάντα περαίνεται κατὰ τύχην; ποῖον δ' οὐκ ἀναιρεῖται βουλευτήριον πόλεως ἢ ποῖον οὐ καταλύεται συνέδριον βασιλέως, εἰ ὑπὸ τῇ τύχῃ πάντα ἐστίν, ἣν τυφλὴν λοιδοροῦμεν, ὡς τυφλοὶ περιπίπτοντες αὐτῇ;

1, 301—302 H. 6, 368—370 R.

2. δὲ* 16. καὶ W: ἢ 19. Σοφοκλῆς] O. R. 110 23. Nauck. p. 243

Digitized by Google

B τί δ' οὐ μέλλομεν, ὅταν ὥσπερ ὄμματα τὴν εὐβουλίαν ἐκκόψαντες αὐτῶν τοῦ βίου τυφλὴν χειραγωγὸν λαμβάνωμεν;

3. Καίτοι φέρε λέγειν τινὰ ἡμῶν ὡς τύχη τὰ τῶν βλεπόντων πράγματα, οὐκ ὄψις οὐδ' 'ὄμματα φωσφόρα', φησὶν ὁ Πλάτων, καὶ τύχη τὰ τῶν ἀκουόντων, οὐ δύναμις ἀντιληπτικὴ πληγῆς ἀέρος δι' ὠτὸς καὶ ἐγκεφάλου προσφερομένης· καλὸν δ', ὡς ἔοικεν, εὐλαβεῖσθαι τὴν αἴσθησιν. ἀλλὰ μὴν τὴν ὄψιν καὶ ἀκοὴν καὶ γεῦσιν καὶ ὄσφρησιν καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος καὶ τὰς δυνάμεις αὐτῶν ὑπηρεσίαν εὐ-
C βουλίας καὶ φρονήσεως ἡ φύσις ἤνεγκεν ἡμῖν, καὶ 'νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει, τἆλλα' δὲ 'κωφὰ καὶ τυφλά'. καὶ ὥσπερ ἡλίου μὴ ὄντος ἕνεκα τῶν ἄλλων ἄστρων εὐφρόνην ἂν ἤγομεν, ὥς φησιν Ἡράκλειτος, οὕτως ἕνεκα τῶν αἰσθήσεων, εἰ μὴ νοῦν μηδὲ λόγον ὁ ἄνθρωπος ἔσχεν, οὐδὲν ἂν διέφερε τῷ βίῳ τῶν θηρίων. νῦν δ' οὐκ ἀπὸ τύχης οὐδ' αὐτομάτως περίεσμεν αὐτῶν καὶ κρατοῦμεν, ἀλλ' ὁ Προμηθεύς, τοῦτ' ἔστιν ὁ λογισμὸς αἴτιος

ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονάς
δοὺς ἀντίδωρα καὶ πόνων ἐκδέκτορα

D κατ' Αἰσχύλον. ἐπεὶ τύχῃ γε καὶ φύσει γενέσεως ἀμείνονι τὰ πλεῖστα τῶν ἀλόγων κέχρηται. τὰ μὲν γὰρ ὅπλισται κέρασι καὶ ὀδοῦσι καὶ κέντροις, 'αὐτὰρ ἐχίνοις' φησὶν Ἐμπεδοκλῆς

'ὀξυβελεῖς χαῖται νώτοις ἐπιπεφρίκασι',

τὰ δ' ὑποδέδεται καὶ ἡμφίεσται φολίσι καὶ λάχναις

1, 302—304 H. 6, 370—371 R.

6. Πλάτων] Tim. p. 45 B 11. καὶ τὰς δυνάμεις Reiskius: δυνάμεως 21. Nauck. p. 50 24. ἀμείνονι Reiskius: ἄμεινον 26. ἐχίνοις Stephanus: ἐχῖνος

Digitized by Google

καὶ χηλαῖς καὶ ὁπλαῖς ἀποκρότοις· μόνος δ' ὁ ἄνθρωπος κατὰ τὸν Πλάτωνα 'γυμνὸς καὶ ἄοπλος καὶ ἀνυπόδητος καὶ ἄστρωτος' ὑπὸ τῆς φύσεως ἀπολέλειπται.

'ἀλλ' ἓν διδοῦσα πάντα μαλθάσσει τάδε',
τὸν λογισμὸν καὶ τὴν ἐπιμέλειαν καὶ τὴν πρόνοιαν. E
'ἦ βραχὺ μὲν σθένος ἄνερος· ἀλλά
ποικιλίᾳ πραπίδων
δεινὰ μὲν φῦλα πόντου
χθονίων τ' ἀερίων τε
δάμναται βουλεύματα'.

κουφότατον ἵπποι καὶ ὠκύτατον, ἀνθρώπῳ δὲ θέουσι· μάχιμον κύων καὶ θυμοειδές, ἀλλ' ἄνθρωπον φυλάττει· ἡδύτατον ἰχθὺς καὶ πολύσαρκον ὗς, ἀνθρώπῳ δὲ τροφὴ καὶ ὄψον ἐστί. τί μεῖζον ἐλέφαντος ἢ φοβερώτερον ἰδεῖν; ἀλλὰ καὶ οὗτος παίγνιον γέγονεν ἀνθρώπου καὶ θέαμα πανηγυρικόν, ὀρχήσεις τε μανθάνει καὶ χορείας καὶ προσκυνήσεις, οὐκ ἀχρήστως τῶν τοιούτων παρεισαγομένων, ἀλλ' ἵνα μανθάνωμεν ποῖ F
τὸν ἄνθρωπον ἡ φρόνησις αἴρει καὶ τίνων ὑπεράνω ποιεῖ, καὶ πῶς κρατεῖ πάντων καὶ περίεστιν.

'οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες οὐδὲ παλαισταί,
οὐδὲ ποσὶ κραιπνῶς θέομεν',
ἀλλ' ἐν πᾶσι τούτοις ἀτυχέστεροι τῶν θηρίων ἐσμέν· ἐμπειρίᾳ δὲ καὶ μνήμῃ καὶ σοφίᾳ καὶ τέχνῃ κατ' Ἀναξαγόραν σφῶν τ' αὐτῶν χρώμεθα καὶ βλίττομεν

1, 304—306 H. 6, 371—373 R.

2. Πλάτωνα] Protag. p. 321 C 5. Nauck. p. 300 7. Id. p. 295 9. φῦλα ex p. 959 D 14. ἀνθρώπῳ*: ἀνθρώποις 16. οὗτος Reiskius: τοῦτο 19. ποῖ*: ποῦ 22. Homer. θ 246

Digitized by Google

καὶ ἀμέλγομεν καὶ φέρομεν καὶ ἄγομεν συλλαμβάνοντες, ὥστ' ἐνταῦθα μηδὲν τῆς τύχης ἀλλὰ πάντα τῆς εὐβουλίας εἶναι.

99 4. Ἀλλὰ μὴν καὶ τὰ τεκτόνων δήπου πράγματα θνητῶν ἐστι, καὶ τὰ χαλκοτύπων καὶ οἰκοδόμων καὶ ἀνδριαντοποιῶν, ἐν οἷς οὐδὲν αὐτομάτως οὐδ' ὡς ἔτυχε κατορθούμενον ὁρῶμεν. ὅτι γὰρ 'βραχεῖα σοφῷ τύχη παρεμπίπτει, τὰ δὲ' πλεῖστα καὶ 'μέγιστα' τῶν ἔργων αἱ τέχναι συντελοῦσι δι' αὐτῶν, καὶ οὗτος ὑποδεδήλωκε

'βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρῶναξ λεώς,
οἳ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς
λίκνοισι προστρέπεσθε'·

B τὴν γὰρ Ἐργάνην αἱ τέχναι πάρεδρον οὐ τὴν Τύχην ἔχουσιν. Νεάλκη μέντοι φασὶν ἵππον ζωγραφοῦντα τοῖς μὲν ἄλλοις κατορθοῦν εἴδεσι καὶ χρώμασι, τοῦ δ' ἀφροῦ τὴν περὶ τῷ χαλινῷ κοπτομένην χαυνότητα καὶ τὸ συνεκπῖπτον ἄσθμα μὴ κατορθοῦντα γράφειν τε πολλάκις καὶ ἐξαλείφειν, τέλος δ' ὑπ' ὀργῆς προσβαλεῖν τῷ πίνακι τὸν σπόγγον ὥσπερ εἶχε τῶν φαρ-
C μάκων ἀνάπλεων, τὸν δὲ προσπεσόντα θαυμαστῶς ἐναπομάξαι καὶ ποιῆσαι τὸ δέον. τοῦτο ἔντεχνον τύχης μόνον ἱστορεῖται. κανόσι δὲ καὶ σταθμοῖς καὶ μέτροις καὶ ἀριθμοῖς πανταχοῦ χρῶνται, ἵνα μηδαμοῦ τὸ εἰκῆ καὶ ὡς ἔτυχε τοῖς ἔργοις ἐγγένηται. καὶ μὴν αἱ τέχναι μικραί τινες εἶναι λέγονται φρονήσεις, μᾶλλον δ' ἀπορροαὶ φρονήσεως καὶ ἀποτρίμματα ἐνδιεσπαρμένα ταῖς χρείαις ταῖς περὶ τὸν βίον, ὥσπερ

1, 306—308 H. 6, 373—375 R.

7. βραχεῖα] Epicurus ap. Diog. L. X 144 11. Nauck. p. 248 14. Ἐργάνην*: ἐργάνη καὶ τὴν ἀθηνᾶν 15. Νεάλκη Madvigius: ἕνα 28. χρείαις ταῖς*: χρείαις

Digitized by Google

αἰνίττεται τὸ πῦρ ὑπὸ τοῦ Προμηθέως μερισθὲν ἄλλο ἄλλῃ διασπαρῆναι. καὶ γὰρ τῆς φρονήσεως μόρια καὶ σπάσματα μικρὰ θραυομένης καὶ κατακερματιζομένης εἰς τάξεις κεχώρηκε.

5. Θαυμαστὸν οὖν ἐστι πῶς αἱ μὲν τέχναι τῆς τύχης οὐ δέονται πρὸς τὸ οἰκεῖον τέλος, ἡ δὲ πασῶν μεγίστη καὶ τελειοτάτη τέχνη καὶ τὸ κεφάλαιον τῆς ἀνθρωπίνης εὐφημίας καὶ δικαιώσεως οὐδέν ἐστιν. ἀλλ' ἐν ἐπιτάσει μὲν καὶ ἀνέσει χορδῶν εὐβουλία τίς ἐστιν ἣν μουσικὴν καλοῦσι, καὶ περὶ ἄρτυσιν ὄψων ἣν μαγειρικὴν ὀνομάζομεν, καὶ περὶ πλύσιν ἱματίων ἣν γναφικήν, τούς τε παῖδας καὶ ὑποδεῖσθαι καὶ περιβάλλεσθαι διδάσκομεν καὶ τῇ μὲν δεξιᾷ λαμβάνειν τοῦ ὄψου τῇ δ' ἀριστερᾷ κρατεῖν τὸν ἄρτον, ὡς οὐδὲ τούτων γιγνομένων ἀπὸ τύχης ἀλλ' ἐπιστάσεως καὶ προσοχῆς δεομένων· τὰ δὲ μέγιστα καὶ κυριώτατα πρὸς εὐδαιμονίαν οὐ παρακαλεῖ τὴν φρόνησιν, οὐδὲ μετέχει τοῦ κατὰ λόγον καὶ πρόνοιαν; ἀλλὰ γῆν μὲν οὐδεὶς ὕδατι δεύσας ἀφῆκεν, ὡς ἀπὸ τύχης καὶ αὐτομάτως πλίνθων ἐσομένων, οὐδ' ἔρια καὶ σκύτη κτησάμενος κάθηται τῇ τύχῃ προσευχόμενος ἱμάτιον αὐτῷ καὶ ὑποδήματα γενέσθαι· χρυσίον δὲ πολὺ συμφορήσας καὶ ἀργύριον καὶ πλῆθος ἀνδραπόδων καὶ πολυθύρους αὐλὰς περιβαλόμενος καὶ κλίνας προσθέμενος πολυτελεῖς καὶ τραπέζας οἴεται ταῦτα φρονήσεως αὐτῷ μὴ παραγενομένης εὐδαιμονίαν ἔσεσθαι καὶ βίον ἄλυπον καὶ μακάριον καὶ ἀμετάβλητον; ἠρώτα τις Ἰφικράτην τὸν στρατηγόν, ὥσπερ ἐξελέγχων, τίς ἐστιν; ‘οὔτε

1, 308—310 H. 6, 375—376 R.

9. καὶ ἀνέσει χορδῶν Benselerus: χορδῶν καὶ ἀνέσει
12. τε*: δὲ 13. μὲν*

Digitized by Google

γὰρ ὁπλίτης οὔτε τοξότης οὔτε πελταστής'. κἀκεῖνος 'ὁ τούτοις' ἔφη 'πᾶσιν ἐπιτάττων καὶ χρώμενος'.

6. Οὐ χρυσίον ἡ φρόνησίς ἐστιν οὐδ' ἀργύριον
F οὐδὲ δόξα οὐδὲ πλοῦτος οὐδ' ὑγίεια οὐδ' ἰσχὺς οὐδὲ κάλλος. τί οὖν ἐστι; τὸ πᾶσι τούτοις καλῶς χρῆσθαι δυνάμενον καὶ δι' ὃ τούτων ἕκαστον ἡδὺ γίγνεται καὶ ἔνδοξον καὶ ὠφέλιμον· ἄνευ δὲ τούτου δύσχρηστα καὶ ἄκαρπα καὶ βλαβερά, καὶ βαρύνει καὶ καταισχύνει τὸν κεκτημένον. ἢ που καλῶς ὁ Ἡσιόδου Προμηθεὺς τῷ Ἐπιμηθεῖ παρακελεύεται

'μή ποτε δῶρα
δέξασθαι πὰρ Ζηνὸς Ὀλυμπίου ἀλλ' ἀποπέμπειν',

100 τὰ τυχηρὰ λέγων καὶ τὰ ἐκτός, ὡς εἰ παρεκελεύετο μὴ λυρίζειν ἄμουσον ὄντα μηδ' ἀναγιγνώσκειν ἀγράμματον μηδ' ἱππεύειν ἄνιππον, οὕτω παρακελευόμενος αὐτῷ μὴ ἄρχειν ἀνόητον ὄντα μηδὲ πλουτεῖν ἀνελεύθερον μηδὲ γαμεῖν κρατούμενον ὑπὸ γυναικός. οὐ γὰρ μόνον 'τὸ εὖ πράσσειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγνεται', ὡς Δημοσθένης εἶπεν; ἀλλὰ τὸ εὐτυχεῖν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς πράττειν τοῖς μὴ φρονοῦσιν.

1, 310—311 H. 6, 376—377 B.

9. Ἡσιόδου] O. et D. 86
14. λυρίζειν*: cυρίζειν
19. Δημοσθένης] Olynth. I 23

Digitized by Google

ΠΕΡΙ Β

ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.

1. Τὰ ἱμάτια δοκεῖ θερμαίνειν τὸν ἄνθρωπον, οὐκ αὐτὰ δήπου προσβάλλοντα τὴν θερμότητα (καθ' ἑαυτὸ γὰρ ἕκαστον αὐτῶν ψυχρόν ἐστιν, ἢ καὶ πολλάκις καυματιζόμενοι καὶ πυρέττοντες ἐξ ἑτέρων ἕτερα με-
5 ταλαμβάνουσιν), ἀλλ' ἣν ὁ ἄνθρωπος ἀναδίδωσιν ἐξ C
ἑαυτοῦ θερμότητα, ταύτην ἡ ἐσθὴς τῷ σώματι προσπεσοῦσα συνέχει καὶ περιστέλλει, καὶ καθειργνυμένην εἰς τὸ σῶμα οὐκ ἐᾷ πάλιν σκεδάννυσθαι. ταὐτὸ δὴ τοῦτο τοῖς πράγμασιν ὑπάρχον ἐξαπατᾷ τοὺς πολλούς,
10 ὡς, ἂν οἰκίας μεγάλας περιβάλωνται καὶ πλῆθος ἀνδραπόδων καὶ χρημάτων συναγάγωσιν, ἡδέως βιωσομένους. τὸ δ' ἡδέως ζῆν καὶ ἱλαρῶς οὐκ ἔξωθέν ἐστιν, ἀλλὰ τοὐναντίον ὁ ἄνθρωπος τοῖς περὶ αὐτὸν πράγμασιν ἡδονὴν καὶ χάριν ὥσπερ ἐκ πηγῆς τοῦ
15 ἤθους προστίθησιν.

'αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι', D
καὶ πλοῦτος ἡδίων καὶ δόξα λαμπροτέρα καὶ δύναμις, ἂν τὸ ἀπὸ τῆς ψυχῆς ἔχῃ γῆθος. ὅπου καὶ πε-

1, 319 H. 6, 390—391 R.

2. δήπου*: δήπου θερμαίνοντα καὶ 3. οἱ Stephanus 16. Nauck. p. 343

Digitized by Google

νίαν καὶ φυγὴν καὶ γῆρας ἐλαφρῶς καὶ προσηνῶς
πρὸς εὐκολίαν καὶ πραότητα τρόπου φέρουσιν.

2. Ὡς γὰρ ἀρώματα τρίβωνας εὐώδεις καὶ ῥάκια
ποιεῖ, τοῦ δ' Ἀγχίσου τὸ σῶμα ἰχῶρα πονηρὸν ἐξεδίδου

'νώτου κατασταζοντα βύσσινον φάρος',

οὕτω μετ' ἀρετῆς καὶ δίαιτα πᾶσα καὶ βίος ἄλυπός
ἐστι καὶ ἐπιτερπής, ἡ δὲ κακία καὶ τὰ λαμπρὰ φαινό-
E μενα καὶ πολυτελῆ καὶ σεμνὰ μιγνυμένη λυπηρὰ καὶ
ναυτιώδη καὶ δυσπρόσδεκτα παρέχει τοῖς κεκτημένοις.

'οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται.
ἐπὰν δ' ἀνοίξῃ τὰς θύρας, τρισάθλιος,
γυνὴ κρατεῖ πάντων, ἐπιτάττει μάχετ' ἀεί'.

καίτοι γυναικὸς οὐ χαλεπῶς ἄν τις ἀπαλλαγείη πονη-
ρᾶς ἀνὴρ ὤν, μὴ ἀνδράποδον· πρὸς δὲ τὴν ἑαυτοῦ
κακίαν οὐκ ἔστι γραψάμενον ἀπόλειψιν ἤδη πραγμά-
των ἀφεῖσθαι καὶ ἀναπαύεσθαι γενόμενον καθ' αὑτόν,
ἀλλ' ἀεὶ συνοικοῦσα τοῖς σπλάγχνοις καὶ προσπεφυ-
κυῖα νύκτωρ καὶ μεθ' ἡμέραν

'εὗει ἄτερ δαλοῦ καὶ ὠμῷ γήραϊ δῶκε',

F βαρεῖα συνέκδημος οὖσα δι' ἀλαζονείαν καὶ πολυτε-
λῆς σύνδειπνος ὑπὸ λιχνείας καὶ σύγκοιτος ὀδυνηρά,
φροντίσι καὶ μερίμναις καὶ ζηλοτυπίαις ἐκκόπτουσα
τὸν ὕπνον καὶ διαφθείρουσα. καὶ γὰρ ὃ καθεύ-
δουσι, τοῦ σώματος ὕπνος ἐστὶ καὶ ἀνάπαυσις, τῆς
δὲ ψυχῆς πτοῖαι καὶ οἶστροι καὶ ταραχαὶ διὰ δει-
σιδαιμονίαν.

'ὅταν δὲ νυστάζοντά μ' ἡ λύπη λάβῃ,
ἀπόλλυμ' ὑπὸ τῶν ἐνυπνίων'

1, 312—313 H. 6, 380—382 B.

5. Nauck. p. 168 Hesiod. O. et D. 705 10. Meinek. IV. p. 157 19. 25. οἶστροι*: ὄνειροι 27. Meinek. IV. p. 669

Digitized by Google

φησί τις. οὕτω δὲ καὶ φθόνος καὶ φόβος καὶ θυμὸς καὶ ἀκολασία διατίθησι. μεθ' ἡμέραν μὲν γὰρ ἔξω βλέπουσα καὶ συσχηματιζομένη πρὸς ἑτέρους ἡ κακία δυσωπεῖται καὶ παρακαλύπτει τὰ πάθη, καὶ οὐ παν- 101
5 τάπασι ταῖς ὁρμαῖς ἐκδίδωσιν ἑαυτὴν ἀλλ' ἀντιτείνει καὶ διαμάχεται πολλάκις· ἐν δὲ τοῖς ὕπνοις ἀποφυγοῦσα δόξας καὶ νόμους καὶ πορρωτάτω γενομένη τοῦ δεδιέναι τε καὶ αἰδεῖσθαι πᾶσαν ἐπιθυμίαν κινεῖ, καὶ ἐπανεγείρει τὸ κακόηθες καὶ ἀκόλαστον. 'μητρί τε γὰρ ἐπι-
10 χειρεῖ μίγνυσθαι', ὥς φησιν ὁ Πλάτων, καὶ βρώσεις ἀθέσμους προσφέρεται καὶ πράξεως οὐδεμιᾶς ἀπέχεται, ἀπολαύουσα τοῦ παρανομεῖν ὡς ἀνυστόν ἐστιν εἰδώλοις καὶ φάσμασιν εἰς οὐδεμίαν ἡδονὴν οὐδὲ τελείωσιν τοῦ ἐπιθυμοῦντος τελευτῶσιν, ἀλλὰ κινεῖν μόνον καὶ δια- B
15 γριαίνειν τὰ πάθη καὶ τὰ νοσήματα δυναμένοις.

3. Ποῦ τοίνυν τὸ ἡδὺ τῆς κακίας ἐστίν, εἰ μηδαμοῦ τὸ ἀμέριμνον καὶ τὸ ἄλυπον μηδ' αὐτάρκεια μηδ' ἀταραξία μηδ' ἡσυχία; ταῖς μὲν γὰρ τῆς σαρκὸς ἡδοναῖς ἡ τοῦ σώματος εὐκρασία καὶ ὑγίεια χώραν
20 δίδωσι· τῇ δὲ ψυχῇ οὐκ ἔστιν ἐγγενέσθαι γῆθος οὐδὲ χαρὰν βέβαιον, ἂν μὴ τὸ εὔθυμον καὶ ἄφοβον καὶ θαρραλέον ὥσπερ ἕδραν ἢ γαλήνην ἄκλυστον ὑποβάληται, ἀλλὰ κἂν ὑπομειδιάσῃ τις ἐλπὶς ἢ τέρψις, αὖτη ταχὺ φροντίδος ἐκραγείσης ὥσπερ ἐν εὐδίᾳ σπι-
25 λάδος συνεχύθη καὶ συνεταράχθη.

4. Ἄθροιζε χρυσίον, σύναγε ἀργύριον, οἰκοδόμει C περιπάτους, ἔμπλησον ἀνδραπόδων τὴν οἰκίαν καὶ χρεωστῶν τὴν πόλιν. ἂν μὴ τὰ πάθη τῆς ψυχῆς καταστορέσῃς καὶ τὴν ἀπληστίαν παύσῃς καὶ φόβων

1, 313—314 H. 6, 382—382 R.

6. διαμάχεται*: μάχεται 10. Πλάτων] Rep. IX. p. 571 D 12. εἰδώλοις] ἐν εἰδώλοις Stephanus

Digitized by Google

καὶ φροντίδων ἀπαλλάξῃς σαυτόν, οἶνον διηθεῖς πυ-
ρέττοντι καὶ χολικῷ μέλι προσφέρεις καὶ σιτία καὶ
ὄψα κοιλιακοῖς ἑτοιμάζεις καὶ δυσεντερικοῖς, μὴ στέ-
γουσι μηδὲ ῥωννυμένοις ἀλλὰ προσδιαφθειρομένοις
ὑπ' αὐτῶν. οὐχ ὁρᾷς τοὺς νοσοῦντας ὅτι τῶν βρω- 5
μάτων τὰ καθαρώτατα καὶ πολυτελέστατα δυσχεραί-
D νουσι καὶ διαπτύουσι καὶ παραιτοῦνται προσφερόντων
καὶ βιαζομένων, εἶτα τῆς κράσεως μεταβαλούσης καὶ
πνεύματος χρηστοῦ καὶ γλυκέος αἵματος ἐγγενομένου
καὶ θερμότητος οἰκείας ἀναστάντες ἄρτον λιτὸν ἐπὶ 10
τυρῷ καὶ καρδάμῳ χαίρουσι καὶ ἀσμενίζουσιν ἐσθίον-
τες; τοιαύτην ὁ λόγος ἐμποιεῖ τῇ ψυχῇ διάθεσιν.
αὐτάρκης ἔσῃ, ἂν μάθῃς τί τὸ καλὸν καὶ ἀγαθόν ἐστι·
τρυφήσεις ἐν πενίᾳ καὶ βασιλεύσεις καὶ τὸν ἀπράγμονα
βίον καὶ ἰδιώτην οὐδὲν ἧττον ἀγαπήσεις ἢ τὸν ἐπὶ 15
στρατηγίαις καὶ ἡγεμονίαις· οὐ βιώσῃ φιλοσοφήσας
ἀληθῶς, ἀλλὰ πανταχοῦ ζῆν ἡδέως μαθήσῃ καὶ ἀπὸ
πάντων· εὐφρανεῖ σε πλοῦτος πολλοὺς εὐεργετοῦντα
E καὶ πενία πολλὰ μὴ μεριμνῶντα καὶ δόξα τιμώμενον
καὶ ἀδοξία μὴ φθονούμενον. 20

1, 314—315 H. 6, 384—385 R.

11. ἐσθίοντες Iannotius: ἔσθοντες

ΠΑΡΑΜΥΘΗΤΙΚΟΣ ΠΡΟΣ ΑΠΟΛΛΩΝΙΟΝ. F

1. Καὶ πάλαι σοι συνήλγηκα καὶ συνηχθέσθην, Ἀπολλώνιε, ἀκούσας περὶ τῆς τοῦ προσφιλεστάτου πᾶσιν ἡμῖν υἱοῦ σου προώρου μεταλλαγῆς τοῦ βίου, νεανίσκου κοσμίου πάνυ καὶ σώφρονος καὶ διαφερόντως τά τε πρὸς θεοὺς καὶ πρὸς γονέας καὶ φίλους ὅσια καὶ δίκαια διαφυλάξαντος. τότε μὲν οὖν ὑπὸ τὸν τῆς 102
τελευτῆς καιρὸν ἐντυγχάνειν σοι καὶ παρακαλεῖν ἀνθρωπίνως φέρειν τὸ συμβεβηκὸς ἀνοίκειον ἦν, παρειμένῳ τό τε σῶμα καὶ τὴν ψυχὴν ὑπὸ τῆς παραλόγου συμφορᾶς· οὐδὲ γὰρ οἱ βέλτιστοι τῶν ἰατρῶν πρὸς τὰς ἀθρόας τῶν ῥευμάτων ἐπιφορὰς εὐθὺς προσφέρουσι τὰς διὰ τῶν φαρμάκων βοηθείας, ἀλλ' ἐῶσι τὸ βαρῦνον τῆς φλεγμονῆς δίχα τῆς τῶν ἔξωθεν περιχρίστων ἐπιθέσεως αὐτὸ δι' ἑαυτοῦ ἰλαβεῖν πέψιν.
(2) ἐπειδὴ δὲ καὶ χρόνος ὁ πάντα πεπαίνειν εἰωθὼς ἐγγέγονε τῇ συμφορᾷ καὶ ἡ περὶ σὲ διάθεσις ἀπαιτεῖν Β
ἔοικε τὴν παρὰ τῶν φίλων βοήθειαν, καλῶς ἔχειν

1, 316—317 H. 6, 386—387 R.

5. καὶ πρὸς Stephanus: καὶ τὰ πρὸς συμφορᾶς καὶ συμπαθεῖν δ' ἦν ἀναγκαῖον 10. συμφορᾶς*: 15β δὲ*: οὖν

Digitized by Google

ὑπέλαβον τῶν παραμυθητικῶν σοι μεταδοῦναι λόγων πρὸς ἄνεσιν τῆς λύπης καὶ παῦλαν τῶν πενθικῶν καὶ ματαίων ὀδυρμῶν.

'ψυχῆς' γὰρ 'νοσούσης εἰσὶν ἰατροὶ λόγοι,
ὅταν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ.'

κατὰ γὰρ τὸν σοφὸν Εὐριπίδην

'ἄλλο δέ γ' ἐπ' ἄλλῃ φάρμακον κεῖται νόσῳ·
λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλων,
ἄγαν δὲ μωραίνοντι νουθετήματα'.

C πολλῶν γὰρ ὄντων ψυχικῶν παθῶν, ἡ λύπη τὸ χαλεπώτατον πέφυκεν εἶναι πάντων.

'διὰ λύπην γάρ' φησι 'καὶ μανία γίγνεται
πολλοῖσι καὶ νοσήματ' οὐκ ἰάσιμα,
αὐτούς τ' ἀνῃρήκασι διὰ λύπην τινές'.

3. Τὸ μὲν οὖν ἀλγεῖν καὶ δάκνεσθαι τελευτήσαντος υἱοῦ φυσικὴν ἔχει τὴν ἀρχὴν τῆς λύπης, καὶ οὐκ ἐφ' ἡμῖν. οὐ γὰρ ἔγωγε συμφέρομαι τοῖς τὴν ἄγριον ὑμνοῦσι καὶ σκληρὰν ἀπάθειαν, ἔξω καὶ τοῦ δυνατοῦ καὶ τοῦ συμφέροντος οὖσαν· ἀφαιρήσεται γὰρ ἡμῶν αὕτη τὴν ἐκ τοῦ φιλεῖσθαι καὶ φιλεῖν εὖ-
D νοιαν, ἣν παντὸς μᾶλλον διασῴζειν ἀναγκαῖον. τὸ δὲ πέρα τοῦ μετρίου παρεκφέρεσθαι καὶ συναύξειν τὰ πένθη παρὰ φύσιν εἶναί φημι καὶ ὑπὸ τῆς ἐν ἡμῖν φαύλης γίγνεσθαι δόξης. διὸ καὶ τοῦτο μὲν ἐατέον ὡς βλαβερὸν καὶ φαῦλον καὶ σπουδαίοις ἀνδράσιν ἥκιστα πρέπον, τὴν δὲ μετριοπάθειαν οὐκ ἀποδοκι-

1, 317—318 H. 6, 387—388 R.

4. ψυχῆς] Aesch. Prom. 379 6. Εὐριπίδην] Nauck. p. 524 12. Meinek. IV. p. 43 φησι καὶ μανία γίγνεται πολλοῖσι* (Stobaeus Flor. XCIX 1): φασι καὶ μανίαν γίνεσθαι πολλοῖς 22. μετρίου Pflugkius: μέτρου

Digitized by Google

μαστέον. 'μὴ γὰρ νοσοῖμεν' φησὶν ὁ ἀκαδημιακὸς Κράντωρ, 'νοσήσαι δὲ παρείη τις αἴσθησις, εἶτ' οὖν τέμνοιτό τι τῶν ἡμετέρων εἶτ' ἀποσπῷτο. τὸ γὰρ ἀνώδυνον τοῦτο οὐκ ἄνευ μεγάλων ἐγγίγνεται μισθῶν τῷ ἀνθρώπῳ· τεθηριῶσθαι γὰρ εἰκὸς ἐκεῖ μὲν σῶμα ἐνταῦθα δὲ ψυχήν'. E

4. Οὔτ' οὖν ἀπαθεῖς ἐπὶ τῶν τοιούτων συμφορῶν ὁ λόγος ἀξιοῖ γίγνεσθαι τοὺς εὖ φρονοῦντας οὔτε δυσπαθεῖς· τὸ μὲν γὰρ ἄτεγκτον καὶ θηριῶδες, τὸ δ' ἐκλελυμένον καὶ γυναικοπρεπές. εὐλόγιστος δ' ὁ τὸν οἰκεῖον ὅρον ἔχων καὶ δυνάμενος φέρειν δεξιῶς τά τε προσηνῆ καὶ τὰ λυπηρὰ τῶν ἐν τῷ βίῳ συμβαινόντων, καὶ προειληφὼς ὅτι καθάπερ ἐν δημοκρατίᾳ κλῆρός ἐστι τῶν ἀρχῶν καὶ δεῖ λαχόντα μὲν ἄρχειν ἀπολαχόντα δὲ φέρειν ἀνεπαχθῶς τὴν τύχην, οὕτω καὶ τῇ διανομῇ τῶν πραγμάτων ἀνεγκλήτως καὶ πειθηνίως ἕπεσθαι. τοῦτο γὰρ οἱ μὴ δυνάμενοι ποιεῖν F οὐδὲ τὰς εὐπραγίας ἂν ἐμφρόνως φέρειν δύναιντο καὶ μετρίως. τῶν μὲν γὰρ καλῶς λεγομένων ἐστὶν ἐν ὑποθήκης μέρει καὶ τοῦτο

'μηδ' εὐτύχημα μηδὲν ὦδ' ἔστω μέγα,
ὅ σ' ἐξεπαρεῖ μεῖζον ἢ χρεὼν φρονεῖν,
μηδ' ἄν τι συμβῇ δυσχερές, δουλοῦ πάλιν,
ἀλλ' αὐτὸς αἰεὶ μίμνε, τὴν σαυτοῦ φύσιν
σῴζων βεβαίως, ὥστε χρυσὸς ἐν πυρί'.

πεπαιδευμένων δέ ἐστι καὶ σωφρόνων ἀνδρῶν πρός τε τὰς δοκούσας εὐτυχίας τὸν αὐτὸν εἶναι, καὶ πρὸς 103
τὰς ἀτυχίας φυλάξαι γενναίως τὸ πρέπον. τῆς γὰρ εὐλογιστίας ἔργον ἐστὶν ἡ φυλάξασθαι τὸ κακὸν ἐπι-

1, 318—319 H. 6, 388—390 B.

5. σῶμα Döhnerus: σῶμα τοιοῦτον p. 524 21. Nauck.

Digitized by Google

φερόμενον ἢ διορθώσασθαι γενόμενον ἢ συστεῖλαι πρὸς τὸ βραχύτατον ἢ παρασκευάζειν αὑτῷ τὴν ὑπομονὴν ἄρρενα καὶ γενναίαν. καὶ γὰρ περὶ τἀγαθὸν ἡ φρόνησις πραγματεύεται τεταχῶς, ἢ κτωμένη τἀγαθὰ ἢ φυλάττουσα ἢ αὔξουσα ἢ χρωμένη δεξιῶς. οὗτοι τῆς φρονήσεως καὶ τῶν ἄλλων ἀρετῶν εἰσι κανόνες, οἷς πρὸς ἀμφότερα χρηστέον.

B 'οὐκ ἔστιν' γὰρ 'ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ'
καὶ νὴ Δία
'τό τοι χρεὼν οὐκ ἔστι μὴ χρεὼν ποιεῖν'.

5. Ὥσπερ γὰρ ἐν φυτοῖς ποτὲ μὲν πολυκαρπίαι γίγνονται ποτὲ δ' ἀκαρπίαι, καὶ ἐν ζώοις ποτὲ μὲν πολυγονίαι ποτὲ δ' ἀγονίαι, καὶ ἐν θαλάττῃ εὐδίαι τε καὶ χειμῶνες, οὕτω καὶ ἐν βίῳ πολλαὶ καὶ ποικίλαι περιστάσεις γιγνόμεναι πρὸς τὰς ἐναντίας περιάγουσι τοὺς ἀνθρώπους τύχας. εἰς ἃς διαβλέψας ἄν τις οὐκ ἀπεικότως εἴποι

'οὐκ ἐπὶ πᾶσίν σ' ἐφύτευσ' ἀγαθοῖς
C Ἀγαμέμνον' Ἀτρεύς.
δεῖ δέ σε χαίρειν καὶ λυπεῖσθαι·
θνητὸς γὰρ ἔφυς. κἂν μὴ σὺ θέλῃς,
τὰ θεῶν οὕτω βουλόμεν' ἔσται'

καὶ τὸ ὑπὸ τοῦ Μενάνδρου ῥηθέν

'εἰ γὰρ ἐγένου σύ, Τρόφιμε, τῶν πάντων μόνος,
ὅτ' ἔτικτεν ἡ μήτηρ σ', ἐφ' ᾧ τε διατελεῖν
πράσσων ἃ βούλει καὶ διευτυχῶν ἀεί,

1, 319 H. 6, 390—391 R.

8. Nauck. p. 447 10. Id. p. 697 13. δ'*: δὲ καὶ 18. Eurip. Iph. A. 29 22. βουλόμεν' Euripides: βουλομένων 23. Μενάνδρου] Meinek. IV. p. 227 25. τε Schäferus: γε

Digitized by Google

καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
ὀρθῶς ἀγανακτεῖς· ἔστι γάρ σ' ἐψευσμένος,
ἄτοπόν τε πεποίηκ'. εἰ δ' ἐπὶ τοῖς αὐτοῖς νόμοις
ἐφ' οἷσπερ ἡμεῖς ἔσπασας τὸν ἀέρα
τὸν κοινόν, ἵνα σοι καὶ τραγικώτερον λαλῶ, D
οἰκτέον ἄμεινον ταῦτα καὶ λογιστέον.
τὸ δὲ κεφάλαιον τῶν λόγων, ἄνθρωπος εἶ,
οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος καὶ πάλιν
ταπεινότητα ζῷον οὐδὲν λαμβάνει.
καὶ μάλα δικαίως· ἀσθενέστατον γὰρ ὄν
φύσει μεγίστοις οἰκονομεῖται πράγμασιν,
ὅταν πέσῃ δέ, πλεῖστα συντρίβει καλά.
σὺ δ' οὔθ' ὑπερβάλλοντα Τρόφιμ' ἀπώλεσας
ἀγαθά, τὰ νυνί τ' ἐστί μέτρια σοι κακά. E
ὥστ' ἀνὰ μέσον που καὶ τὸ λοιπὸν διάφερε'.
ἀλλ' ὅμως τοιούτων ὄντων τῶν πραγμάτων ἔνιοι διὰ
τὴν ἀφροσύνην οὕτως εἰσὶν ἀβέλτεροι καὶ κεναυ-
χεῖς, ὥστε μικρὸν ἐπαρθέντες ἢ διὰ χρημάτων περι-
ουσίαν ἄφθονον ἢ διὰ μέγεθος ἀρχῆς ἢ διά τινας
προεδρίας πολιτικὰς ἢ διὰ τιμὰς καὶ δόξας ἐπαπειλεῖν
τοῖς ἥττοσι καὶ ἐξυβρίζειν, οὐκ ἐνθυμούμενοι τὸ τῆς F
τύχης ἄστατον καὶ ἀβέβαιον, οὐδ' ὅτι ῥᾳδίως τὰ
ὑψηλὰ γίγνεται ταπεινὰ καὶ τὰ χθαμαλὰ πάλιν ὑψοῦ-
ται ταῖς ὀξυρρόποις μεθιστάμενα τῆς τύχης μεταβο-
λαῖς. ζητεῖν οὖν ἐν ἀβεβαίοις βέβαιόν τι λογιζομέ-
νων ἐστὶ περὶ τῶν πραγμάτων οὐκ ὀρθῶς·
'τροχοῦ' γὰρ 'περιστείχοντος ἄλλοθ' ἠτέρα
ἄψὶς ὕπερθε γίγνετ' ἄλλοθ' ἠτέρα'.
6. Κράτιστον δὴ πρὸς ἀλυπίαν φάρμακον ὁ λόγος

1, 319—321 H. 6, 391—394 R.

2. c' Grotius 13. τ'*: δ' 14. τὰ νυνὶ Bentleius: τανῦν 15. διάφερε*: φέρε 27. Bergk. p. 1358[3]

Digitized by Google

φερόμενον ἢ διαρθώσεσθαι γενόμενον ἢ συστεῖλαι πρὸς τὸ βραχύτατον ἢ παρασκευάζειν αὐτῷ τὴν ὑπομονὴν ἄρρενα καὶ γεννοίαν. καὶ γὰρ περὶ τἀγαθὸν ἡ φρόνησις πραγματεύεται τετραχῶς. ἢ κτωμένη τἀγαθὰ ἢ φυλάττουσα ἢ αὐξουσα ἢ χρωμένη δεξιῶς. οὗτοι τῆς φρονήσεως καὶ τῶν ἄλλων ἀρετῶν εἰσι κανόνες, οἷς πρὸς ἀμφότερα χρηστέον.

B 'οὐκ ἔστιν' γὰρ 'ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ'

καὶ νὴ Δία

'τό τοι χρεὼν οὐκ ἔστι μὴ χρεὼν ποιεῖν'.

5. Ὥσπερ γὰρ ἐν φυτοῖς ποτὲ μὲν πολυκαρπίαι γίγνονται ποτὲ δ' ἀκαρπίαι, καὶ ἐν ζῴοις ποτὲ μὲν πολυγονίαι ποτὲ δ' ἀγονίαι, καὶ ἐν θαλάττῃ εὐδίαι τε καὶ χειμῶνες, οὕτω καὶ ἐν βίῳ πολλαὶ καὶ ποικίλαι περιστάσεις γιγνόμεναι πρὸς τὰς ἐναντίας περιάγουσι τοὺς ἀνθρώπους τύχας. εἰς ἃς διαβλέψας ἄν τις οὐκ ἀπεικότως εἴποι

'οὐκ ἐπὶ πᾶσίν σ' ἐφύτευσ' ἀγαθοῖς
C 'Αγαμέμνον 'Ατρεύς.
δεῖ δέ σε χαίρειν καὶ λυπεῖσθαι·
θνητὸς γὰρ ἔφυς. κἂν μὴ σὺ θέλῃς,
τὰ θεῶν οὕτω βουλόμεν' ἔσται'

καὶ τὸ ὑπὸ τοῦ Μενάνδρου ῥηθέν

'εἰ γὰρ ἐγένου σύ, Τρόφιμε, τῶν πάντων μόνος,
ὅτ' ἔτικτεν ἡ μήτηρ σ', ἐφ' ᾧ τε διατελεῖν
πράσσων ἃ βούλει καὶ διευτυχῶν ἀεί,

1, 319 H. 6, 390—391 R.

8. Nauck. p. 447 10. Id. p. 697 13. δ'*: δὲ καὶ 18. Eurip. Iph. A. 29 [illegible] βουλόμεν' Euripides: βουλομένων 23. Μενάνδρου [illegible]k. IV. p. 227 25. τε Schäferus: γε

καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
ὀρθῶς ἀγανακτεῖς· ἔστι γάρ σ' ἐψευσμένος,
ἄτοπόν τε πεποίηκ'. εἰ δ' ἐπὶ τοῖς αὐτοῖς νόμοις
ἐφ' οἷσπερ ἡμεῖς ἔσπασας τὸν ἀέρα
5 τὸν κοινόν, ἵνα σοι καὶ τραγικώτερον λαλῶ, D
οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον.
τὸ δὲ κεφάλαιον τῶν λόγων, ἄνθρωπος εἶ,
οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος καὶ πάλιν
ταπεινότητα ζῷον οὐδὲν λαμβάνει.
10 καὶ μάλα δικαίως· ἀσθενέστατον γὰρ ὂν
φύσει μεγίστοις οἰκονομεῖται πράγμασιν,
ὅταν πέσῃ δέ, πλεῖστα συντρίβει καλά.
σὺ δ' οὔθ' ὑπερβάλλοντα Τρόφιμ' [illegible]
ἀγαθά, τὰ νυνί τ' ἐστί μέτριά σοι [illegible]
15 ὥστ' ἀνὰ μέσον που καὶ τὸ λοιπὸν [illegible]
ἀλλ' ὅμως τοιούτων ὄντων τῶν πραγμ[illegible] ἔνιοι διὰ
τὴν ἀφροσύνην οὕτως εἰσὶν ἀβέλτεροι [illegible]
χεῖς, ὥστε μικρὸν ἐπαρθέντες ἢ [illegible]
ουσίαν ἄφθονον ἢ διὰ μέγεθος [illegible] διὰ τινας
20 προεδρίας πολιτικὰς ἢ διὰ τιμὰς [illegible]
τοῖς ἥττοσι καὶ ἐξυβρίζειν, οὐκ [illegible]
τύχης ἄστατον καὶ ἀβέβαιον, [illegible]
ὑψηλὰ γίγνεται ταπεινὰ καὶ [illegible]
ται ταῖς ὀξυρρόποις μεθιστ[illegible]
25 λαῖς. ζητεῖν οὖν ἐν ἀβε[illegible]
νων ἐστὶ περὶ τῶν πρα[illegible]

'τροχοῦ' γὰρ 'πε[illegible]
ἀψὶς ὕπερθε γίγνε[illegible]'.

6. Κράτιστον δὴ [illegible] E

1, 319—321 H. 395—397 R.

2. σ' Grotius [illegible] υχεῖν
τανῦν 15. διάφερε[illegible]

καὶ ἡ διὰ τούτου παρασκευὴ πρὸς πάσας τοῦ βίου τὰς μεταβολάς. χρὴ γὰρ οὐ μόνον ἑαυτὸν εἰδέναι θνητὸν ὄντα τὴν φύσιν, ἀλλὰ καὶ ὅτι θνητῷ σύγκληρός ἐστι βίῳ καὶ πράγμασι ῥᾳδίως μεθισταμένοις πρὸς
104 τοὐναντίον. ἀνθρώπων γὰρ ὄντως θνητὰ μὲν καὶ ἐφήμερα τὰ σώματα, θνηταὶ δὲ τύχαι καὶ πάθη καὶ πάνθ' ἁπλῶς τὰ κατὰ τὸν βίον, ἅπερ

'οὐκ ἔστι φυγεῖν βροτὸν οὐδ' ὑπαλύξαι'

τὸ παράπαν ἀλλά

'Ταρτάρου πυθμὴν πιέζει c' ἀφανοῦς σφυρηλάτοις ἀνάγκαις',

ὡς φησι Πίνδαρος. ὅθεν ὀρθῶς ὁ Φαληρεὺς Δημήτριος εἰπόντος Εὐριπίδου

'ὁ δ' ὅλβος οὐ βέβαιος ἀλλ' ἐφήμερος'

καὶ ὅτι

'μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα
τὰ μὲν καθεῖλεν ὑψόθεν τὰ δ' ἦρ' ἄνω'

B τὰ μὲν ἄλλα καλῶς ἔφη λέγειν αὐτόν, 'βέλτιον δ' ἂν ἔχον ἦν, εἰ μὴ μίαν ἡμέραν ἀλλὰ στιγμὴν εἶπε χρόνου'.

'κύκλος γὰρ αὐτὸς καρπίμοις τε γῆς φυτοῖς
θνητῶν τε γενεᾷ. τοῖς μὲν αὔξεται βίος,
τῶν δὲ φθίνει τε κἀκθερίζεται πάλιν.'

ὁ δὲ Πίνδαρος ἐν ἄλλοις

'τί δέ τις; τί δ' οὔ τις; σκιᾶς ὄναρ ἄνθρωπος,

ἐμφαντικῶς σφόδρα καὶ φιλοτέχνως ὑπερβολῇ χρησά-

1, 321—322 H. 6, 394—394 R.

8. Homer. M 326 10. Bergk. p. 357[3] 13. Εὐριπίδου] Phoen. 558 16. μικρὰ τὰ* (ὡς μικρὰ τὰ Stobaeus Flor. CV 1. Nauck. p. 388): μικρότατα 19. ἔχον ἦν*: εἶχεν ὄν 21. Nauck. p. 387 24. Πίνδαρος] Pyth. VIII 135

Digitized by Google

μενος τὸν τῶν ἀνθρώπων βίον ἐδήλωσε. τί γὰρ σκιᾶς ἀσθενέστερον; τὸ δὲ ταύτης ὄναρ οὐδ' ἂν ἐκφράσαι τις ἕτερος δυνηθείη σαφῶς. τούτοις δ' ἑπομένως καὶ C
ὁ Κράντωρ παραμυθούμενος ἐπὶ τῇ τῶν τέκνων τε-
λευτῇ τὸν Ἱπποκλέα φησί 'ταῦτα γὰρ πᾶσα αὕτη ἡ ἀρχαία φιλοσοφία λέγει τε καὶ παρακελεύεται. ὧν εἰ δή τι ἄλλο μὴ ἀποδεχόμεθα, τό γε πολλαχῆ εἶναι ἐργώδη καὶ δύσκολον τὸν βίον ἄγαν ἀληθές. καὶ γὰρ εἰ μὴ φύσει τοῦτον ἔχει τὸν τρόπον, ὑπό γε ἡμῶν εἰς τοῦτο ἀφῖκται διαφθορᾶς. ἥ τε ἄδηλος αὕτη τύχη πόρρωθεν ἡμῖν καὶ ἔτι ἀπ' ἀρχῆς ἠκολούθηκεν οὐδ' ἐφ' ἑνὶ ὑγιεῖ, φυομένοις τε μίγνυταί τις ἐν πᾶσι κακοῦ μοῖρα· τὰ γάρ τοι σπέρματα εὐθὺς θνητὰ ὄντα ταύτης κοινωνεῖ τῆς αἰτίας, ἐξ ἧς ἀφυΐα μὲν ψυχῆς, νόσοι δὲ καὶ κήδεα καὶ μοῖρα θνητῶν ἐκεῖθεν ἡμῖν ἕρπει'. τοῦ δὴ χάριν ἐτραπόμεθα δεῦρο; ἵν' εἰδείη- D
μεν ὅτι καινὸν οὐδὲν ἀτυχεῖν ἀνθρώπῳ ἀλλὰ πάντες ταὐτὸ πεπόνθαμεν. 'ἄσκοπος γὰρ ἡ τύχη' φησὶν ὁ Θεόφραστος 'καὶ δεινὴ παρελέσθαι τὰ προπεπονημένα καὶ μεταρρῖψαι τὴν δοκοῦσαν εὐημερίαν, οὐδένα καιρὸν ἔχουσα τακτόν'. ταῦτα δὲ καὶ ἄλλα τοιαῦτα καὶ καθ' ἑαυτὸν ἑκάστῳ λογίσασθαι ῥᾴδιον, καὶ ἄλλων ἀκοῦσαι παλαιῶν καὶ σοφῶν ἀνδρῶν· ὧν πρῶτος μέν ἐστιν ὁ θεῖος Ὅμηρος, εἰπών

'οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.
οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι ὀπίσσω,
ὅφρ' ἀρετὴν παρέχωσι θεοὶ καὶ γούνατ' ὀρώρῃ·
ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσι,
καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ' E

1, 322—323 H. 6, 395—397 R.

15. δὲ*: τε 17. οὐδὲν ἀτυχεῖν Reiskius: ἀτυχεῖν οὐδὲν 28. τελέσωσι* (Homer. c 133): τελέουσι

Digitized by Google

καί

'τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε'

καὶ ἐν ἄλλοις

'Τυδείδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.
φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίγνεται ὥρη·
ὣς ἀνδρῶν γενεὴ ἣ μὲν φύει ἣ δ' ἀπολήγει'.

F ταύτῃ δ' ὅτι καλῶς ἐχρήσατο τῇ εἰκόνι τοῦ ἀνθρωπείου βίου δῆλον ἐξ ὧν ἐν ἄλλῳ τόπῳ φησὶν οὕτω

'βροτῶν ἕνεκα πτολεμίζω
δειλῶν, οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι, οὐδέ τις ἀλκή'.

105 Σιμωνίδης δ' ὁ τῶν μελῶν ποιητής, Παυσανίου τοῦ βασιλέως τῶν Λακεδαιμονίων μεγαλαυχουμένου συνεχῶς ἐπὶ ταῖς αὐτοῦ πράξεσι καὶ κελεύοντος ἀπαγγεῖλαί τι αὐτῷ σοφὸν μετὰ χλευασμοῦ, συνεὶς αὐτοῦ τὴν ὑπερηφανίαν συνεβούλευε μεμνῆσθαι ὅτι ἄνθρωπός ἐστι· Φίλιππος δ' ὁ τῶν Μακεδόνων βασιλεὺς τριῶν αὐτῷ προσαγγελθέντων εὐτυχημάτων ὑφ' ἕνα καιρόν, πρώτου μὲν ὅτι τεθρίππῳ νενίκηκεν ὀλύμπια, δευτέρου δ' ὅτι Παρμενίων ὁ στρατηγὸς μάχῃ Δαρ-
B δανέας ἐνίκησε, τρίτου δ' ὅτι ἄρρεν αὐτῷ παιδίον ἐκύησεν Ὀλυμπιάς, ἀνατείνας εἰς τὸν οὐρανὸν τὰς χεῖρας 'ὦ δαῖμον' εἶπε, 'μέτριόν τι τούτοις ἀντίθες ἐλάττωμα', εἰδὼς ὅτι τοῖς μεγάλοις εὐτυχήμασι φθο-

1, 323—325 H. 6, 397—398 B.

2. Homer. ζ 136 5. Id. Z 145 13. Id. Φ 463
πτολεμίζω*: πτολεμίζειν

Digitized by Google

νεῖν πέφυκεν ἡ τύχη. Θηραμένης δ' ὁ γενόμενος Ἀθήνηςι τῶν τριάκοντα τυράννων, cυμπεcούcης τῆς οἰκίας ἐν ᾗ μετὰ πλειόνων ἐδείπνει, μόνος cωθεὶς καὶ πρὸς πάντων εὐδαιμονιζόμενος, ἀναφωνήcας μεγάλῃ τῇ φωνῇ 'ὦ τύχη' εἶπεν, 'εἰc τίνα με καιρὸν ἄρα φυλάττειc;' μετ' οὐ πολὺν δὲ χρόνον καταcτρεβλωθεὶc ὑπὸ τῶν cυντυράννων ἐτελεύτηcεν.

7. Ὑπερφυῶc δὲ φαίνεται περὶ τὴν παραμυθίαν ὁ ποιητὴc εὐδοκιμεῖν, ποιήcαc τὸν Ἀχιλλέα λέγοντα πρὸc τὸν Πρίαμον ἥκοντα ἐπὶ λύτρα τοῦ Ἕκτορος ταυτί C

'ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ' ἔμπηc
ἐν θυμῷ κατακεῖcθαι ἐάcομεν ἀχνύμενοί περ·
οὐ γάρ τιc πρῆξιc πέλεται κρυεροῖο γόοιο.
ὣc γὰρ ἐπεκλώcαντο θεοὶ δειλοῖcι βροτοῖcι,
ζώειν ἀχνυμένοιc· αὐτοὶ δέ τ' ἀκηδέεc εἰcί.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸc οὔδει
δώρων οἷα δίδωcι, κακῶν, ἕτεροc δὲ ἐάων.
ᾧ μέν κ' ἀμμίξαc δώῃ Ζεὺc τερπικέραυνοc,
ἄλλοτε μέν τε κακῷ ὅ γε κύρεται ἄλλοτε δ' D
ἐcθλῷ·
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε
καί έ κακὴ βούβρωcτιc ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾷ δ' οὔτε θεοῖcι τετιμένοc οὔτε βροτοῖcιν'.

ὁ δὲ μετὰ τοῦτον καὶ τῇ δόξῃ καὶ τῷ χρόνῳ, καίτοι τῶν Μουcῶν ἀναγορεύων ἑαυτὸν μαθητὴν Ἡcίοδοc, καὶ οὗτοc ἐν πίθῳ καθείρξαc τὰ κακά, τὴν Πανδώραν ἀνοίξαcαν ἀποφαίνει cκεδάcαι τὸ πλῆθοc ἐπὶ πᾶcαν γῆν καὶ θάλατταν, λέγων ὧδε

1, 325—326 H. 6, 398—400 R.

12. Homer. Ω 522

Digitized by Google

'ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
E ἐσκέδασ'· ἀνθρώποισι δὲ μήσατο κήδεα λυγρά.
μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν
ἔνδον ἔμεινε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη· πρόσθεν γὰρ ἐπέλλαβε πῶμα πίθοιο. 5
ἀλλὰ δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα.
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ αἳ δ' ἐπὶ νυκτί
αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητιέτα Ζεύς'. 10

F 8. Ἀπηρτημένως δὲ τούτοις ὁ κωμικὸς ἐπὶ τῶν δυσπαθούντων ἐπὶ ταῖς τοιαύταις συμφοραῖς ταυτὶ λέγει

'εἰ τὰ δάκρυ' ἡμῖν τῶν κακῶν ἦν φάρμακον,
ἀεί θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο, 15
ἠλλαττόμεσθ' ἂν δάκρυα, δόντες χρυσίον.
νῦν δ' οὐ προσέχει τὰ πράγματ' οὐδ' ἀποβλέπει
εἰς ταῦτα, δέσποτ', ἀλλὰ τὴν αὐτὴν ὁδόν,
ἐάν τε κλάῃς ἄν τε μή, πορεύεται.
τί οὖν ποιεῖς πλέον; οὐδέν· ἡ λύπη δ' ἔχει 20
106 ὥσπερ τὰ δένδρα τοῦτο καρπὸν τὸ δάκρυον'.

ὁ δὲ παραμυθούμενος τὴν Δανάην δυσπενθοῦσαν Δίκτυς φησί

'δοκεῖς τὸν Ἅιδην σῶν τι φροντίζειν γόων
καὶ παῖδ' ἀνήσειν τὸν σόν, εἰ θέλοις στένειν; 25
παῦσαι· βλέπουσα δ' εἰς τὰ τῶν πέλας κακὰ
ῥᾴων γένοι' ἄν, εἰ λογίζεσθαι θέλοις

1, 326—327 H. 6, 400—402 R.

1. Hesiod. O. et D. 94 11. ὁ κωμικός] Meinek. IV. p. 23 15. ἀεὶ Stobaeus Flor. CVIII 1: αἰεὶ 20. ποιεῖς πλέον Meinekius: πλέον ποιοῦμεν 21. τὸ δάκρυον Stobaeus: τὰ δάκρυα 24. Nauck. p. 366

Digitized by Google

ὅσοι τε δεσμοῖς ἐμμεμόχλευνται βροτῶν,
ὅσοι τε γηράσκουσιν ὀρφανοὶ τέκνων,
τούς τ' ἐκ μέγιστον ὀλβίας τυραννίδος
τὸ μηδὲν ὄντας. ταῦτά σε σκοπεῖν χρεών'. B
κελεύει γὰρ αὐτὴν ἐνθυμεῖσθαι τὰ τῶν ἴσα καὶ μείζω δυστυχούντων, ὡς ἐσομένην ἐλαφροτέραν.

9. Ἐνταῦθα γὰρ ἄν τις ἐλκύσειε καὶ τὴν τοῦ Σωκράτους φωνήν, τὴν οἰομένην, εἰ συνεισενέγκαιμεν εἰς τὸ κοινὸν τὰς ἀτυχίας, ὥστε διελέσθαι τὸ ἴσον ἕκαστον, ἀσμένως ἂν τοὺς πλείους τὰς αὑτῶν ἀναλαβόντας ἀπελθεῖν. ἐχρήσατο δὲ τῇ τοιαύτῃ ἀγωγῇ καὶ Ἀντίμαχος ὁ ποιητής. ἀποθανούσης γὰρ τῆς γυναικὸς αὐτῷ Λύδης, πρὸς ἣν φιλοστόργως εἶχε, παραμύθιον τῆς λύπης αὐτῷ ἐποίησε τὴν ἐλεγείαν τὴν καλουμένην Λύδην, ἐξαριθμησάμενος τὰς ἡρωικὰς συμ- C φοράς, τοῖς ἀλλοτρίοις κακοῖς ἐλάττω τὴν ἑαυτοῦ ποιῶν λύπην. ὥστε καταφανὲς εἶναι ὅτι ὁ παραμυθούμενος τὸν λελυπημένον καὶ δεικνύων κοινὸν καὶ πολλῶν τὸ συμβεβηκὸς καὶ τῶν ἑτέροις συμβεβηκότων ἔλαττον τὴν δόξαν τοῦ λελυπημένου μεθίστησι καὶ τοιαύτην τινὰ ποιεῖ πίστιν αὐτῷ, ὅτι ἔλαττον ἢ ἡλίκον ᾤετο τὸ συμβεβηκός ἐστιν.

10. Ὁ δ' Αἰσχύλος καλῶς ἔοικεν ἐπιπλήττειν τοῖς νομίζουσι τὸν θάνατον εἶναι κακόν, λέγων ὧδε
'ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί,
ὅσπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν'.
τοῦτον γὰρ ἀπεμιμήσατο καὶ ὁ εἰπών

1, 327—328 H. 6, 402—404 R.

1. ἐμμεμόχλευνται Bentleius: ἐκμεμόχθηνται 3. μέγιστον Elmsleius: μεγίστης 10. ἀναλαβόντας*: λαβόντας 20. ἔλαττον Reiskius: ἐλάττονα 23. Αἰσχύλος] Nauck. p. 84

Digitized by Google

D 'ὦ θάνατε παιὰν ἰατρὸς μόλοις'.
λιμὴν γὰρ ὄντως Ἅιδας ἀν' αἶαν. μέγα γάρ ἐστι τὸ μετὰ πείσματος τεθαρρηκότος εἰπεῖν
'τίς δ' ἔστι δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν;'
καί
'Ἅιδην δ' ἔχων βοηθὸν οὐ τρέμω σκιάς'.
τί γὰρ τὸ χαλεπόν ἐστι καὶ τὸ δυσανιῶν ἐν τῷ τεθνάναι; τὰ γὰρ τοῦ θανάτου μήποτε καὶ λίαν ἡμῖν ὄντα συνήθη καὶ συμφυᾶ πάλιν οὐκ οἶδ' ὅπως δυσαλγῆ δοκεῖ εἶναι. τί γὰρ θαυμαστὸν εἰ τὸ τμητὸν τέτμηται, εἰ τὸ
E ταὶ, εἰ τὸ φθαρτὸν ἔφθαρται; πότε γὰρ ἐν ἡμῖν αὐτοῖς οὐκ ἔστιν ὁ θάνατος; καί, ἦ φησιν Ἡράκλειτος, 'ταὐτῷ τ' ἔνι ζῶν καὶ τεθνηκὸς καὶ ἐγρηγορὸς καὶ καθεῦδον καὶ νέον καὶ γηραιόν· τάδε γὰρ μεταπεσόντα ἐκεῖνά ἐστι, κἀκεῖνα πάλιν μεταπεσόντα ταῦτα'. ὡς γὰρ ἐκ τοῦ αὐτοῦ πηλοῦ δύναταί τις πλάττων ζῷα συγχεῖν καὶ πάλιν πλάττειν καὶ συγχεῖν καὶ τοῦτο ἓν παρ' ἓν ποιεῖν ἀδιαλείπτως, οὕτω καὶ ἡ φύσις ἐκ τῆς αὐτῆς ὕλης πάλαι μὲν τοὺς προγόνους ἡμῶν
F ἀνέσχεν, εἶτα συνεχεῖς αὐτοῖς ἐγέννησε τοὺς πατέρας, εἶτα ἡμᾶς, εἶτ' ἄλλους ἐπ' ἄλλοις ἀνακυκλήσει. καὶ ὁ τῆς γενέσεως ποταμὸς οὕτως ἐνδελεχῶς ῥέων οὔποτε στήσεται, καὶ πάλιν ὁ ἐξ ἐναντίας αὐτῷ ὁ τῆς φθορᾶς εἴτε Ἀχέρων εἴτε Κωκυτὸς καλούμενος ὑπὸ τῶν ποιητῶν. ἡ πρώτη οὖν αἰτία ἡ δείξασα ἡμῖν τὸ τοῦ ἡλίου φῶς, ἡ αὐτὴ καὶ τὸν ζοφερὸν Ἅιδην ἄγει.

1, 328—329 H. 6, 404—405 R.

1. Nauck. p. 64 4. Id. p. 523 6. Id. p. 697
7. δυσανιῶν Reiskius: δυσανιῶν καὶ 14. ταὐτῷ Bernaysius: ταὐτό καὶ ἐγρηγορὸς καὶ Reiskius: καὶ τὸ ἐγρηγορὸς καὶ τὸ

Digitized by Google

καὶ μήποτε τοῦδε εἰκὼν ἡ ὁ περὶ ἡμᾶς ἀήρ, ἓν παρ' ἓν ἡμέραν καὶ νύκτα ποιῶν, ἐπαγωγοὺς ζωῆς τε καὶ θανάτου καὶ ὕπνου καὶ ἐγρηγόρσεως. διὸ καὶ μοιρίδιον χρέος εἶναι λέγεται τὸ ζῆν, ὡς ἀποδοθησόμενον ὃ ἐδανείσαντο ἡμῶν οἱ προπάτορες. ὃ δὴ καὶ 107 εὐκόλως καταβλητέον καὶ ἀστενάκτως, ὅταν ὁ δανείσας ἀπαιτῇ· εὐγνωμονέστατοι γὰρ ἂν οὕτω φανείημεν.

11. Οἶμαι δὲ καὶ τὴν φύσιν ὁρῶσαν τό τε ἄτακτον καὶ βραχυχρόνιον τοῦ βίου ἄδηλον ποιῆσαι τὴν τοῦ θανάτου προθεσμίαν· τοῦτο γὰρ ἦν ἄμεινον. εἰ γὰρ προῄδειμεν, κἂν προεξετήκοντό τινες ταῖς λύπαις καὶ πρὶν ἀποθανεῖν ἐτεθνήκεσαν. ὅρα δὲ καὶ τοῦ βίου τὸ ὀδυνηρὸν καὶ τὸ πολλαῖς φροντίσιν ἐπηντλημένον, ἃς εἰ βουλοίμεθα καταριθμεῖσθαι, λίαν ἂν αὐτοῦ κατα- γνοίημεν, ἐπαληθεύσαιμεν δὲ καὶ τὴν παρ' ἐνίοις κρατοῦσαν δόξαν ὡς ἄρα κρεῖττόν ἐστι τὸ τεθνάναι τοῦ ζῆν. ὁ γοῦν Σιμωνίδης

'ἀνθρώπων' φησίν 'ὀλίγον μὲν κάρτος, ἄπρα- Β κτοι δὲ μεληδόνες,
αἰῶνι δὲ παύρῳ πόνος ἀμφὶ πόνῳ.
ὁ δ' ἄφυκτος ὁμῶς ἐπικρέμαται θάνατος·
κείνου γὰρ ἴσον λάχον μέρος οἵ τ' ἀγαθοὶ
ὅστις τε κακός'.

Πίνδαρος δέ

'ἓν παρ' ἐσθλὸν σύνδυο πήματα δαίονται- βροτοῖς
ἀθάνατοι. τὰ μὲν ὣν οὐ δύνανται νήπιοι κόσμῳ φέρειν'.

1, 329—330 H. 6, 405—407 B.

2. ἐπαγωγοὺς Emperius: ἐπαγωγὰς 17. Σιμωνίδης] Bergk. p. 1132³ 24. Πίνδαρος] Pyth. III 81 25. δαίονται Pindarus: δαίνυνται

Digitized by Google

Σοφοκλῆς δέ

'σὺ δ' ἄνδρα θνητὸν εἰ κατέφθιτο στένεις,
εἰδὼς τὸ μέλλον οὐδὲν εἰ κέρδος φέρει;'

Εὐριπίδης δέ

'τὰ θνητὰ πράγματ' οἶδας ἣν ἔχει φύσιν;
C δοκῶ μὲν οὔ· πόθεν γάρ; ἀλλ' ἄκουέ μου.
βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
κοὐκ ἔστιν αὐτῶν ὅστις ἐξεπίσταται
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.
τὸ τῆς τύχης γὰρ ἀφανὲς οἱ προβήσεται'.

τοιούτου δὴ τοῦ βίου τῶν ἀνθρώπων ὄντος οἷον οὗτοί φασι, πῶς οὐκ εὐδαιμονίζειν μᾶλλον προσήκει τοὺς ἀπολυθέντας τῆς ἐν αὐτῷ λατρείας ἢ κατοικτείρειν τε καὶ θρηνεῖν, ὅπερ οἱ πολλοὶ δρῶσι δι' ἀμαθίαν;

D 12. Ὁ δὲ Σωκράτης παραπλήσιον ἔλεγεν εἶναι τὸν θάνατον ἤτοι τῷ βαθυτάτῳ ὕπνῳ ἢ ἀποδημίᾳ μακρᾷ καὶ πολυχρονίῳ ἢ τρίτον φθορᾷ τινι καὶ ἀφανισμῷ τοῦ τε σώματος καὶ τῆς ψυχῆς, κατ' οὐδὲν δὲ τούτων κακὸν εἶναι. καὶ καθ' ἕκαστον ἐπεπορεύετο, καὶ πρῶτον τῷ πρώτῳ. εἰ γὰρ δὴ ὕπνος τίς ἐστιν ὁ θάνατος καὶ περὶ τοὺς καθεύδοντας μηδέν ἐστι κακόν, δῆλον ὡς οὐδὲ περὶ τοὺς τετελευτηκότας εἴη ἄν τι κακόν. ἀλλὰ μήν γ' ὅτι ἥδιστός ἐστιν ὁ βαθύτατος τί δεῖ καὶ λέγειν; αὐτὸ γὰρ τὸ πρᾶγμα φανερόν ἐστι πᾶσιν ἀνθρώποις, μαρτυρεῖ δὲ καὶ Ὅμηρος ἐπ' αὐτοῦ λέγων

'νήγρετος ἥδιστος, θανάτῳ ἄγχιστα ἐοικώς'.

E ἀλλαχοῦ δὲ καὶ ταῦτα λέγει

1, 330—331 H. 6, 407—408 B.

1. Σοφοκλῆς] Nauck. p. 248
4. Εὐριπίδης] Alc. 780
15. Σωκράτης] Plat. Apol. p. 40 C
25. Ὅμηρος] ν 80

Digitized by Google

'ἔνθ' Ὕπνῳ ξύμβλητο, κασιγνήτῳ Θανάτοιο'
καί
'Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν',
ὄψει τὴν ὁμοιότητα αὐτῶν δηλῶν· τὰ γὰρ δίδυμα
5 τὴν ὁμοιότητα μάλιστα παρεμφαίνει. πάλιν τέ πού
φησι τὸν θάνατον εἶναι 'χάλκεον ὕπνον', τὴν ἀναι-
σθησίαν ἡμῶν αἰνιττόμενος. οὐκ ἀμούσως δ' ἔδοξεν
ἀποφήνασθαι οὐδ' ὁ εἰπὼν τὸν ὕπνον τὰ μικρὰ τοῦ
θανάτου μυστήρια· προμύησις γὰρ ὄντως ἐστὶ τοῦ
10 θανάτου ὁ ὕπνος. πάνυ δὲ σοφῶς καὶ ὁ κυνικὸς F
Διογένης κατενεχθεὶς εἰς ὕπνον καὶ μέλλων ἐκλείπειν
τὸν βίον, διεγείραντος αὐτὸν τοῦ ἰατροῦ καὶ πυθο-
μένου μή τι περὶ αὐτὸν εἴη χαλεπόν, 'οὐδέν' ἔφη·
'ὁ γὰρ ἀδελφὸς τὸν ἀδελφὸν προλαμβάνει'.
15 13. Εἴ γε μὴν ἀποδημίᾳ προσέοικεν ὁ θάνα-
τος, οὐδ' οὕτως ἐστὶ κακόν· μήποτε δὲ τοὐναντίον
ἀγαθόν. τὸ γὰρ μὴ δεδουλωμένον σαρκὶ καὶ τοῖς πά-
θεσι ταύτης διάγειν, ὑφ' ὧν κατασπώμενος ὁ νοῦς
τῆς θνητῆς ἀναπίμπλαται φλυαρίας, εὔδαιμόν τι καὶ
20 μακάριον. 'μυρίας μὲν γὰρ ἡμῖν' φησὶν ὁ Πλάτων 108
'ἀσχολίας παρέχει τὸ σῶμα διὰ τὴν ἀναγκαίαν τρο-
φήν· ἔτι δέ, ἐάν τινες νόσοι προσπέσωσιν, ἐμποδίζου-
σιν ἡμῖν τὴν τοῦ ὄντος θήραν, ἐρώτων δὲ καὶ ἐπιθυ-
μιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν καὶ φλυα-
25 ρίας ἐμπίπλησιν ἡμᾶς, ὥστε τὸ λεγόμενον ὡς ἀληθῶς
τῷ ὄντι ὑπ' αὐτοῦ οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίγνεται
οὐδέποτε οὐδέν. καὶ γὰρ πολέμους καὶ στάσεις καὶ

1, 331–332 H. 6, 408–410 B.

1. Homer. Ξ 231 3. Id. Π 672. 682 6. χάλκεον] Id. Λ 241 14. προλαμβάνει Döhnerus: προλαμβάνει ὁ ὕπνος τὸν θάνατον 17. δεδουλωμένον I. C. Orellius: δεδουλῶσθαι 20. Πλάτων] Phaed. p. 66 B

Digitized by Google

μάχας οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα καὶ αἱ τούτου ἐπιθυμίαι· διὰ γὰρ τὴν τῶν χρημάτων κτῆσιν πάντες
B οἱ πόλεμοι γίγνονται· τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὸ σῶμα, δουλεύοντες τῇ τούτου θεραπείᾳ· καὶ ἐκ τούτου ἀσχολίαν ἄγομεν φιλοσοφίας πέρι διὰ ταῦτα πάντα. τὸ δ' ἔσχατον πάντων, ὅτι ἐάν τις ἡμῖν καὶ σχολὴ γένηται ἀπ' αὐτοῦ καὶ τραπώμεθα πρὸς τὸ σκοπεῖν τι, ἐν ταῖς ζητήσεσι πανταχοῦ παραπῖπτον θόρυβον παρέχει καὶ ταραχὴν καὶ ἐκπλήττει, ὥστε μὴ δύνασθαι ὑπ' αὐτοῦ καθορᾶν τὰ-
10 ληθές. ἀλλὰ τῷ ὄντι ἡμῖν δέδεικται ὅτι εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον αὐτοῦ καὶ αὐτῇ τῇ ψυχῇ θεατέον αὐτὰ τὰ πράγματα· καὶ τότε,
C ὡς ἔοικεν, ἡμῖν ἔσται οὗ ἐπιθυμοῦμεν καὶ οὗ φαμεν ἐρᾶν (ἔστι δὲ φρόνησις), ἐπειδὰν τελευτήσωμεν, ὡς ὁ
15 λόγος σημαίνει, ζῶσι δ' οὔ. εἰ γὰρ μὴ οἷόν τε μετὰ τοῦ σώματος μηδὲν καθαρῶς γνῶναι, δυοῖν θάτερον, ἢ οὐδαμοῦ ἔστι κτήσασθαι τὸ εἰδέναι ἢ τελευτήσαντα· τότε γὰρ αὐτὴ καθ' αὑτὴν ἔσται ἡ ψυχὴ χωρὶς τοῦ σώματος, πρότερον δ' οὔ. καὶ ἐν ᾧ ἂν ζῶμεν, οὕ-
20 τως, ὡς ἔοικεν, ἐγγυτάτω ἐσόμεθα τοῦ εἰδέναι, ἐὰν ὅτι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι μηδὲ κοινωνῶμεν, ὅ τι μὴ πᾶσα ἀνάγκη, μηδὲ ἀναπιμπλώμεθα τῆς τούτου φύσεως, ἀλλὰ καθαρεύωμεν ἀπ' αὐτοῦ,
D ἕως ἂν ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς. καὶ οὕτω μὲν
25 ἀπαλλαττόμενοι τῆς τοῦ σώματος ἀφροσύνης, ὡς τὸ εἰκός, μετὰ τοιούτων ἐσόμεθα, δι' ἡμῶν αὐτῶν πᾶν τὸ εἰλικρινὲς ὁρῶντες· τοῦτο δέ ἐστι τὸ ἀληθές. μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ'. ὥστε εἰ καὶ προσέοικε μετάγειν εἰς ἕτερον τόπον ὁ
30

1, 333—334 H. 6, 410—412 R.

1. αἱ Plato: αἱ ἀπὸ

Digitized by Google

θάνατος, οὐκ ἔστι κακόν· μήποτε γὰρ καὶ τῶν ἀγαθῶν ἀναφαίνηται, καθάπερ ἀπέδειξεν ὁ Πλάτων. διὸ καὶ πάνυ δαιμονίως ὁ Σωκράτης πρὸς τοὺς δικαστὰς τοιαῦτ' ἔφη 'τὸ γὰρ δεδιέναι, ὦ ἄνδρες, τὸν θάνα- E
5 τον οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ μέγιστον πάντων ὂν τῶν ἀγαθῶν, δεδίασι δ' ὡς εὖ εἰδότες ὅτι μέγιστον τῶν κακῶν ἐστιν'. οὐκ ἀπάδειν
10 δ' ἔοικε τούτων οὐδ' ὁ εἰπών·

'μηδεὶς φοβείσθω θάνατον ἀπόλυσιν πόνων',

ἀλλὰ καὶ κακῶν τῶν μεγίστων.

14. Λέγεται δὲ τούτοις μαρτυρεῖν καὶ τὸ θεῖον. πολλοὺς γὰρ παρειλήφαμεν δι' εὐσέβειαν παρὰ θεῶν
15 ταύτης τυχόντας τῆς δωρεᾶς. ὧν τοὺς μὲν ἄλλους φειδόμενος τῆς συμμετρίας τοῦ συγγράμματος παραλείψω· μνησθήσομαι δὲ τῶν ὄντων ἐμφανεστάτων καὶ πᾶσι διὰ στόματος. πρῶτα δή σοι τὰ περὶ Κλέοβιν F
καὶ Βίτωνα τοὺς Ἀργείους νεανίσκους διηγήσομαι.
20 φασὶ γὰρ τῆς μητρὸς αὐτῶν ἱερείας οὔσης τῆς Ἥρας ἐπειδὴ τῆς εἰς τὸν νεὼν ἀναβάσεως ἦκεν ὁ καιρός, τῶν ἑλκόντων τὴν ἀπήνην ὀρέων ὑστερησάντων καὶ τῆς ὥρας ἐπειγούσης, τούτους ὑποδύντας ὑπὸ τὴν ἀπήνην ἀγαγεῖν εἰς τὸ ἱερὸν τὴν
25 μητέρα, τὴν δ' ὑπερησθεῖσαν τῇ τῶν υἱῶν εὐσεβείᾳ κατεύξασθαι τὸ κράτιστον αὐτοῖς παρὰ τῆς θεοῦ δοθῆναι τῶν ἐν ἀνθρώποις, τοὺς δὲ κατακοιμηθέντας μηκέτ' ἀναστῆναι, τῆς θεοῦ τὸν θάνατον αὐτοῖς τῆς εὐσεβείας ἀμοιβὴν δωρησαμένης. καὶ περὶ Ἀγαμήδους 109
30 δὲ καὶ Τροφωνίου φησὶ Πίνδαρος τὸν νεὼν τὸν ἐν

1, 331—335 H. 6, 412—413 R.

3. Σωκράτης] Plat. Apol. p. 29 A 11. Nauck. p. 697

Digitized by Google

Δελφοῖς οἰκοδομήσαντας αἰτεῖν παρὰ τοῦ Ἀπόλλωνος μισθόν, τὸν δ' αὐτοῖς ἐπαγγείλασθαι εἰς ἑβδόμην ἡμέραν ἀποδώσειν, ἐν τοσούτῳ δ' εὐωχεῖσθαι παρακελεύσασθαι· τοὺς δὲ ποιήσαντας τὸ προσταχθὲν τῇ ἑβδόμῃ νυκτὶ κατακοιμηθέντας τελευτῆσαι. λέγεται δὲ καὶ αὐτῷ Πινδάρῳ ἐπισκήψαντι τοῖς παρὰ τῶν Βοιωτῶν πεμφθεῖσιν εἰς θεοῦ πυθέσθαι 'τί ἄριστόν ἐστιν ἀνθρώποις' ἀποκρίνασθαι τὴν πρόμαντιν ὅτι οὐδ' αὐτὸς ἀγνοεῖ, εἴ γε τὰ γραφέντα περὶ Τροφωνίου καὶ Ἀγαμήδους ἐκείνου ἐστίν· εἰ δὲ καὶ πειραθῆναι βούλεται, μετ' οὐ πολὺ ἔσεσθαι αὐτῷ πρόδηλον. καὶ οὕτω πυθόμενον τὸν Πίνδαρον συλλογίζεσθαι τὰ πρὸς τὸν θάνατον, διελθόντος δ' ὀλίγου χρόνου τελευτῆσαι. τὰ δὲ περὶ τὸν Ἰταλὸν Εὐθύνοον τοιαῦτά φασι γενέσθαι. εἶναι μὲν γὰρ αὐτὸν Ἠλυσίου Τεριναίου, τῶν ἐκεῖ πρώτου καὶ ἀρετῇ καὶ πλούτῳ καὶ δόξῃ, τελευτῆσαι δ' ἐξαπίνης αἰτίᾳ τινὶ ἀδήλῳ. τὸν οὖν Ἠλύσιον εἰσελθεῖν ὅπερ ἴσως κἂν ἄλλον εἰσῆλθε, μήποτ' εἴη φαρμάκοις ἀπολωλώς· τοῦτον γὰρ εἶναι μόνον αὐτῷ ἐπ' οὐσίᾳ πολλῇ καὶ χρήμασιν. ἀποροῦντα δ' ὅτῳ τρόπῳ βάσανον λάβοι τούτων, ἀφικέσθαι ἐπί τι ψυχομαντεῖον, προθυσάμενον δ' ὡς νόμος ἐγκοιμᾶσθαι καὶ ἰδεῖν ὄψιν τοιάνδε. δόξαι παραγενέσθαι τὸν πατέρα τὸν ἑαυτοῦ· ἰδόντα δὲ διεξέρχεσθαι πρὸς αὐτὸν περὶ τῆς τύχης τῆς κατὰ τὸν υἱόν, καὶ ἀντιβολεῖν τε καὶ δεῖσθαι συνεξευρεῖν τὸν αἴτιον τοῦ θανάτου. καὶ τόν 'ἐπὶ τούτῳ' φάναι 'ἥκω. ἀλλὰ δέξαι παρὰ τοῦδε ἅ σοι φέρει, ἐκ γὰρ τούτων ἅπαντ' εἴσῃ ὧν πέρι λυπῇ'. εἶναι δ' ὃν ἐσήμηνε νεανίσκον ἑπόμενον αὐτῷ, ἐμφερῆ τε τῷ υἱῷ καὶ τὰ τοῦ χρόνου

1, 335—337 H. 6, 413—416 B.

15. Ἠλυσίου*: ἠλυσίου πατρὸς τοῦ

Digitized by Google

τε καὶ τὰ τῆς ἡλικίας ἐγγύς. ἐρέσθαι οὖν ὅστις εἴη. καὶ τὸν φάναι 'δαίμων τοῦ υἱέος σου', καὶ οὕτω δὴ ὀρέξαι οἱ γραμματίδιον. ἀνειλήσαντα οὖν αὐτὸ ἰδεῖν ἐγγεγραμμένα τρία ταῦτα

'ἦ που νηπιέηςιν ἀλῦουςιν φρένες ἀνδρῶν.
Εὐθύνοος κεῖται μοιριδίῳ θανάτῳ.
οὐ γὰρ ἔην ζώειν καλὸν αὐτῷ οὐδὲ γονεῦςι'.

τοιαῦτα δή coι καὶ τὰ τῶν διηγημάτων τῶν παρὰ τοῖς ἀρχαίοις ἀναγεγραμμένων.

15. Εἴ γε μὴν ὁ θάνατος τελεία τίς ἐcτι φθορὰ καὶ διάλυcις τοῦ τε cώματος καὶ τῆς ψυχῆς (τὸ τρίτον γὰρ ἦν τοῦτο τῆς Cωκρατικῆς εἰκαcίας), οὐδ' οὕτω κακόν ἐcτιν· ἀναιcθηcία γάρ τις κατ' αὐτὸν γίνεται καὶ πάcης ἀπαλλαγὴ λύπης καὶ φροντίδος. περὶ γὰρ τὸ ὂν καὶ τὸ ὑφεcτηκὸς καθάπερ τὸ ἀγαθὸν πέφυκε γίνεcθαι, τὸν αὐτὸν τρόπον καὶ τὸ κακόν· περὶ δὲ τὸ μὴ ὂν ἀλλ' ἠρμένον ἐκ τῶν ὄντων οὐδ' ἕτερον τούτων ὑπάρχει. εἰc τὴν αὐτὴν οὖν τάξιν οἱ τελευτήcαντεc καθίcτανται τῇ πρὸ τῆc γενέcεωc. ὥcπερ οὖν οὐδὲν ἦν ἡμῖν πρὸ τῆc γενέcεωc οὔτ' ἀγαθὸν οὔτε κακόν, οὕτωc οὐδὲ μετὰ τὴν τελευτήν. καὶ καθάπερ τὰ πρὸ ἡμῶν οὐδὲν ἦν πρὸc ἡμᾶc, οὕτωc οὐδὲ τὰ μεθ' ἡμᾶc οὐδὲν ἔcται πρὸc ἡμᾶc·

'ἄλγοc' γὰρ ὄντωc 'οὐδὲν ἅπτεται νεκροῦ.'
'τὸ' γὰρ 'μὴ γενέcθαι τῷ θανεῖν ἴcον λέγω.'

ἡ γὰρ αὐτὴ κατάcταcίc ἐcτι τῇ πρὸ τῆc γενέcεωc ἡ

1, 337–338 H. 6, 416–417 R.

5. ἦ που Iunius: ἤρου νηπιέηςιν ἀλύουcιν*: νήπιε ἠλύcιε 7. οὐ γὰρ ἔην*: οὐκ ἦν γὰρ οὐδὲ G. Wolfius: οὔτε 14. φροντίδοc*: φροντίδοc ὥcπερ γὰρ οὔτ' ἀγαθὸν ἡμῖν ἔπεcτιν οὕτωc οὐδὲ κακόν 24. ἄλγοc] Nauck. p. 64 25. τὸ] Eurip. Troad. 636

Digitized by Google

μετὰ τὴν τελευτήν. ἀλλ' οἴει σὺ διαφορὰν εἶναι μὴ γενέσθαι ἢ γενόμενον ἀπογενέσθαι; εἰ μὴ καὶ τῆς οἰκίας καὶ τῆς ἐσθῆτος ἡμῶν μετὰ τὴν φθορὰν ὑπολαμβάνεις τινὰ διαφορὰν εἶναι πρὸς τὸν ὃν οὐδέπω κατεσκευάσθη χρόνον. εἰ δ' ἐπὶ τούτων οὐδέν ἐστι, δῆλον ὡς οὐδ' ἐπὶ τοῦ θανάτου πρὸς τὴν πρὸ τῆς γενέσεως κατάστασίν ἐστι διαφορά. χάριεν γὰρ τὸ τοῦ Ἀρκεσιλάου. 'τοῦτο' φησί 'τὸ λεγόμενον κακὸν ὁ θάνατος μόνον τῶν ἄλλων τῶν νενομισμένων κακῶν παρὸν μὲν οὐδένα πώποτ' ἐλύπησεν, ἀπὸν δὲ καὶ προσδοκώμενον λυπεῖ.' τῷ γὰρ ὄντι πολλοὶ διὰ τὴν οὐδένειαν καὶ τὴν πρὸς τὸν θάνατον διαβολὴν ἀποθνήσκουσιν, ἵνα μὴ ἀποθάνωσι. καλῶς οὖν ὁ Ἐπίχαρμος 'συνεκρίθη' φησί 'καὶ διεκρίθη καὶ ἀπῆνθεν ὅθεν ἦνθε πάλιν, γᾶ μὲν εἰς γᾶν, πνεῦμα δ' ἄνω. τί τῶνδε χαλεπόν; οὐδὲ ἕν'. ὁ Κρεσφόντης δέ που ὁ παρὰ τῷ Εὐριπίδῃ περὶ τοῦ Ἡρακλέους λέγων

'εἰ μὲν γὰρ οἰκεῖ' φησί 'νερτέρας ὑπὸ χθονός
ἐν τοῖσιν οὐκέτ'· οὖσιν, οὐδὲν ἂν σθένοι'.

τοῦτο μεταποιήσας εἴποις ἄν

'εἰ μὲν γὰρ οἰκεῖ νερτέρας ὑπὸ χθονός
ἐν τοῖσιν οὐκέτ' οὖσιν, οὐδὲν ἂν πάθοι'.

γενναῖον δὲ καὶ τὸ Λακωνικόν

'νῦν ἄμμες, πρόσθ' ἄλλοι ἐθάλεον, αὐτίκα δ' ἄλλοι,
ὧν ἄμμες γενεὰν οὐκέτ' ἐποψόμεθα'

καὶ πάλιν

1, 338—339 H. 6, 417—419 R.

7. γὰρ] δὲ?* 14. ἀπῆνθεν — ἦνθε Scaliger: ἀπῆλθεν — ἦλθε 17. Εὐριπίδῃ] Nauck. p. 396 24. ἐθάλεον L. Dindorfius: ἐθάλλεον

Digitized by Google

'οἳ θάνον οὐ τὸ ζῆν θέμενοι καλὸν οὐδὲ τὸ C
θνήσκειν,
ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερ' ἐκτελέσαι'.
πάνυ δὲ καλῶς καὶ ὁ Εὐριπίδης ἐπὶ τῶν τὰς μακρὰς
νοσηλείας ὑπομενόντων φησί
'μισῶ δ' ὅσοι χρῄζουσιν ἐκτείνειν βίον,
βρωτοῖσι καὶ ποτοῖσι καὶ μαγεύμασι
παρεκτρέποντες ὀχετὸν ὥστε μὴ θανεῖν.
οὓς χρῆν, ἐπειδὰν μηδὲν ὠφελῶσι γῆν,
θανόντας ἔρρειν κἀκποδὼν εἶναι νέοις'.
ἡ δὲ Μερόπη λόγους ἀνδρώδεις προφερομένη κινεῖ D
τὰ θέατρα, λέγουσα τοιαῦτα
'τεθνᾶσι παῖδες οὐκ ἐμοὶ μόνῃ βροτῶν,
οὐδ' ἀνδρὸς ἐστερήμεθ', ἀλλὰ μυρίαι
τὸν αὐτὸν ἐξήντλησαν ὡς ἐγὼ βίον'.
τούτοις γὰρ οἰκείως ἄν τις ταῦτα συνάψειε
'ποῦ γὰρ τὰ σεμνὰ κεῖνα, ποῦ δὲ Λυδίης
μέγας δυνάστης Κροῖσος ἢ Ξέρξης βαρύν
ζεύξας θαλάσσης αὐχέν' Ἑλλησποντίας;
ἅπαντες ἀΐδαν ἦλθον καὶ Λάθας δόμους', E
τῶν χρημάτων ἅμα τοῖς σώμασι διαφθαρέντων.

16. Νὴ Δί' ἀλλὰ τοὺς πολλοὺς κινεῖ πρὸς τὰ πένθη καὶ τοὺς θρήνους ὁ ἄωρος θάνατος. ἀλλὰ καὶ οὗτος οὕτως ἐστὶν εὐπαραμύθητος, ὥστε καὶ ὑπὸ τῶν τυχόντων ποιητῶν συνεωρᾶσθαι καὶ τετυχηκέναι παραμυθίας. θέασαι γὰρ οἷα περὶ τούτου φησὶ τῶν κωμικῶν τις πρὸς τὸν ἐπὶ τῷ ἀώρῳ λυπούμενον θανάτῳ

1, 339—340 H. 6, 419—421 R.

1. Bergk. p. 1189[3] 4. Εὐριπίδης] Suppl. 1109
13. Nauck. p. 396 17. Bergk. p. 1357[3] 18. βαθὺν W 20. ἅπαντ' ἐς Ἅιδαν ἦλθε Bergkius

Digitized by Google

'εἶτ' εἰ μὲν ᾔδεις ὅττι τοῦτον τὸν βίον,
ὃν οὐκ ἐβίωσε, ζῶν διευτύχησεν ἄν,
ὁ θάνατος οὐκ εὔκαιρος· εἰ δ' ἤνεγκεν αὖ
οὗτος ὁ βίος τι τῶν ἀνηκέστων, ἴσως
ὁ θάνατος αὐτὸς σοῦ γέγονεν εὐνούστερος'.

F ἀδήλου οὖν ὄντος πότερον συμφερόντως ἀνεπαύσατο τὸν βίον ἐκλιπὼν καὶ μειζόνων ἀπολυθεὶς κακῶν ἢ οὔ, χρὴ μὴ φέρειν οὕτω βαρέως ὡς ἀπολωλεκότας πάνθ' ὅσων ᾠήθημεν τεύξεσθαι παρ' αὐτοῦ. οὐ φαύλως γὰρ ἂν δόξειεν ὁ παρὰ τῷ ποιητῇ Ἀμφιάραος παραμυθεῖσθαι τὴν Ἀρχεμόρου μητέρα δυσχεραίνουσαν ὅτι νήπιος ὢν ὁ παῖς καὶ ἄγαν ἄωρος ἐτελεύτησε. φησὶ γὰρ οὕτως

'ἔφυ μὲν οὐδεὶς ὅστις οὐ πονεῖ βροτῶν.
θάπτει τε τέκνα χἄτερ' αὖ κτᾶται νέα,
αὐτός τε θνήσκει· καὶ τάδ' ἄχθονται βροτοί
111 εἰς γῆν φέροντες γῆν. ἀναγκαίως δ' ἔχει
βίον θερίζειν ὥστε κάρπιμον στάχυν,
καὶ τὸν μὲν εἶναι τὸν δὲ μή. τί ταῦτα δεῖ
στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;
δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς'.

17. Καθόλου γὰρ χρὴ διανοεῖσθαι πάντα τινὰ καὶ πρὸς αὐτὸν καὶ πρὸς ἄλλον διεξιόντα μετὰ σπουδῆς ὡς οὐχ ὁ μακρότατος βίος ἄριστος ἀλλ' ὁ σπουδαιότατος. οὐδὲ γὰρ ὁ πλεῖστα κιθαρῳδήσας ἢ ῥητορεύ-
B σας ἢ κυβερνήσας ἀλλ' ὁ καλῶς ἐπαινεῖται. τὸ γὰρ καλὸν οὐκ ἐν μήκει χρόνου θετέον, ἀλλ' ἐν ἀρετῇ

1, 340–341 H. 6, 421—422 R.

1. Meinek. IV. p. 669. V. p. CCCXLVII ὅττι] διότι Iacobi 3. αὖ* 5. ὁ θάνατος Meziriacus 14. Nauck. p. 468 17. γῆν ἀναγκαίως δ' Grotius: τὴν δ' ἀναγκαίως

Digitized by Google

καὶ τῇ καιρίῳ συμμετρίᾳ· τοῦτο γὰρ εὔδαιμον καὶ θεοφιλὲς εἶναι νενόμισται. διὰ τοῦτο γοῦν τοὺς ὑπεροχωτάτους τῶν ἡρώων καὶ φύντας ἀπὸ θεῶν πρὸ γήρως ἐκλιπόντας τὸν βίον οἱ ποιηταὶ παρέδοσαν ἡμῖν, ὥσπερ κἀκεῖνον

'ὃν περὶ κῆρι φίλει Ζεύς τ' αἰγίοχος καὶ
Ἀπόλλων
παντοίην φιλότητ', οὐδ' ἵκετο γήραος οὐδόν'.

τὴν γὰρ εὐκαιρίαν μᾶλλον, οὐ τὴν εὐγηρίαν πανταχῇ θεωροῦμεν πρωτεύουσαν. καὶ γὰρ φυτῶν ἄριστα τὰ C πλείστην καρπῶν ἐν βραχεῖ φορὰν ποιούμενα, καὶ ζῴων ἀφ' ὧν ἐν οὐ πολλῷ χρόνῳ πολλὴν πρὸς τὸν βίον ὠφέλειαν ἔχομεν. τό τε πολὺ δήπουθεν ἢ μικρὸν οὐδὲν διαφέρειν δοκεῖ πρὸς τὸν ἄπειρον ἀφορῶσιν αἰῶνα. τὰ γὰρ χίλια καὶ τὰ μύρια κατὰ Σιμωνίδην ἔτη στιγμή τίς ἐστιν ἀόριστος, μᾶλλον δὲ μορίου τι βραχύτατον στιγμῆς. ἐπεὶ καὶ τῶν ζῴων ἐκείνων, ἅπερ ἱστοροῦσι περὶ τὸν Πόντον γινόμενα τὴν ζωὴν ἔχειν ἡμερησίαν, ἕωθεν μὲν γεννώμενα, μέσης δ' ἡμέρας ἀκμάζοντα, δείλης δὲ γηρῶντα καὶ τελειοῦντα τὸ ζῆν, οὐχὶ κἀκείνων ἦν ἂν τὸ καθ' ἡμᾶς πάθος τοῦτο, εἴπερ ψυχή τις ἀνθρωπίνη καὶ λογισμὸς ἑκάστοις ἐνῆν, καὶ ταὐτὰ δήπου γ' ἂν συνέπιπτεν, D ὥστε τὰ πρὸ μέσης τῆς ἡμέρας ἐκλείποντα θρήνους παρέχειν καὶ δάκρυα, τὰ δὲ διημερεύσαντα πάντως εὐδαιμονίζεσθαι; μέτρον γὰρ τοῦ βίου τὸ καλόν, οὐ τὸ τοῦ χρόνου μῆκος.

18. Ματαίους γὰρ καὶ πολλῆς εὐηθείας ἠγητέον εἶναι τὰς τοιαύτας ἐκφωνήσεις 'ἀλλ' οὐκ ἔδει νέον

1, 341—342 H. 6, 422—424 R

6. Homer. ο 245 25. πάντως*: πάντως ἂν

Digitized by Google

ὄντα ἀναρπαγῆναι'. τίς γὰρ ἂν εἴποι ὡς ἔδει; πολλὰ δὲ καὶ ἄλλα ἐφ' ὧν ἄν τις εἴποι ὡς 'οὐκ ἔδει πραχθῆναι' πέπρακται καὶ πράττεται καὶ πραχθήσεται
E πολλάκις. οὐ γὰρ νομοθετήσοντες πάρεσμεν εἰς τὸν βίον, ἀλλὰ πεισόμενοι τοῖς διατεταγμένοις ὑπὸ τῶν 5 τὰ ὅλα πρυτανευόντων θεῶν καὶ τοῖς τῆς εἱμαρμένης καὶ προνοίας θεσμοῖς.

19. Τί δ'; οἱ πενθοῦντες τοὺς οὕτως ἀποθανόντας ἑαυτῶν ἕνεκα πενθοῦσιν ἢ τῶν κατοιχομένων; εἰ μὲν οὖν ἑαυτῶν, ὅτι τῆς ἀπὸ τῶν τεθνεώτων ἡδονῆς ἢ 10 χρείας ἢ γηροβοσκίας ἐστερήθησαν, φίλαυτος ἡ τῆς λύπης πρόφασις· οὐ γὰρ ἐκείνους ποθοῦντες ἀλλὰ τὰς ἀπ' αὐτῶν ὠφελείας φανήσονται. εἰ δὲ τῶν τεθνεώτων ἕνεκα πενθοῦσιν, ἐπιστήσαντες ὅτι ἐν οὐ-
F δενὶ κακῷ τυγχάνουσιν ὄντες, ἀπαλλαγήσονται τῆς 15 λύπης, ἀρχαίῳ καὶ σοφῷ πεισθέντες λόγῳ τῷ παραινοῦντι τὰ μὲν ἀγαθὰ ποιεῖν ὡς μέγιστα, τὰ δὲ κακὰ συστέλλειν καὶ ταπεινοῦν. εἰ μὲν οὖν τὸ πένθος ἐστὶν ἀγαθόν, δεῖ ποιεῖν αὐτὸ ὡς πλεῖστον καὶ μέγιστον· εἰ δ', ὥσπερ ἡ ἀλήθεια ἔχει, κακὸν αὐτὸ ὁμολογοῦ- 20 μεν εἶναι, συστέλλειν καὶ ποιεῖν ὡς ἐλάχιστον καὶ ἐξαλείφειν εἰς τὸ δυνατόν. ὡς δὲ τοῦτο ῥᾴδιον, καταφανὲς ἐκ τῆς τοιαύτης παραμυθίας. φασὶ γάρ τινα τῶν ἀρχαίων φιλοσόφων εἰσιόντα πρὸς Ἀρσινόην τὴν
112 βασίλισσαν πενθοῦσαν τὸν υἱὸν τοιούτῳ χρήσασθαι λό- 25 γῳ, φάμενον ὅτι καθ' ὃν χρόνον ὁ Ζεὺς ἔνεμε τοῖς δαίμοσι τὰς τιμάς, οὐκ ἔτυχε παρὸν τὸ Πένθος, ἤδη δὲ νενεμημένων ἦλθεν ὕστερον. τὸν οὖν Δία, ὡς ἠξίου καὶ αὐτῷ τιμὴν δοθῆναι, ἀποροῦντα διὰ τὸ ἤδη κατηναλῶσθαι πάσας τοῖς ἄλλοις, ταύτην αὐτῷ 30 δοῦναι τὴν ἐπὶ τοῖς τελευτήσασι γιγνομένην, οἷον

1, 342—343 H. 6, 424—426 R.

Digitized by Google

δάκρυα καὶ λύπας. ὥσπερ οὖν τοὺς ἄλλους δαίμονας, ὑφ' ὧν τιμῶνται, τούτους ἀγαπᾶν, τὸν αὐτὸν τρόπον καὶ τὸ Πένθος. 'ἐὰν μὲν οὖν αὐτὸ ἀτιμάσῃς, B ὦ γύναι, οὐ προσελεύσεταί σοι· ἐὰν δὲ τιμᾶται ὑπὸ σοῦ ἐπιμελῶς ταῖς δοθείσαις αὐτῷ τιμαῖς, λύπαις καὶ θρήνοις, ἀγαπήσει σε καὶ ἀεί τί σοι παρέξεται τοιοῦτον ἐφ' ᾧ τιμηθήσεται παρὰ σοῦ συνεχῶς'. θαυμασίως δὴ φαίνεται τῷ λόγῳ πείσας οὗτος παρελέσθαι τῆς ἀνθρώπου τὸ πένθος καὶ τοὺς θρήνους.

20. Τὸ δ' ὅλον εἴποι τις ἂν πρὸς τὸν πενθοῦντα 'πότερα παύσῃ ποτὲ δυσφορῶν ἢ ἀεὶ δεῖν οἰήσῃ λυπεῖσθαι καὶ παρ' ὅλον τὸν βίον; εἰ μὲν γὰρ ἀεὶ μενεῖς ἐπὶ τῇ δυσπαθείᾳ ταύτῃ, τελείαν ἀθλιότητα σεαυτῷ παρέξεις καὶ πικροτάτην κακοδαιμονίαν διὰ ψυχῆς C ἀγέννειαν καὶ μαλακίαν· εἰ δὲ μεταθήσῃ ποτέ, τί οὐκ ἤδη μετατίθεσαι καὶ σεαυτὸν ἀνέλκεις ἐκ τῆς ἀτυχίας; οἷς γὰρ λόγοις τοῦ χρόνου προϊόντος χρησάμενος ἀπολυθήσῃ, τούτοις νῦν προσσχὼν ἀπαλλάγηθι τῆς κακουχίας· καὶ γὰρ ἐπὶ τῶν σωματικῶν παθημάτων ἡ ταχίστη τῆς ἀπαλλαγῆς ὁδὸς ἀμείνων. ὃ οὖν μέλλεις τῷ χρόνῳ χαρίζεσθαι, τοῦτο τῷ λόγῳ χάρισαι καὶ τῇ παιδείᾳ, καὶ σεαυτὸν ἔκλυσαι τῶν κακῶν.

21. 'Ἀλλ' οὐ γὰρ ἤλπιζον' φησί 'ταῦτα πείσεσθαι, οὐδὲ προσεδόκων'. ἀλλ' ἐχρῆν σε προσδοκᾶν D καὶ προκατακεκρικέναι τῶν ἀνθρωπείων τὴν ἀδηλότητα καὶ οὐδένειαν, καὶ οὐκ ἂν νῦν ἀπαράσκευος ὥσπερ ὑπὸ πολεμίων ἐξαίφνης ἐπελθόντων ἐλήφθης. καλῶς γὰρ ὁ παρὰ τῷ Εὐριπίδῃ Θησεὺς παρεσκευάσθαι φαίνεται πρὸς τὰ τοιαῦτα· ἐκεῖνος γάρ φησιν

1, 343—344 H. 6, 426—427 R.

6. σε Perizonius: τε 29. Εὐριπίδῃ] Nauck. p. 381

Digitized by Google

'ἐγὼ δὲ ** παρὰ σοφοῦ τινος μαθὼν
εἰς φροντίδας νοῦν συμφορᾶς τ' ἐβαλλόμην,
φυγάς τ' ἐμαυτῷ προστιθεὶς πάτρας ἐμῆς
θανάτους τ' ἀώρους καὶ κακῶν ἄλλας ὁδούς,
ἵν' εἴ τι πάσχοιμ' ὧν ἐδόξαζον φρενί,
E μή μοι νεωρὲς προσπεσὸν μᾶλλον δάκοι'.

οἱ δ' ἀγεννέστεροι καὶ ἀνασκήτως διακείμενοι οὐδὲ ἀναστροφὴν ἐνίοτε λαμβάνουσι πρὸς τὸ βουλεύσασθαί τι τῶν εὐσχημόνων καὶ συμφερόντων, ἀλλ' ἐκτρέπονται πρὸς τὰς ἐσχάτας ταλαιπωρίας, τὸ μηδὲν αἴτιον σῶμα τιμωρούμενοι καὶ τὰ μὴ νοσοῦντα κατὰ τὸν 'Αχαιὸν συναλγεῖν ἀναγκάζοντες.

22. Διὸ καὶ πάνυ καλῶς ὁ Πλάτων ἔοικε παραινεῖν ἐν 'ταῖς' τοιαύταις 'συμφοραῖς ἡσυχίαν ἔχειν, ὡς οὔτε δήλου ὄντος τοῦ κακοῦ καὶ τοῦ ἀγαθοῦ,
F οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι· ἐμποδὼν γὰρ γίγνεσθαι τὸ λυπεῖσθαι τῷ βουλεύεσθαι περὶ τοῦ γεγονότος καὶ ὥσπερ ἐν πτώσει κύβων πρὸς τὰ πεπτωκότα τίθεσθαι τὰ ἑαυτοῦ πράγματα, ὅπῃ λόγος αἱρεῖ βέλτιστ' ἂν ἔχειν. οὐ δεῖν οὖν προσπταίσαντας καθάπερ παῖδας ἐχομένους τοῦ πληγέντος βοᾶν, ἀλλ' ἐθίζειν τὴν ψυχὴν ὅτι τάχιστα γίγνεσθαι περὶ τὸ ἰᾶσθαί τε καὶ ἐπανορθοῦν τὸ πεσόν τε καὶ νοσῆσαν, ἰατρικὴ θρηνῳδίαν ἀφανίζοντας'. τὸν τῶν Λυκίων νομοθέτην φασὶ προστάξαι τοῖς αὑτοῦ πολίταις, ἐπὰν πενθῶσι, γυναικείαν ἡμφιεσμένους ἐσθῆτα πενθεῖν, ἐμφαίνειν βουληθέντα ὅτι γυναικῶδες
113 τὸ πάθος καὶ οὐχ ἁρμόττον ἀνδράσι κοσμίοις καὶ παι-

1, 344—345 H. 6, 427—429 B

6. νεωρὲς Musgravius: νεαρὸν δάκοι Galenus vol. 5. p. 151 Chart.: δάκῃ 12. 'Αχαιὸν] Nauck. p. 587 13. Πλάτων] Rep. X. p. 604 B 20. βέλτιστ' ἂν Plato: βέλτιστα

Digitized by Google

δείας ἐλευθερίου μεταπεποιημένοις. θῆλυ γὰρ ὄντως καὶ ἀσθενὲς καὶ ἀγεννὲς τὸ πενθεῖν· γυναῖκες γὰρ ἀνδρῶν εἰσι φιλοπενθέστεραι καὶ οἱ βάρβαροι τῶν Ἑλλήνων, καὶ αὐτῶν τῶν βαρβάρων οὐχ οἱ γεν-
5 ναιότατοι Κελτοὶ καὶ Γαλάται καὶ πάντες οἱ φρονήματος ἀνδρειοτέρου πεφυκότες ἔμπλεοι, μᾶλλον δ', εἴπερ ἄρα, Αἰγύπτιοί τε καὶ Σύροι καὶ Λυδοὶ καὶ πάντες ὅσοι τούτοις παραπλήσιοι. τούτων γὰρ τοὺς μὲν B
εἰς βόθρους τινὰς καταδύντας ἱστοροῦσιν ἐπὶ πλείους
10 ἡμέρας μένειν, μηδὲ τὸ τοῦ ἡλίου φῶς ὁρᾶν βουλομένους, ἐπειδὴ καὶ ὁ τετελευτηκὼς ἀπεστέρηται τούτου. Ἴων γοῦν ὁ τραγικὸς ποιητής, οὐκ ἀνήκοος ὢν τῆς τούτων εὐηθείας, πεποίηκέ τινα λέγουσαν

'ἐξῆλθον ὑμῶν ἱκέτις ἡβώντων τροφός
15 παίδων, βόθρους λιποῦσα πενθητηρίους'.

τινὲς δὲ τῶν βαρβάρων καὶ μέρη τοῦ σώματος ἀποτέμνουσι, ῥῖνας καὶ ὦτα καὶ τὸ ἄλλο σῶμα καταικίζοντες, δοκοῦντές τι χαρίζεσθαι τοῖς τετελευτηκόσιν ἀπαρτώμενοι τῆς κατὰ φύσιν ἐν τοῖς τοιούτοις μετριος
20 παθεία.

23. Ἀλλὰ νὴ Δία τινὲς ὑποτυγχάνοντες οὐκ ἐπὶ C
παντὶ θανάτῳ τὰ πένθη δεῖν οἴονται γίνεσθαι, ἀλλ' ἐπὶ τοῖς ἀώροις, διὰ τὸ μηδενὸς τετυχηκέναι τῶν ἐν τῷ βίῳ νενομισμένων ἀγαθῶν, οἷον γάμου παιδείας
25 τελειότητος πολιτείας ἀρχῶν (ταῦτα γὰρ εἶναι τὰ λυποῦντα μάλιστα τοὺς ἐπὶ τοῖς ἀώροις ἀτυχοῦντας, διὰ τὸ ἀφῃρῆσθαι πρὸ τοῦ δέοντος τῆς ἐλπίδος), ἀγνοοῦντες ὅτι ὁ ἄωρος θάνατος ὡς πρὸς τὴν τῶν

1, 345—347 H. 6, 429—431 R.

1. ἐλευθερίου Hertlinus: ἐλευθέρου 4. Ἑλλήνων καὶ αὐτῶν*: Ἑλλήνων καὶ οἱ χείρους ἄνδρες τῶν ἀμεινόνων καὶ αὐτῶν δὲ 12. Ἴων] Nauck. p. 576

Digitized by Google

ἀνθρώπων φύσιν οὐδὲν διαφέρει. καθάπερ γὰρ τῆς εἰς κοινὴν πατρίδα πορείας προκειμένης πᾶσιν ἀναγκαίας καὶ ἀπαραιτήτου οἱ μὲν προπορεύονται οἱ δ' ἐπακολουθοῦσι, πάντες δ' ἐπὶ τὸ αὐτὸ ἔρχονται, τὸν αὐτὸν τρόπον τῶν εἰς τὸ χρεὼν ὁδευόντων οὐδὲν
D πλέον ἔχοντες τυγχάνουσιν οἱ βραδύτερον ἀφικνούμενοι τῶν θᾶττον παραγινομένων. εἴ γε μὴν ὁ ἄωρος θάνατος κακόν ἐστιν, ἀωρότατος ἂν εἴη ὁ τῶν νηπίων καὶ ἔτι μᾶλλον ὁ τῶν ἄρτι γεγονότων. ἀλλὰ τοὺς τούτων θανάτους ῥᾳδίως φέρομεν καὶ εὐθύμως, τοὺς δὲ τῶν ἤδη προβεβηκότων δυσχερῶς καὶ πενθικῶς διὰ τὸν ἐκ τῶν ματαίων ἐλπίδων ἀναπλασμόν, ἤδη νομιζόντων ἡμῶν βεβαίαν ἔχειν τὴν τῶν τηλικούτων διαμονήν. εἰ δὲ ὁ τῆς ζωῆς τῶν ἀνθρώπων χρόνος εἰκοσαέτης ἦν, τὸν πεντεκαιδεκαέτη ἀποτενόμενον ἐνομίζομεν ἂν μηκέτι ἄωρον τελευτᾶν ἀλλ' ἤδη μέτρον ἡλικίας ἔχοντα ἱκανόν· τὸν δὲ τὴν τῶν
E εἴκοσιν ἐτῶν προθεσμίαν ἐκπληρώσαντα ἢ τὸν ἐγγὺς γενόμενον τοῦ τῶν εἴκοσιν ἐτῶν ἀριθμοῦ πάντως ἂν ἐμακαρίζομεν ὡς εὐδαιμονέστατον καὶ τελειότατον διαπεράσαντα βίον. εἰ δὲ διακοσίων ἐτῶν ἦν, τὸν ἑκατὸν ἐτῶν τελευτήσαντα πάντως ἂν ἄωρον νομίζοντες εἶναι πρὸς ὀδυρμοὺς καὶ θρήνους ἐτραπόμεθα.

24. Δῆλον οὖν ὅτι καὶ ὁ λεγόμενος ἄωρος θάνατος εὐπαραμύθητός ἐστι διά τε ταῦτα καὶ τὰ προειρημένα ἐν τοῖς ἔμπροσθεν. μεῖον γὰρ ὄντως ἐδάF κρυσεν Τρωίλος ἢ Πρίαμος αὐτός, εἰ προετελεύτησεν ἔτ' ἀκμαζούσης αὐτῷ τῆς βασιλείας καὶ τῆς τοσαύτης τύχης ἦν ἐθρήνει. οἷα γοῦν πρὸς τὸν ἑαυτοῦ διελέχθη υἱὸν Ἕκτορα, παραινῶν ἀναχωρεῖν ἀπὸ τῆς

1, 347—348 H. 6, 431—432 R

8. τῶν νηπίων*: τῶν παίδων καὶ νηπίων

πρὸς τὸν Ἀχιλλέα μάχης, ἐν οἷς φησιν

'ἀλλ' εἰσέρχεο τεῖχος, ἐμὸν τέκος, ὄφρα σαώσῃς
Τρῶας καὶ Τρωάς, μηδὲ μέγα κῦδος ὀρέξῃς
Πηλείδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς.
πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον, 114
δύσμορον, ὃν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
αἴσῃ ἐν ἀργαλέῃ φθίσει, κακὰ πόλλ' ἐπιδόντα,
υἱάς τ' ὀλλυμένους, ἑλκηθείσας τε θύγατρας,
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
βαλλόμενα ποτὶ γαίῃ, ἐν αἰνῇ δηιοτῆτι,
ἑλκομένας τε νυοὺς ὀλοῇς ὑπὸ χερσὶν Ἀχαιῶν.
αὐτὸν δ' ἂν πύματόν με κύνες πρώτῃσι θύρῃσι
ὠμηστὰὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέι χαλκῷ
τύψας ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται. B
ἀλλ' ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον
αἰδῷ τ' αἰσχύνωσι κύνες κταμένοιο γέροντος,
τοῦτο δὴ οἰκτιστον πέλεται δειλοῖσι βροτοῖσιν'.

ὄντων οὖν σοι παμπόλλων παραδειγμάτων περὶ τοῦ ἐννοήθητι τὸν θάνατον οὐκ ὀλίγους ἀπαλλάττειν μεγάλων καὶ χαλεπῶν κακῶν, ὧν, εἰ ἐπεβίωσαν, πάντως ἂν ἐπειράθησαν. ἃ φειδόμενος τῆς τοῦ λόγου C συμμετρίας παρέλιπον, ἀρκεσθεὶς τοῖς εἰρημένοις πρὸς τὸ μὴ δεῖν πέρα τοῦ φυσικοῦ μέτρου πρὸς ἄπρακτα πένθη καὶ θρήνους ἀγεννεῖς ἐκτρέπεσθαι.

25. Τὸ γὰρ μὴ δι' αὐτὸν κακῶς πράττειν ὁ μὲν Κράντωρ φησὶν οὐ μικρὸν εἶναι κούφισμα πρὸς τὰς

1, 348—349 H. 6, 432—434 R.

3. Τρωάς* (Homer. X 56): τρωϊάδας 14. ἐρύουσιν*: ἐρίσουσιν aut ἐρύσωσιν 18. βροτοῖσιν*: βροτοῖσιν ἦ ῥ' ὁ γέρων πολιὰς δ' ἄρ' ἀνὰ τρίχας ἕλκετο χερσὶ τίλλων ἐκ κεφαλῆς οὐδ' ἕκτορι θυμὸν ἔπειθεν 24. μέτρου*: καὶ μετρίου

Digitized by Google

τύχας, ἐγὼ δ' ἄν εἴποιμι φάρμακον ἀλυπίας εἶναι μέγιστον. τὸ δὲ φιλεῖν τὸν μεταλλάξαντα καὶ στέργειν οὐκ ἐν τῷ λυπεῖν ἑαυτούς ἐστιν, ἀλλ' ἐν τῷ τὸν ἀγαπώμενον ὠφελεῖν· ὠφέλεια δ' ἐστὶ τοῖς ἀφῃρημένοις ἡ διὰ τῆς ἀγαθῆς μνήμης τιμή. οὐδεὶς γὰρ ἀγαθὸς ἄξιος θρήνων ἀλλ' ὕμνων καὶ παιάνων, οὐδὲ πένθους ἀλλὰ μνήμης εὐκλεοῦς, οὐδὲ δακρύων ἐπωδύνων ἀλλ' ἐτείων ἀπαρχῶν, εἴ γε ὁ μετηλλαχὼς θειότερόν τινα βίον μετείληφεν, ἀπαλλαγεὶς τῆς τοῦ σώματος λατρείας καὶ τῶν ἀτρύτων τούτων φροντίδων τε καὶ συμφορῶν, ἃς ἀνάγκη τοὺς εἰληχότας τὸν θνητὸν βίον ὑπομένειν, ἕως ἂν ἐκπλήσωσι τὸν ἐπικλωσθέντα τῆς ζωῆς μίτον, ὃν ἔδωκεν ἡμῖν ἡ φύσις οὐκ εἰς ἅπαντα τὸν χρόνον, ἀλλὰ καθ' ἕκαστον ἀπένειμε τὸν μερισθέντα κατὰ τοὺς τῆς εἱμαρμένης νόμους.

26. Διὸ τοὺς εὖ φρονοῦντας ἐπὶ τοῖς ἀποθνήσκουσιν οὐ χρὴ πέρα τοῦ φυσικοῦ μέτρου τῆς περὶ τὴν τύχην λύπης εἰς ἄπρακτα καὶ βαρβαρικὰ πένθη παρεκτρέπεσθαι καὶ τοῦθ' ὅπερ πολλοῖς ἤδη συνέβη περιμένειν, ὥστε πρὶν ἀπώσασθαι τὰ πένθη κακουχουμένους τελευτῆσαι τὸν βίον καὶ ἐν τοῖς πενθίμοις τῆς κακοδαίμονος ταφῆς μεταλαβεῖν, ἅμα τῶν τε ἀνιαρῶν καὶ τῶν ἐκ τῆς ἀλογιστίας κακῶν συγκηδευομένων αὐτοῖς, ὥστ' ἐπιφθέγξασθαι τὸ Ὁμηρικόν

'μυρομένοισι δὲ τοῖσι μέλας ἐπὶ ἔσπερος ἦλθε'.

διὸ καὶ πολλάκις αὐτοῖς προσδιαλέγεσθαι χρή 'τί δαί; παυσόμεθά ποτε λυπούμενοι ἢ ἀκαταπαύστῳ συμφορᾷ συνεσόμεθα μέχρι παντὸς τοῦ βίου;' τὸ γὰρ δὴ ἀτε-

1, 349—351 H. 6, 434—436 B.

6. παιάνων Lennepius: ἐπαίνων 8. ἐτείων Reiskius: ἀστείων 13. μίτον*: βίον 18. τύχην W: ψυχὴν 25. μυρομένοισι] Ψ 109. α 423. c 305

Digitized by Google

λεύτητον νομίζειν τὸ πένθος ἀνοίας ἐστὶν ἐσχάτης, καὶ ταῦθ' ὁρῶντας ὡς καὶ οἱ βαρυλυπότατοι καὶ πολυπενθέστατοι πραότατοι γίγνονται πολλάκις ὑπὸ τοῦ χρόνου, καὶ ἐν οἷς ἐδυσχέραινον σφόδρα μνήμασιν ἀνοιμῴζοντες καὶ στερνοτυπούμενοι λαμπρὰς εὐωχίας συνίστανται μετὰ μουσουργῶν καὶ τῆς ἄλλης διαχύσεως. μεμηνότος οὖν ἐστι τὸ οὕτως ὑπολαμβάνειν παράμονον ἕξειν τὸ πένθος. ἀλλ' εἰ λογίζοιντ' ὅτι 115
παύσεταί τινος γενομένου, προσαναλογίσαιντ' ἂν χρόνου δηλαδή τι ποιήσαντος· τὸ γὰρ γεγενημένον οὐδὲ θεῷ δυνατόν ἐστι ποιῆσαι ἀγένητον. οὐκοῦν τὸ νῦν παρ' ἐλπίδα συμβεβηκὸς καὶ παρὰ τὴν ἡμετέραν δόξαν ἔδειξε τὸ εἰωθὸς περὶ πολλοὺς γίνεσθαι δι' αὐτῶν τῶν ἔργων. τί οὖν; ἆρά γ' ἡμεῖς τοῦτο διὰ τοῦ λόγου μαθεῖν οὐ δυνάμεθα οὐδ' ἐπιλογίσασθαι, διότι 'πλείη μὲν γαῖα κακῶν πλείη δὲ θάλασσα' καί

'τοιάδε θνητοῖσι κακὰ κακῶν
ἀμφί τε κῆρες εἰλεῦνται, κενεὴ δ' εἴσοδος οὐδ' B
αἰθέρι;'

27. Πολλοῖς γὰρ καὶ σοφοῖς ἀνδράσιν, ὡς φησι Κράντωρ, οὐ νῦν ἀλλὰ πάλαι κέκλαυσται τἀνθρώπινα, τιμωρίαν ἡγουμένοις εἶναι τὸν βίον καὶ ἀρχὴν τὸ γενέσθαι ἄνθρωπον συμφορᾶν τὴν μετίστην. τοῦτο δέ φησιν Ἀριστοτέλης καὶ τὸν Σειληνὸν συλληφθέντα τῷ Μίδᾳ ἀποφήνασθαι. βέλτιον δ' αὐτὰς τὰς τοῦ φιλοσόφου λέξεις παραθέσθαι. φησὶ δὴ ἐν τῷ Εὐδήμῳ ἐπιγραφομένῳ ἢ Περὶ ψυχῆς ταυτί. 'διόπερ, ὦ κράτιστε πάντων καὶ μακαριστότατε, πρὸς τῷ μακαρίους καὶ εὐδαίμονας εἶναι τοὺς τετελευτηκότας νομίζειν C

1, 351—352 H. 6, 436—438 B.

2. καὶ ταῦθ'*: καίτοι γε 10. τὸ*: τὸ μὲν 16.
πλείη] Hesiod. O. et D. 101 17. Bergk. 1344[3]

Digitized by Google

καὶ τὸ ψεύcαcθαί τι κατ' αὐτῶν καὶ τὸ βλαcφημεῖν οὐχ ὅcιον ἡγούμεθα ὡc κατὰ βελτιόνων καὶ κρειττόνων ἤδη γεγονότων. καὶ ταῦθ' οὕτωc ἀρχαῖα καὶ παλαιὰ διατελεῖ νενομιcμένα παρ' ἡμῖν, ὥcτε τὸ παράπαν οὐδεὶc οἶδεν οὔτε τοῦ χρόνου τὴν ἀρχὴν οὔτε τὸν θέντα πρῶτον, ἀλλὰ τὸν ἄπειρον αἰῶνα τυγχάνει διὰ τέλουc οὕτω νενομιcμένα. πρὸc δὲ δὴ τούτοιc διὰ cτόματοc ὃν τοῖc ἀνθρώποιc ὁρᾷc ὃ ἐκ πολλῶν ἐτῶν περιφέρεται θρυλούμενον.' 'τί τοῦτ';' ἔφη. κἀκεῖνοc ὑπολαβών 'ὡc ἄρα μὴ γίνεcθαι μέν' ἔφη 'ἄριcτον πάντων, τὸ δὲ τεθνάναι τοῦ ζῆν ἐcτι κρεῖττον. καὶ πολλοῖc οὕτω παρὰ τοῦ δαιμονίου μεμαρτύρηται. τοῦτο μὲν ἐκείνῳ τῷ Μίδᾳ λέγουcι δήπου μετὰ τὴν θήραν ὡc ἔλαβε τὸν Cειληνὸν διερωτῶντι καὶ πυνθανομένῳ τί ποτέ ἐcτι τὸ βέλτιcτον τοῖc ἀνθρώποιc καὶ τί τὸ πάντων αἱρετώτατον, τὸ μὲν πρῶτον οὐδὲν ἐθέλειν εἰπεῖν ἀλλὰ cιωπᾶν ἀρρήκτωc· ἐπειδὴ δέ ποτε μόλιc πᾶcαν μηχανὴν μηχανώμενοc προcηγάγετο φθέγξαcθαί τι πρὸc αὐτόν, οὕτωc ἀναγκαζόμενον εἰπεῖν 'δαίμονοc ἐπιπόνου καὶ τύχηc χαλεπῆc ἐφήμερον cπέρμα, τί με βιάζεcθε λέγειν ἃ ὑμῖν ἄρειον μὴ γνῶναι; μετ' ἀγνοίαc γὰρ τῶν οἰκείων κακῶν ἀλυπότατοc ὁ βίοc. ἀνθρώποιc δὲ πάμπαν οὐκ ἔcτι γενέcθαι τὸ πάντων ἄριcτον οὐδὲ μεταcχεῖν τῆc τοῦ βελτίcτου φύcεωc (ἄριcτον ἄρα πᾶcι καὶ πάcαιc τὸ μὴ γενέcθαι)· τὸ μέντοι μετὰ τοῦτο καὶ τὸ

1, 352—353 H. 6, 438—439 R.

2. ἡγούμεθα ὡc κατὰ βελτιόνων*: ὡc κατὰ βελτιόνων ἡγούμεθα 6. τυγχάνει*: τυγχάνουcι 8. ὃν Halmius: ἐν δ*: ὡc 15. βέλτιcτον Meziriacus: βέλτιον 17. ἀρρήκτωc Reiskius: ἀρρήτωc 25. ἄρα Bernaysius: γὰρ

Digitized by Google

πρῶτον τῶν ἀνθρώπῳ ἀνυστῶν τὸ γενομένους ἀποθανεῖν ὡς τάχιστα. δῆλον οὖν ὡς οὔσης κρείττονος τῆς ἐν τῷ τεθνάναι διαγωγῆς ἢ τῆς ἐν τῷ ζῆν, οὕτως ἀπεφήνατο'. μυρία δ' ἐπὶ μυρίοις ἄν τις ἔχοι τοιαῦτα παρατίθεσθαι πρὸς τὸ αὐτὸ κεφάλαιον· ἀλλ' οὐκ ἀναγκαῖον μακρηγορεῖν.

28. Οὐ χρὴ οὖν τοὺς ἀποθνήσκοντας νέους θρηνεῖν ὅτι τῶν ἐν τῷ μακρῷ βίῳ νομιζομένων ἀγαθῶν ἀπεστέρηνται· τοῦτο γὰρ ἄδηλον, ὡς πολλάκις εἴπομεν, εἴτε ἀγαθῶν ἀπεστερημένοι τυγχάνουσιν εἴτε κακῶν· πολλῷ γὰρ πλείονα τὰ κακά. καὶ τὰ μὲν μόλις καὶ διὰ πολλῶν φροντίδων κτώμεθα, τὰ δὲ κακὰ πάνυ ῥᾳδίως· στρογγύλα γὰρ εἶναί φασι ταῦτα καὶ συνεχῆ καὶ πρὸς ἄλληλα φερόμενα κατὰ πολλὰς αἰτίας, τὰ δ' ἀγαθὰ διεχῆ τε καὶ δυσκόλως συνερχόμενα πρὸς αὐτοῖς τοῦ βίου τοῖς τέρμασιν. ἐπιλελεγμένοις οὖν ἐοίκαμεν ὅτι οὐ μόνον, ὥς φησιν Εὐριπίδης, 'τὰ χρήματα' οὐκ 'ἴδια κέκτηνται βροτοί', ἀλλ' ἁπλῶς τῶν ἀνθρωπίνων οὐδέν. διὸ καὶ ἐπὶ πάντων λέγειν χρή

'τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα.
ὅταν δὲ χρῄζωσ', αὖτ' ἀφαιροῦνται πάλιν'.

οὐ δεῖ οὖν δυσφορεῖν, ἐὰν ἃ ἔχρηναν ἡμῖν πρὸς ὀλίγον, ταῦτα ἀπαιτῶσιν· οὐδὲ γὰρ οἱ τραπεζῖται, καθάπερ εἰώθαμεν λέγειν πολλάκις, ἀπαιτούμενοι τὰ θέματα δυσχεραίνουσιν ἐπὶ τῇ ἀποδόσει, ἐάνπερ εὐγνωμονῶσι. πρὸς γὰρ τοὺς οὐκ εὐμαρῶς ἀποδιδόντας εἰκότως ἄν τις εἴποι 'ἐπελάθου ὅτι ταῦτ' ἔλαβες ἐπὶ

F

116

B

1, 353—354 H. 6, 439—441 B.

1. ἀνθρώπῳ ἀνυστῶν Reiskius: ἄλλων ἀνυστὸν τὸ*: δεύτερον δὲ τὸ 2. ὡς] ὅτι ὡς Reiskius 17. Εὐριπίδης] Phoen. 555 21. Ibid. 556

Digitized by Google

τῷ ἀποδοῦναι;' τοῦτο δὴ τοῖς θνητοῖς ἅπασι συμβέβηκεν. ἔχομεν γὰρ τὸ ζῆν ὥσπερ ἐπὶ παρακαταθεμένοις θεοῖς ἐξ ἀνάγκης, καὶ τούτου χρόνος οὐδεὶς ἐστιν ὡρισμένος τῆς ἀποδόσεως, ὥσπερ οὐδὲ τοῖς τραπεζίταις τῆς τῶν θεμάτων, ἀλλ' ἄδηλον πότε ὁ δοὺς ἀπαιτήσει. ὁ οὖν ἢ αὐτὸς μέλλων ἀποθνήσκειν ἢ τέκνων ἀποθανόντων ὑπεραγανακτῶν πῶς οὐ καταφανῶς ἐπιλέλησται ὅτι καὶ αὐτὸς ἄνθρωπός ἐστι καὶ τὰ τέκνα θνητὰ ἐγέννησεν; οὐ γὰρ ἔστι φρένας ἔχοντος ἀνθρώπου ἀγνοεῖν ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστι θνητόν, οὐδ' ὅτι γέγονεν εἰς τὸ ἀποθανεῖν. εἰ
C γοῦν ἡ Νιόβη κατὰ τοὺς μύθους πρόχειρον εἶχε τὴν ὑπόληψιν ταύτην ὅτι καὶ ἡ

'θαλέθοντι βίῳ
βλάσταις τε τέκνων βριθομένα γλυκερόν
φάος ὁρῶσα'

τελευτήσει, οὐκ ἂν οὕτως ἐδυσχέραινεν ὡς καὶ τὸ ζῆν ἐθέλειν ἐκλιπεῖν διὰ τὸ μέγεθος τῆς συμφορᾶς, καὶ τοὺς θεοὺς ἐπικαλεῖσθαι ἀνάρπαστον αὐτὴν γενέσθαι πρὸς ἀπώλειαν τὴν χαλεπωτάτην. δύ' ἐστὶ τῶν Δελ-
D φικῶν γραμμάτων τὰ μάλιστ' ἀναγκαιότατα πρὸς τὸν βίον, τὸ 'γνῶθι σαυτὸν' καὶ τὸ 'μηδὲν ἄγαν'· ἐκ τούτων γὰρ ἤρτηται καὶ τὰ ἄλλα πάντα. ταῦτα γάρ ἐστιν ἀλλήλοις συνῳδὰ καὶ σύμφωνα, καὶ διὰ θατέρου θάτερον ἔοικε δηλοῦσθαι κατὰ δύναμιν. ἔν τε γὰρ τῷ γινώσκειν ἑαυτὸν περιέχεται τὸ μηδὲν ἄγαν, καὶ ἐν τούτῳ τὸ γινώσκειν ἑαυτόν. διὸ καὶ περὶ μὲν τούτου φησὶν ὁ Ἴων οὕτως

'τὸ 'γνῶθι σαυτὸν' τοῦτ' ἔπος μὲν οὐ μέγα,
ἔργον δ' ὅσον Ζεὺς μόνος ἐπίσταται θεῶν',

1, 354—355 H. 6, 441—442 B.

2. ἐπὶ* 14. Bergk. p. 1343[3]. Nauck. p. 697 29. Nauck. p. 576

Digitized by Google

ὁ δὲ Πίνδαρος

'σοφοὶ δέ' φησί 'καὶ τὸ 'μηδὲν ἄγαν' ἔπος αἴνησαν περισσῶς'.

29. Ταῦτα οὖν ἐν διανοίᾳ τις ἔχων ὡς πυθόχρηστα παραγγέλματα πρὸς πάντα τὰ τοῦ βίου πράγματα E ῥᾳδίως ἐφαρμόζειν δυνήσεται καὶ φέρειν αὐτὰ δεξιῶς, εἴς τε τὴν αὐτοῦ φύσιν ἀφορῶν καὶ εἰς τὸ μὴ πέρα τοῦ προσήκοντος ἐν τοῖς προσπίπτουσιν ἢ διαίρεσθαι πρὸς ἀλαζονείαν ἢ ταπεινοῦσθαι καὶ καταπίπτειν πρὸς οἰκτους καὶ ὀλοφυρμοὺς διὰ τὴν τῆς ψυχῆς ἀσθένειαν καὶ τὸν ἐμφυόμενον ἡμῖν τοῦ θανάτου φόβον παρὰ τὴν ἄγνοιαν τῶν εἰωθότων ἐν τῷ βίῳ συμβαίνειν κατὰ τὴν τῆς ἀνάγκης ἢ πεπρωμένης μοῖραν. καλῶς δ' οἱ Πυθαγόρειοι παρεκελεύσαντο λέγοντες

'ὅσσα δὲ δαιμονίηισι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν, ἣν ἂν μοῖραν ἔχῃς, ταύτην ἔχε μηδ' ἀγανάκτει' F

καὶ ὁ τραγικὸς Αἰσχύλος

'ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεούς'

καὶ ὁ Εὐριπίδης

'ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν βροτῶν σοφὸς παρ' ἡμῖν καὶ τὰ θεῖ' ἐπίσταται'

καὶ ἐν ἄλλοις

'τὰ προσπεσόντα δ' ὅστις εὖ φέρει βροτῶν, ἄριστος εἶναι σωφρονεῖν τέ μοι δοκεῖ'. 117

30. Οἱ δὲ πολλοὶ πάντα καταμέμφονται καὶ πάντα τὰ παρὰ τὰς ἐλπίδας αὐτοῖς συμβεβηκότα ἐξ ἐπηρείας τύχης καὶ δαιμόνων γενέσθαι νομίζουσι. διὸ καὶ ἐπὶ

1, 355—356 H. 6, 443—444 R.

1. Πίνδαρος] Bergk. fr. 201 (235) 15. Carm. Aur. 17
17. Αἰσχύλος] Nauck. p. 543 20. Εὐριπίδης] Id. p. 524
24. Id. p. 412 28. γενέσθαι*: γίνεσθαι

Digitized by Google

πᾶσιν ὀδύρονται, στένοντες καὶ τὴν ἑαυτῶν ἀτυχίαν αἰτιώμενοι. πρὸς οὓς ὑποτυχὼν ἄν τις εἴποι

'θεὸς δέ σοι πῆμ' οὐδὲν ἀλλ' αὐτὸς σὺ σοί'

καὶ ἡ διὰ τὴν ἀπαιδευσίαν ἄνοια καὶ παραφροσύνη. διὰ ταύτην γοῦν τὴν διηπατημένην καὶ ψευδῆ δόξαν πάντα καταμέμφονται θάνατον. ἐὰν μὲν γὰρ ἐν ἀποB δημίᾳ τις ὢν ἀποθάνῃ, στένουσιν ἐπιλέγοντες

'δύσμορος, οὐδ' ἄρα τῷ γε πατὴρ καὶ πότνια μήτηρ
ὄσσε καθαιρήσουσιν'·

ἐὰν δ' ἐπὶ τῆς οἰκείας παρόντων τῶν γονέων, ὀδύρονται ὡς ἐξαρπασθέντος ἐκ τῶν χειρῶν καὶ τὴν ἐν ὀφθαλμοῖς ὀδύνην αὐτοῖς ἐφέντος. ἐὰν ἄφωνος μηδὲν προσειπὼν περὶ μηδενός, κλάοντες λέγουσιν

'οὐδέ τι μοι εἶπας πυκινὸν ἔπος, οὗ τέ κεν αἰεί
C μεμνήμην'.

ἐὰν προσομιλήσας τι, τοῦτ' ἀεὶ πρόχειρον ἔχουσιν ὥσπερ ὑπέκκαυμα τῆς λύπης. ἐὰν ταχέως, ὀδύρονται λέγοντες 'ἀνηρπάσθη'. ἐὰν μακρῷς, μέμφονται ὅτι καταφθινήσας καὶ τιμωρηθεὶς ἀπέθανε. πᾶσα γὰρ πρόφασις ἱκανὴ πρὸς τὸ τὰς λύπας καὶ τοὺς θρήνους συνεγείρειν. ταῦτα δ' ἐκίνησαν οἱ ποιηταί, καὶ μάλιστα τούτων ὁ πρῶτος Ὅμηρος λέγων

'ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων,
νυμφίου, ὅς τε θανὼν δειλοὺς ἀκάχησε τοκῆας'.

1, 356—357 H. 6, 444—446 R.

3. σὺ σοί (Soph. OR. 379) Reiskius: αὐτῷ σὺ σοί 8. Homer. Λ 453 11. οἰκείας Reiskius: οἰκείας πατρίδος 13. ἐφέντος*: ἀφέντος ἐὰν*: ἐὰν δ' 15. Homer. Ω 744 24. Id. Ψ 222 25. τοκῆας*: τοκῆας ἄρρητον δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκε (id. P 37)

Digitized by Google

καὶ ταῦτα μὲν οὔπω δῆλον εἰ δικαίως ὀδύρεται, ἀλλ' D
ὅρα τὸ ἑξῆς

'μοῦνος τηλύγετος πολλοῖσιν ἐπὶ κτεάτεσσι'.

(31) τίς γὰρ οἶδεν, εἰ ὁ θεὸς πατρικῶς κηδόμενος τοῦ ἀνθρωπείου γένους, προορώμενος τὰ μέλλοντα συμβήσεσθαι προεξάγει τινὰς ἐκ τοῦ ζῆν ἀώρους; ὅθεν οὐδὲν ἀπευκτὸν νομιστέον αὐτοὺς πάσχειν

('δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς'

οὔτε τῶν κατὰ προηγούμενον λόγον συμβαινόντων οὔτε τῶν κατ' ἐπακολούθησιν) καὶ ὅτι οἱ πλεῖστοι E θάνατοι πρὸ ἄλλων δυσχερῶν μειζόνων γίγνονται, καὶ ὅτι τοῖς μὲν οὐδὲ γενέσθαι συνέφερε, τοῖς δ' ἅμα τῷ γενέσθαι ἀποθανεῖν, τοῖς δὲ προελθοῦσιν ἐπὶ μικρὸν τοῖς δ' ἀκμάζουσι. πρὸς πάντας δὴ τούτους τοὺς θανάτους ἐλαφρῶς ἑκτέον, εἰδότας ὅτι τὴν μοῖραν οὐκ ἔστιν ἐκφυγεῖν (πεπαιδευμένων δ' ἔστιν ἀνθρώπων προειληφέναι διότι βραχὺν χρόνον προειλήφασιν ἡμᾶς οἱ δοκοῦντες ἄωροι τοῦ ζῆν ἐστερῆσθαι· καὶ γὰρ ὁ μακρότατος βίος ὀλίγος ἐστὶ καὶ στιγμαῖος πρὸς τὸν ἄπειρον αἰῶνα) καὶ ὅτι πολλοὶ τῶν ἐπὶ πλέον πεν- F θησάντων μετ' οὐ πολὺ τοῖς ὑπ' αὐτῶν κατοδυρθεῖσιν ἐπηκολούθησαν, οὐδὲν ἐκ τοῦ πένθους ὄφελος περιποιησάμενοι, μάτην δὲ αὐτοὺς καταικισάμενοι ταῖς κακουχίαις. βραχυτάτου δὲ τοῦ τῆς ἐπιδημίας ὄντος ἐν τῷ βίῳ χρόνου, οὐκ ἐν ταῖς αὐχμηραῖς λύπαις οὐδ' ἐν τῷ κακοδαιμονεστάτῳ πένθει διαφθείρειν ἑαυτοὺς δεῖ ταῖς ὀδύναις καὶ ταῖς τοῦ σώματος αἰκίαις παρατεινομένους, ἀλλὰ μεταβάλλειν ἐπὶ τὸ κρεῖσσον

1, 357—358 H. 6, 446—447 R

3. Homer. I 492 7. ἀπευκτὸν*: φευκτὸν 8. δεινὸν γὰρ οὐδὲν Clemens Strom. IV. p. 587 (Nauck. p. 468, 757, 9): οὐδὲν γὰρ δεινὸν

Digitized by Google

καὶ ἀνθρωπικώτερον πειρωμένους, καὶ σπουδάζοντας
118 ἐντυγχάνειν ἀνδράσι μὴ τοῖς συλλυπουμένοις καὶ διεγείρουσι τὰ πένθη διὰ κολακείαν, ἀλλὰ τοῖς ἀφαιρουμένοις τὰς λύπας διὰ γενναίας καὶ σεμνῆς παρηγορίας, ἐπακούοντας καὶ ἔχοντας ἐν νῷ τὸ Ὁμηρικὸν τοῦτο ἔπος, ὅπερ ὁ Ἕκτωρ πρὸς τὴν Ἀνδρομάχην ἀντιπαρηγορῶν αὐτὴν εἶπεν ὧδί

'δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ·
οὐ γάρ τίς μ' ὑπὲρ αἶσαν ἀνὴρ Ἄϊδι προϊάψει,
μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται'.

ταύτην δὲ τὴν μοῖραν ἐν ἄλλοις ὁ ποιητής φησι
B 'γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ'.

32. Ταῦτα πρὸ διανοίας λαβόντες τῆς ἀπράκτου καὶ κενῆς ἀπαλλαγησόμεθα βαρυπενθείας, ὀλίγου δὴ παντάπασι τοῦ μεταξὺ χρόνου τῆς ζωῆς ὄντος. σπευστέον οὖν ὅπως εὐθυμόν τε καὶ ἀπαρενόχλητον ταῖς πενθικαῖς λύπαις διαγάγωμεν, τὰ τοῦ πένθους παράσημα μεθέμενοι καὶ τῆς τοῦ σώματος ἐπιμελείας φροντίσαντες καὶ τῆς τῶν συμβιούντων ἡμῖν σωτηρίας. καλὸν δὲ καὶ μεμνῆσθαι τῶν λόγων, οἷς κατὰ τὸ εἰκὸς ἐχρησάμεθά ποτε πρὸς συγγενεῖς ἢ φίλους ἐν ταῖς παραπλησίοις γενομένους συμφοραῖς,
C παραμυθούμενοι καὶ πείθοντες τὰ κοινὰ τοῦ βίου συμπτώματα κοινῶς φέρειν καὶ τὰ ἀνθρώπινα ἀνθρωπίνως, καὶ μὴ τοῖς μὲν ἄλλοις ἐπαρκεῖν πρὸς ἀλυπίαν δύνασθαι, ἑαυτοῖς δὲ μηδὲν ὄφελος εἶναι τὴν τούτων ὑπόμνησιν, δι' ὧν δεῖ τὸ ἀλγοῦν τῆς ψυχῆς ἀποθεραπεύειν

1, 858—859 H. 6, 447—449 R.

4. διὰ*: διὰ τῆς 8. Homer. Z 486 14. Id. Υ 128 17. σπευστέον*: φειστέον

Digitized by Google

παιωνιοις λογου φαρμάκοις, ὡς πάντων μᾶλλον ἢ ἀλυπίας ἀναβολὴν δεῖ ποιεῖσθαι. καίτοι γε τὸν ἐν ὀτῳοῦν ἀμβολιεργὸν ἄταις φησὶ παλαίειν, τὸ κυκλούμενον τοῦτο παρὰ πᾶσιν ἔπος· πολὺ δ' οἶμαι μᾶλλον D τὸν ὑπερτιθέμενον τὰ τῆς ψυχῆς ἀχθεινὰ πάθη καὶ δυσάντητα πρὸς τὸν ἐπιόντα χρόνον.

33. Ἀποβλέπειν δὲ καὶ πρὸς τοὺς εὐγενῶς καὶ μεγαλοφρόνως τοῦς ἐπὶ τοῖς υἱοῖς γενομένους θανάτους καὶ πράως ὑποστάντας, Ἀναξαγόραν τὸν Κλαζομένιον καὶ Δημοσθένη τὸν Ἀθηναῖον καὶ Δίωνα τὸν Συρακόσιον καὶ τὸν βασιλέα Ἀντίγονον, καὶ συχνοὺς ἄλλους τῶν τε παλαιῶν καὶ τῶν καθ' ἡμᾶς. τούτων γὰρ Ἀναξαγόραν παρειλήφαμεν, ὡς φασι, φυσιολογοῦντα καὶ διαλεγόμενον τοῖς γνωρίμοις, ἀκούσαντα παρά τινος τῶν ἀναγγειλάντων αὐτῷ τὴν περὶ τὸν υἱὸν τελευτήν, μικρὸν ἐπισχόντα πρὸς τοὺς E παρόντας εἰπεῖν 'ἤδειν ὅτι θνητὸν ἐγέννησα τὸν υἱόν'. Περικλέα δὲ τὸν καὶ Ὀλύμπιον προσαγορευθέντα διὰ τὴν περὶ τὸν λόγον καὶ τὴν σύνεσιν ὑπερβεβλημένην δύναμιν, πυθόμενον ἀμφοτέρους αὐτοῦ τοὺς υἱοὺς μετηλλαχέναι τὸν βίον, Πάραλόν τε καὶ Ξάνθιππον (ὡς φησι Πρωταγόρας, εἰπὼν οὕτως 'τῶν γὰρ υἱέων νεηνιέων ὄντων καὶ καλῶν, ἐν ὀκτὼ δὲ τῇσι πάσῃσιν ἡμέρῃσιν ἀποθανόντων νηπενθέως ἀνέτλη. εὐδίης γὰρ εἴχετο, ἐξ ἧς πολλὸν ὤνητο κατὰ πᾶσαν ἡμέρην εἰς εὐποτμίην καὶ ἀνωδυνίην καὶ τὴν ἐν τοῖσι πολλοῖσι F

, 359—360 H. 6, 449—451 R.

3. ἀμβολιεργὸν] Hesiod. O. et D. 414 8. θανάτους καὶ W: θανάτους 10. καὶ — Ἀθηναῖον] Post Ἀθηναῖον Hertlinus addit καὶ Ξενοφῶντα τὸν Ἀθηναῖον. Fuisse videtur καὶ Περικλέα καὶ Ξενοφῶντα καὶ Δημοσθένη τοὺς Ἀθηναίους 18. τὸν*

Digitized by Google

δόξαν· πᾶς γάρ τίς μιν ὀρέων τὰ ἑαυτοῦ πένθεα ἐρρωμένως φέροντα, μεγαλόφρονά τε καὶ ἀνδρήιον ἐδόκεε εἶναι καὶ ἑαυτοῦ κρείσσω, κάρτα εἰδὼς τὴν ἑαυτοῦ ἐν τοιοίσιδε πράγμασι ἀμηχανίην'), οὐδὲν ἧττον ἐστεφανωμένον κατὰ τὸ πάτριον ἔθος καὶ λευχειμονοῦντα δημηγορεῖν 'βουλάς τ' ἐξάρχοντ' ἀγαθὰς' πρός τε τὸν πόλεμον ἐπιπαρορμῶντα τοὺς Ἀθηναίους. Ξενοφῶντα δὲ τὸν Σωκρατικὸν θύοντά ποτε, παρὰ τῶν ἀγγέλων ἀπὸ τοῦ πολέμου πυθόμενον ὅτι ὁ υἱὸς αὐτοῦ Γρύλλος ἀγωνιζόμενος ἐτελεύτησε, περιελόμενον
119 τὸν στέφανον ἐξετάζειν τίνα τρόπον ἐτελεύτησε. τῶν δὲ ἀπαγγειλάντων ὅτι γενναίως ἀριστεύων καὶ πολλοὺς τῶν πολεμίων κατακτείνας, μικρὸν παντελῶς διαστήσαντα χρόνον καὶ τῷ λογισμῷ τὸ πάθος παρακατασχόντα, ἐπιθέμενον πάλιν τὸν στέφανον ἐπιτελεῖν τὴν θυσίαν, καὶ πρὸς τοὺς ἀγγέλους εἰπεῖν ὅτι 'θεοῖς ηὐξάμην οὐκ ἀθάνατον οὐδὲ πολυχρόνιον γενέσθαι μοι τὸν υἱόν (τὸ γὰρ τοιοῦτον ἄδηλον εἰ συμφέρει), ἀγαθὸν δὲ καὶ φιλόπατριν, ὃ δὴ καὶ γέγονεν'. Δίωνα
B δὲ τὸν Συρακόσιον συνεδρεύοντα μετὰ τῶν φίλων, κατὰ τὴν οἰκίαν θορύβου γενομένου καὶ μεγάλης κραυγῆς, πυθόμενον τὴν αἰτίαν καὶ τὸ συμβεβηκὸς ἀκούσαντα ὅτι ὁ υἱὸς αὐτοῦ καταπεσὼν ἀπὸ τοῦ στέγους ἐτελεύτησεν, οὐδὲν ἐκπλαγέντα τὸ μὲν σωμάτιον κελεῦσαι τοῦ μεταλλάξαντος ταῖς γυναιξὶ παραδοῦναι πρὸς τὴν νόμιμον ταφήν, αὐτὸν δὲ περὶ ὧν διεσκέπτετο μὴ παραλιπεῖν. τοῦτον ζηλῶσαι λέγεται καὶ Δημοσθένη τὸν ῥήτορα, τὴν μόνην καὶ ἀγαπητὴν ἀπο-

1, 360—362 H. 6, 451—452 R.

4. ἀμηχανίην*: ἀμηχανίην· τοῦτον γὰρ εὐθὺς μετὰ τὴν προσαγγελίαν ἀμφοτέρων τῶν υἱέων 6. βουλάς] Homer. B 273 18. εἰ*: ὅτι

Digitized by Google

λέσαντα θυγατέρα, περὶ ἧς φησιν Αἰσχίνης, κατηγορεῖν αὐτοῦ δόξας, ταυτί. 'ἑβδόμην δ' ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα ἀναλαβὼν ἐβουθύτει καὶ παρενόμει, τὴν μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προσειποῦσαν ἀπολέσας'. οὗτος μὲν οὖν ῥητορικῶς προθέμενος αὐτοῦ κατηγορῆσαι ταῦτα διεξῆλθεν, ἀγνοῶν ὅτι διὰ τούτων αὐτὸν ἐπαινεῖ τὸ πενθεῖν παρωσάμενον καὶ τὸ φιλόπατρι πρὸ τῆς τῶν ἀναγκαίων συμπαθείας ἐπιδεικνύμενον. Ἀντίγονον δὲ τὸν βασιλέα πυθόμενον τὴν Ἀλκυονέως τοῦ υἱοῦ τελευτὴν ἐν παρατάξει γενομένην μεγαλοφρόνως τε πρὸς τοὺς ἀπαγγείλαντας αὐτῷ τὴν συμφορὰν ἀπιδεῖν καὶ μικρὸν ἐπισχόντα καὶ κατηφιάσαντα προσειπεῖν 'ὦ Ἀλκυονεῦ, ὀψίτερον μετήλλαξας τὸν βίον, οὕτως ἀφειδῶς ἐξορμῶν ἐπὶ τοὺς πολεμίους καὶ οὔτε τῆς ἑαυτοῦ σωτηρίας οὔτε τῶν ἐμῶν παραινέσεων φροντίζων'. τούτους δὴ τοὺς ἄνδρας θαυμάζουσι μὲν τῆς μεγαλοφροσύνης πάντες καὶ ἄγανται, μιμεῖσθαι δ' ἐπὶ τῶν ἔργων οὐ δύνανται διὰ τὴν ἐκ τῆς ἀπαιδευσίας ἀσθένειαν τῆς ψυχῆς. πλὴν πολλῶν ὄντων παραδειγμάτων τῶν διὰ τῆς ἱστορίας ἡμῖν παραδιδομένων τῆς τε Ἑλληνικῆς καὶ τῆς Ῥωμαϊκῆς τῶν γενναίως καὶ καλῶς ἐν ταῖς τῶν ἀναγκαίων τελευταῖς διαγενομένων ἀποχρήσει τὰ εἰρημένα πρὸς τὴν ἀπόθεσιν τοῦ πάντων ἀνιαροτάτου πένθους καὶ τῆς ἐν τούτῳ πρὸς οὐδὲν χρήσιμον ματαιοπονίας.

34. Ὅτι γὰρ οἱ ταῖς ἀρεταῖς διενεγκόντες ὡς

1, 362—363 H. 6, 452—454 B.

1. Αἰσχίνης] adv. Ctesiph. p. 64, 38 Aeschines: παρηνόμει Reiskius: παντὸς 5. παρενόμει 16. ἐπὶ*: πρὸς 26. πάντων

Digitized by Google

θεοφιλεῖς νέοι μετέστησαν πρὸς τὸ χρεὼν καὶ πάλαι μὲν διὰ τῶν πρόσθεν ὑπέμνησα λόγων, καὶ νῦν δὲ πειράσομαι διὰ βραχυτάτων ἐπιδραμεῖν, προσμαρτυρήσας τῷ καλῶς ὑπὸ Μενάνδρου ῥηθέντι τούτῳ

'ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος'.

ἀλλ' ἴσως ὑποτυχὼν ἂν φαίης Ἀπολλώνιε φίλτατε, σφόδρ' ἦν ἐπιτετευμένος ὁ νεανίσκος Ἀπόλλωνι καὶ
F μοίραις, καί σε ἔδει ὑπ' ἐκείνου τελείου γενομένου κηδευθῆναι μεταλλάξαντα τὸν βίον· τοῦτο γὰρ εἶναι κατὰ φύσιν. τὴν ἡμετέραν δηλονότι καὶ τὴν ἀνθρωπίνην, ἀλλ' οὐ κατὰ τὴν τῶν ὅλων πρόνοιαν καὶ τὴν κοσμικὴν διάταξιν. ἐκείνῳ δὲ τῷ μακαρισθέντι οὐκ ἦν κατὰ φύσιν περαιτέρω τοῦ ἀπονεμηθέντος αὐτῷ χρόνου πρὸς τὸν ἐνθάδε βίον περιμένειν, ἀλλ' εὐτάκτως τοῦτον ἐκπλήσαντι πρὸς τὴν εἱμαρμένην ἐπανάγειν πορείαν, καλούσης αὐτῆς, φησίν, ἤδη πρὸς ἑαυτήν. ἀλλ' ἄωρος ἐτελεύτησεν; οὐκοῦν εὐποτμότερος διὰ τοῦτο καὶ κακῶν ἀπείρατός ἐστιν·

120 'ὁ βίος γάρ' φησὶν Εὐριπίδης 'ὄνομ' ἔχει βίον
μόρος γεγώς'.

οὗτος δ' ἐπὶ τῆς εὐανθεστάτης ἡλικίας προαπεφοίτησεν ὁλόκληρος ἠίθεος, ζηλωτὸς καὶ περίβλεπτος πᾶσι τοῖς συνήθεσιν αὐτῷ, φιλοπάτωρ γενόμενος καὶ φιλομήτωρ καὶ φιλοίκειος καὶ φιλόσοφος, τὸ δὲ σύμπαν εἰπεῖν φιλάνθρωπος, αἰδούμενος μὲν τοὺς πρεσβυτέρους τῶν φίλων ὥσπερ πατέρας, στέργων δὲ τοὺς ὁμήλικας καὶ συνήθεις, τιμητικὸς δὲ τῶν καθηγησαμένων, ξένοις δὲ καὶ ἀστοῖς πραότατος, πᾶσι δὲ μείλιχος

1, 363—364 H. 6, 454—456 R.

5. Meinek. IV. p. 105 8. μοίραις] Μούσαις Madvigius 17. ἄωρος Didotiana: ἀώρως 19. Nauck. p. 524 ἔχει βίον μόρος*: ἔχει πόνος γεγώς Nauckius: ἐγώ c'

Digitized by Google

καὶ φίλος διά τε τὴν ἐξ ὄψεως χάριν καὶ τὴν εὐπρος- B
ήγορον φιλανθρωπίαν. ἀλλὰ γὰρ ἐκεῖνος μὲν τῆς
τε σῆς εὐσεβείας καὶ τῆς ἑαυτοῦ τὴν πρέπουσαν εὐ-
φημίαν ἔχων πρὸς τὸν ἀεὶ χρόνον προαπεφοίτησε
τοῦ θνητοῦ βίου, καθάπερ ἐκ συμποσίου, πρὶν εἴς τινα
παροινίαν ἐκπεσεῖν τὴν τῷ μακρῷ γήρᾳ παρεπομένην.
εἰ δ' ὁ τῶν παλαιῶν τε ποιητῶν καὶ φιλοσόφων λό-
γος ἐστὶν ἀληθὴς ὥσπερ εἰκὸς ἔχειν, οὕτω καὶ τοῖς
εὐσεβέσι τῶν μεταλλαξάντων ἐστί τις τιμὴ καὶ προ-
εδρία καθάπερ λέγεται, καὶ χῶρός τις ἀποτεταγμένος
ἐν ᾧ διατρίβουσιν αἱ τούτων ψυχαί, καλὰς ἐλπίδας C
ἔχειν σε δεῖ περὶ τοῦ μακαρίτου υἱέος σου, ὅτι τού
τοις συγκαταριθμηθεὶς συνέσται.

35. Λέγεται δ' ὑπὸ μὲν τοῦ μελικοῦ Πινδάρου
ταυτὶ περὶ τῶν εὐσεβῶν ἐν Ἅιδου,

'τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύ-
κτα κάτω,
φοινικορόδοις ἐν λειμώνεσσι προάστιον αὐτῶν
καὶ λιβάνῳ σκιαρὸν καὶ χρυσέοις κάρποις βε-
βριθός.
καὶ τοὶ μὲν ἵπποις γυμνασίοις τε τοὶ δὲ πεσσοῖς,
τοὶ δὲ φορμίγγεσι τέρπονται, παρὰ δέ σφισιν
εὐανθὴς ἅπας τέθαλεν ὄλβος,
ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται
αἰεὶ θύα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν
ἐπὶ βωμοῖς'.

1, 364—366 H. 6, 456—458 R.

5. ἐκ*: ἐκ τοῦ 14. Πινδάρου] Bergk. fr. 106 (95) 18. φοινικορόδοις ἐν (δ' ἐνὶ Bergkius) λειμώνεσσι p. 1130 C: φοινικορόδιαί τε λειμῶνες προάστιον G. Hermannus: προάστειον 19. χρυσέοις κάρποις Böckhius: χρυσοκάρποισι βεβριθός Reiskius: βέβριθε 21. ἵπποις γυμνασίοις τε Hermannus: ἱππείοις γυμνασίοις 25. θύα idem: θύματα

Digitized by Google

D καὶ μικρὸν προελθὼν ἐν ἄλλῳ θρήνῳ περὶ ψυχῆς λέγων φησίν

'ὀλβίᾳ δ' ἅπαντες αἶσᾳ λυσίπονον τελευτάν.
καὶ σῶμα μὲν πάντων ἔπεται θανάτῳ περισθενεῖ,
ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον· τὸ γὰρ
ἐστι μόνον
ἐκ θεῶν. εὖδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὐ-
δόντεσσιν ἐν πολλοῖς ὀνείροις
δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν'.

36. 'Ὁ δὲ θεῖος Πλάτων πολλὰ μὲν ἐν τῷ Περὶ ψυχῆς περὶ τῆς ἀθανασίας αὐτῆς εἴρηκεν, οὐκ ὀλίγα
E δὲ ἐν τῇ Πολιτείᾳ καὶ τῷ Μένωνι καὶ τῷ Γοργίᾳ καὶ σποράδην ἐν τοῖς ἄλλοις διαλόγοις. ἀλλὰ τὰ μὲν ἐν τῷ Περὶ ψυχῆς διαλόγῳ ῥηθέντα κατ' ἰδίαν ὑπομνηματισάμενός σοι παρέξομαι, ὡς ἐβουλήθης· τὰ δὲ πρὸς τὸ παρὸν καίρια καὶ χρήσιμα λεχθέντα τὸν Ἀθηναῖον, ἑταῖρον δὲ καὶ μαθητὴν Γοργίου τοῦ ῥήτορος. φησὶ γὰρ ὁ παρὰ τῷ Πλάτωνι Σωκράτης, 'ἄκουε δή, φασί, μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσει, ὡς ἐγὼ οἶμαι, μῦθον, ἐγὼ δὲ λόγον· ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω ἃ μέλλω λέγειν. ὥσπερ γὰρ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς
F παρέλαβον. ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων καὶ ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτι ἔστιν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως διελθόντα τὸν βίον καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα

1, 366—367 H. 6, 458—459 B.

3. Bergk. fr. 107 (95) 5. ζωὸν δ' ἔτι vit. Rom. c. 28: ζῶν δὲ 6. ἐστι μόνον ibidem: μόνον ἐστί 10. περὶ Reiskius: περί τε 18. Πλάτωνι] Gorg. p. 523 C 19. φασί Plato: φησί

Digitized by Google

οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδί- 121
κως καὶ ἀθέως εἰς τὸ τῆς δίκης τε καὶ τίσεως δεσμω-
τήριον, ὃ δὴ τάρταρον καλοῦσιν, ἰέναι. τούτων δὲ οἱ
δικασταὶ ἐπὶ Κρόνου καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν
ἀρχὴν ἔχοντος ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ
δικάζοντες ᾗ μέλλοιεν τελευτᾶν. ἔπειτα αἱ δίκαι πῶς
οὐ κακῶς ἐκρίνοντο; ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπι-
μεληταὶ οἱ ἐκ μακάρων νήσων ἰόντες ἔλεγον πρὸς τὸν
Δία ὅτι φοιτῷέν σφισιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι.
εἶπεν οὖν ὁ Ζεύς 'ἀλλ' ἐγώ' ἔφη 'παύσω τοῦτο γι-
γνόμενον. νῦν μὲν γὰρ κακῶς αἱ δίκαι δικάζονται.
ἀμπεχόμενοι γάρ' ἔφη 'οἱ κρινόμενοι κρίνονται· ζῶν- B
τες γὰρ κρίνονται. πολλοὶ οὖν ἴσως' ἢ δ' ὅς 'πο-
νηρὰς ψυχὰς ἔχοντες ἠμφιεσμένοι εἰσὶ σώματά τε καλὰ
καὶ γένη καὶ πλούτους, καὶ ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρ-
χονται αὐτοῖς πολλοὶ μαρτυρήσοντες ὡς δικαίως βε-
βιώκασιν. οἱ οὖν δικασταὶ ὑπό τε τούτων ἐκπλήττον-
ται, καὶ ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι δικάζουσι, πρὸ
τῆς ψυχῆς τῆς ἑαυτῶν ὀφθαλμούς τε καὶ ὦτα καὶ
ὅλον τὸ σῶμα προκεκαλυμμένοι. ταῦτα δὴ αὐτοῖς
πάντα ἐπίπροσθεν γίγνεται, καὶ τὰ αὐτῶν ἀμφιέσματα
καὶ τὰ τῶν κρινομένων. πρῶτον μὲν οὖν παυστέον
ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον· νῦν γὰρ προῖ- C
σασι. τοῦτο μὲν οὖν καὶ δὴ εἴρηται τῷ Προμηθεῖ,
ὅπως ἂν παύσῃ αὐτό. ἔπειτα γυμνοὺς κριτέον ἁπάν-
των τούτων· τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι. καὶ τὸν
κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα, αὐτῇ τῇ ψυχῇ

1, 367—368 H. 6, 459—461 B.

6. πῶς οὐ κακῶς*: πως οὐ καλῶς 13. πολλοὶ Plato: πολλοὶ μὲν 17. ἐκπλήττονται καὶ idem: ἐκπλήττονται 21. ἐπίπροσθεν idem: ἐπιπρόσθησις αὐτῶν idem: ἑαυτῶν 23. νῦν idem: νῦν μὲν

Digitized by Google

αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθανόντος ἑκάστου, ἔρημον ἁπάντων τῶν συγγενῶν, καὶ καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα δικαία ἡ κρίσις ᾖ. ἐγὼ οὖν ταῦτα ἐγνωκὼς πρότερος ἢ ὑμεῖς ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν, ἕνα δὲ
D ἐκ τῆς Εὐρώπης, Αἰακόν. οὗτοι οὖν ἐπειδὰν τελευτήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι, ἐν τῇ τριόδῳ ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ' εἰς τάρταρον. καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥαδάμανθυς κρινεῖ, τοὺς δ' ἐκ τῆς Εὐρώπης Αἰακός· Μίνῳ δὲ πρεσβεῖα δώσω ἐπιδιακρίνειν ἐὰν ἀπορῆτόν τι τὼ ἑτέρω, ἵνα ὡς δικαιοτάτη κρίσις ᾖ περὶ τῆς πορείας τοῖς ἀνθρώποις.' ταῦτ' ἔστιν, ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοὼς πιστεύω ἀληθῆ εἶναι· καὶ ἐκ τούτων τῶν
E λόγων τοιόνδε τι λογίζομαι συμβαίνειν, ὅτι ὁ θάνατος τυγχάνει ὢν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο ἢ δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος ἀπ' ἀλλήλοιν.'

37. Ταῦτά σοι συναγαγών, Ἀπολλώνιε φίλτατε, καὶ συνθεὶς μετὰ πολλῆς ἐπιμελείας ἀπειργασάμην τὸν παραμυθητικόν σοι λόγον, ἀναγκαιότατον ὄντα σοι πρός τε τὴν τῆς παρούσης λύπης ἀπαλλαγὴν καὶ τοῦ πάντων ἀνιαροτάτου πένθους παῦλαν. περιέχει δὲ καὶ τὴν πρὸς τὸν θεοφιλέστατον υἱόν σου Ἀπολλώνιον πρέπουσαν τιμήν, ποθεινοτάτην οὖσαν τοῖς ἀφιερωθεῖσι, τὴν διὰ τῆς ἀγαθῆς μνήμης καὶ τῆς ἀδιαλείπτου πρὸς τὸν ἀεὶ χρόνον εὐφημίας. καλῶς οὖν ποιήσεις

1, 368—369 H. 6, 461—462 R.

2. συγγενῶν καὶ Plato: συγγενῶν 4. πρότερος idem: πρότερον 12. ἀπορῆτόν τι τὼ ἑτέρω idem: ἀπόρρητόν τι ᾗ τῷ ἑτέρῳ 16. τοιόνδε idem: τοιόν (sic) 22. σοι ante λόγον deleam 25. πρὸς] εἰς?

Digitized by Google

καὶ τῷ λόγῳ πεισθεὶς καὶ τῷ μακαρίτῃ σου υἱῷ χαρι- F
σάμενος καὶ μεταβαλὼν ἐκ τῆς ἀνωφελοῦς περὶ τὸ
σῶμα καὶ τὴν ψυχὴν κακώσεως καὶ καταφθορᾶς ἐπὶ
τὴν συνήθη σοὶ καὶ κατὰ φύσιν διαγωγήν. ὡς γὰρ
οὐδὲ συμβιῶν ἡμῖν ἡδέως ἑώρα κατηφεῖς ὄντας οὔτε
σὲ οὔτε τὴν μητέρα, οὕτως οὐδὲ νῦν μετὰ θεῶν ὢν
καὶ τούτοις συνεστιώμενος εὐαρεστήσειεν ἂν τῇ τοι-
αύτῃ ὑμῶν διαγωγῇ. ἀνδρὸς οὖν ἀγαθοῦ καὶ γεν-
ναίου καὶ φιλοτέκνου φρόνημα ἀναλαβὼν σεαυτόν τε
καὶ τὴν μητέρα τοῦ νεανίσκου καὶ τοὺς συγγενεῖς καὶ
φίλους ἔκλυσαι τῆς τοιαύτης κακοδαιμονίας, εἰς γαλη- 122
νότερον μετελθὼν βίου σχῆμα καὶ προσφιλέστερον τῷ
τε υἱῷ σου καὶ πᾶσιν ἡμῖν τοῖς κηδομένοις σου κατὰ
τὸ προσῆκον.

1, 369–370 H. 6, 462—463 R.

4. διαγωγήν Reiskius: διαγωγὴν ἐλθεῖν 12. προσ-
φιλέστερον idem: προσφιλέστατον

B

ΤΤΙΕΙΝΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ.

1. ΜΟCΧΙΩΝ. Cὺ δὴ Γλαῦκον χθές, ὦ Ζεύξιππε, τὸν ἰατρὸν ἀπετρέψω cυμφιλοcοφεῖν ὑμῖν βουλόμενον.

ΖΕΥΞΙΠΠΟC. Οὔτ' ἀπετρεψάμην, ὦ φίλε Μοcχίων, οὔτ' ἐβούλετο cυμφιλοcοφεῖν ἐκεῖνος, ἀλλ'
C ἔφυγον καὶ ἐφοβήθην λαβὴν φιλομαχοῦντι παραcχεῖν. ἐν μὲν γὰρ ἰατρικῇ καθ' Ὅμηρον ὁ ἀνήρ

'πολλῶν ἀντάξιοις ἄλλων',

οὐκ εὐμενὴς δὲ πρὸc φιλοcοφίαν, ἀλλ' ἀεί τι τραχὺ καὶ δύcκολον ἔχων ἐν τοῖc λόγοιc. καὶ νῦν ἐναντίοc ἐφ' ἡμᾶc ἐχώρει, βοῶν ἔτι πρόcωθεν οὐ μικρὸν οὐδ' ἐπιεικὲc ἔργον ἡμῖν cύγχυcιν ὄρων τετολμῆcθαι, διαλεχθεῖcι περὶ διαίτηc ὑγιεινῆc. 'χωρὶc' γὰρ ἔφη τὰ φιλοcόφων καὶ ἰατρῶν ὥcπερ τινῶν 'Μυcῶν καὶ Φρυγῶν ὁρίcματα', καί τινα τῶν οὐ μετὰ cπουδῆc, οὐ μὴν ἀχρήcτωc εἰρημένων παρ' ἡμῶν διὰ cτόματοc
D ἔχων ἐcπάραττεν.

ΜΟCΧΙΩΝ. Ἀλλὰ καὶ τούτων ἔγωγε καὶ τῶν ἄλλων, ὦ Ζεύξιππε, πρόθυμοc ἀκροατὴc ἡδέωc ἂν γενοίμην.

1, 371 H. 6, 464—465 B.

2. ὑμῖν Meziriacus: ἡμῖν 6. Ὅμηρον] Λ 515
12. χωρὶc] Nauck. p. 725

Digitized by Google

ΖΕΥΞΙΠΠΟΣ. Φιλόσοφος γὰρ εἶ τὴν φύσιν, ὦ Μοσχίων, καὶ τῷ μὴ φιλιατροῦντι χαλεπαίνεις φιλοσόφῳ, καὶ ἀγανακτεῖς εἰ μᾶλλον αὐτὸν οἴεται προσήκειν γεωμετρίας καὶ διαλεκτικῆς καὶ μουσικῆς ὁρᾶσθαι μεταποιούμενον ἢ ζητεῖν καὶ μανθάνειν βουλόμενον

'ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται'

τῷ σώματι. καίτοι πλείους ἂν ἴδοις ἐκεῖ θεατάς, ὅπου θεωρικόν τι νέμεται τοῖς συνιοῦσιν, ὥσπερ Ἀθήνησι· E τῶν ἐλευθερίων δὲ τεχνῶν ἰατρικὴ τὸ μὲν γλαφυρὸν καὶ περιττὸν καὶ ἐπιτερπὲς οὐδεμιᾶς ἐνδεέστερον ἔχει, θεωρικὸν δὲ μέγα τοῖς φιλομαθοῦσι τὴν σωτηρίαν καὶ τὴν ὑγίειαν ἐπιδίδωσιν. ὥστ' οὐ παράβασιν ὅρων ἐπικαλεῖν δεῖ τοῖς περὶ ὑγιεινῶν διαλεγομένοις φιλοσόφοις, ἀλλ' εἰ μὴ παντάπασιν ἀνελόντες τοὺς ὅρους οἴονται δεῖν ὥσπερ ἐν μιᾷ χώρᾳ κοινῶς ἐμφιλοκαλεῖν, ἅμα τὸ ἡδὺ τῷ λόγῳ καὶ τὸ ἀναγκαῖον διώκοντες.

ΜΟΣΧΙΩΝ. Ἀλλὰ Γλαῦκον μὲν ἐῶμεν, ὦ Ζεύξιππε, ὑπὸ σεμνότητος αὐτοτελῆ βουλόμενον εἶναι F καὶ ἀπροσδεᾶ φιλοσοφίας, σὺ δὲ τοὺς λόγους ἡμῖν δίελθε πάντας· εἰ δὲ βούλει, πρώτους ἐκείνους ὧν ἔφης οὐ πάνυ μετὰ σπουδῆς εἰρημένων ἐπιλαμβάνεσθαι τὸν Γλαῦκον.

2. ΖΕΥΞΙΠΠΟΣ. Ἔφη τοίνυν ὁ ἑταῖρος ἡμῶν ἀκοῦσαί τινος λέγοντος ὡς τὸ τὰς χεῖρας ἀεὶ θερμὰς ἔχειν καὶ μὴ περιορᾶν ψυχομένας οὐ μικρὸν εἴη πρὸς 123 ὑγίειαν, καὶ τοὐναντίον ἡ τῶν ἄκρων περίψυξις εἰς τὰ μέσα συνελαύνουσα τὸ θερμὸν ὥσπερ τινὰ συνήθειαν ἢ μελέτην ἐμποιεῖ πυρετοῦ· τὸ δ' ἔξω στρέ-

1, 371—373 H. 6, 465—467 R.

6. Homer. δ 392 15. τοὺς ὅρους οἴονται δεῖν Reiskius: οἴονται δεῖν τοὺς ὅρους

Digitized by Google

φοντα μετὰ τῆς θερμότητος ἕλκειν ἐπὶ πάντα καὶ διανέμειν τὴν ὕλην ὑγιεινόν. ἂν μὲν οὖν ἐνεργοῦντές τι ταῖς χερσὶ καὶ χρώμενοι τυγχάνωμεν, αὐτὴν τὴν κίνησιν ἐπάγειν ἐνταῦθα καὶ συνέχειν τὸ θερμόν· ἔργων δὲ τοιούτων σχολὴν ἄγοντας ἥκιστα δεῖν προσδέχεσθαι τοῖς ἄκροις τὸ ψυχρόν.

3. Ἓν μὲν οὖν τοῦτο τῶν γελασθέντων ἦν· δεύτερον δ' οἶμαι τὸ περὶ τὰς τροφὰς ὡς προσφέρετε
B τοῖς κάμνουσιν. ἅπτεσθαι γὰρ αὐτῶν διὰ χρόνου παρήνει καὶ γεύεσθαι, συνεθίζοντας αὐτοὺς ἐν τῷ ὑγιαίνειν καὶ μὴ τρέμοντας ὥσπερ τὰ παιδάρια, μηδὲ μισοῦντας ἐκείνην τὴν δίαιταν, ἀλλὰ ποιουμένους ἀτρέμα χειροήθη ταῖς ὀρέξεσι καὶ σύντροφον, ὅπως ἐν τῷ νοσεῖν μὴ δυσχεραίνωμεν ὡς φάρμακα τὰ σιτία, μηδ' ἀσχάλλωμεν ἁπλοῦν τι καὶ ἄνοψον καὶ ἄκνισον λαμβάνοντες. ὅθεν οὐδ' ἁλούτους ποτὲ φευκτέον ἐλθεῖν ἐπὶ τροφήν, οὐδ' ὕδωρ πιεῖν οἴνου παρόντος, οὐδὲ θερμὸν ἐν θέρει, χιόνος παρακειμένης,
C τὰς μὲν ἐπιδεικτικὰς καὶ σοφιστικὰς χαίρειν ἐῶντας ἀποσχέσεις τῶν τοιούτων καὶ μεγαλαυχίας ἐπὶ ταῖς ἀποσχέσεσιν, αὐτοὺς δὲ καθ' ἑαυτοὺς σιωπῇ τήν τε ὄρεξιν ἅμα τοῦ συμφέροντος ὑπήκοον ἐθίζοντας εἶναι μετ' εὐκολίας, καὶ τῆς ψυχῆς ἀφαιροῦντας πόρρωθεν ἔτι τὴν περὶ ταῦτα μικρολογίαν ἐν ταῖς νόσοις καὶ τὸ ἐπιθρηνεῖν, ἀνοδυρομένης ὡς ἐξ ἡδονῶν μεγάλων καὶ ἀγαπητῶν εἰς ἀγεννῆ καὶ ταπεινὴν ἀπελήλαται δίαιταν. εὖ γὰρ εἰρημένον τὸ 'ἑλοῦ βίον τὸν ἄριστον, ἡδὺν δ' αὐτὸν ἡ συνήθεια ποιήσει' καὶ κατὰ μέρος ὡς ἕκαστα πειρωμένῳ χρήσιμόν ἐστι, μάλιστα δὲ τῶν περὶ τὸ σῶμα διαιτημάτων ἐν τοῖς ὑγιεινοτά-

373—374 H. 6, 467—469 R.

2. οὖν Meziriacus 29. ὡς] εἰς W

Digitized by Google

τοις ἐπάγοντα τὴν συνήθειαν εὐμενῆ καὶ γνώριμα τῇ φύσει καὶ οἰκεῖα παρασκευάζειν, μεμνημένον ἃ πάσχουσιν ἔνιοι καὶ ποιοῦσιν ἐν ταῖς ἀρρωστίαις, χαλεπαίνοντες καὶ δυσανασχετοῦντες ὕδατος θερμοῦ προσφερομένου καὶ ῥοφήματος ἢ ἄρτου, μιαρὰ μὲν ταῦτα καὶ ἀηδῆ μιαροὺς δὲ καὶ χαλεποὺς τοὺς ἀναγκάζοντας ἀποκαλοῦντες. πολλοὺς δὲ καὶ λουτρὸν ἀπώλεσεν, οὐδὲν ἐν ἀρχῇ μέγα κακὸν ἔχοντας ἀλλ' ἢ τὸ μὴ δύνασθαι μηδ' ὑπομένειν γεύσασθαι τροφῆς ἀλούτους. ὧν καὶ Τίτος ἦν ὁ αὐτοκράτωρ, ὥς φασιν οἱ νοσηλεύσαντες. D

4. Ἔτι τοίνυν ἐλέχθη τοιοῦτον, ὡς ἀεὶ μὲν ὑγιεινότερα σώματι τὰ εὐτελέστερα, μάλιστα δὲ φυλακτέον πλησμονὰς καὶ μέθας καὶ ἡδυπαθείας ἑορτήν τινα μέλουσαν ἢ φίλων ὑποδοχὴν ἐν χερσὶν ἔχοντας ἢ προσδοκῶντας ἑστίασιν βασιλικὴν καὶ ἡγεμονικὴν καὶ συμπεριφορὰν ἀπαραίτητον, οἷον ἐπιόντος ἀνέμου καὶ κύματος εὐσταλὲς τὸ σῶμα καὶ κοῦφον ἐν εὐδίᾳ παρασκευάζοντας. ἔργον γάρ ἐστιν ἐν συνουσίαις καὶ φιλοφροσύναις αὐτὸν ἐπὶ τῶν μετρίων καὶ τῶν συνήθων φυλάξαι μὴ πᾶσι μετὰ ἀηδίας δεινῆς ἐπαχθῆ φανέντα καὶ φορτικόν. ἵν' οὖν μὴ πῦρ ἐπὶ πῦρ, ὥς φασι, πλησμονή τις ἐπὶ πλησμονῇ καὶ ἄκρατος ἐπ' ἀκράτῳ γένηται, τὸ παιχθὲν ἀστείως ὑπὸ Φιλίππου μετὰ σπουδῆς μιμητέον· ἦν δὲ τοιοῦτον. ἄνθρωπος αὐτὸν ἐπὶ χώρας ὡς σὺν ὀλίγοις ὄντα δειπνῆσαι παρεκάλεσεν, εἶθ' ὁρῶν πολλοὺς ἄγοντα παρεσκευασμένων οὐ πολλῶν ἐταράττετο. συναισθόμενος οὖν ὁ Φίλιππος ὑπέπεμπε τῶν φίλων ἑκάστῳ κελεύων πλακοῦντι καταλιπεῖν χώραν, οἳ δὲ πειθόμενοι καὶ προσδοκῶντες ἐφείδοντο τῶν παρακειμένων. ἤρκεσεν οὖν E F 124

1, 374—375 H. 6, 469—471 E.

Digitized by Google

ἅπαci τὸ δεῖπνον. οὕτω δὴ προπαρασκευαστέον αὐτούς ἐστι τῶν ἀναγκαίων συμπεριφορῶν, καὶ ὄψῳ καὶ πέμματι καὶ νὴ Δία μέθῃ χώραν φυλάττοντας ἐν τῷ σώματι, καὶ πρόσφατον ἐπὶ ταῦτα καὶ βουλομένην τὴν ὄρεξιν ἄγοντας.

5. Ἂν δὲ τοιαῦταί τινες ἄφνω βαρεῖς ὄντας ἡμᾶς καὶ διακειμένους φαύλως ἀνάγκαι καταλάβωσιν ἡγεμόνων παρόντων ἢ ξένων ἐπιφανέντων ὑπ' αἰδοῦς βαδίζειν εἰς ταὐτὸ τοῖς ἱκανῶς ἔχουσι συμπίνειν, ἐν-
B ταῦθα μάλιστα δεῖ παρατετάχθαι πρὸς 'τὴν μέγα ci- 10
νομένην ἄνδρας αἰδῶ' καὶ δυσωπίαν, τὰ τοῦ τραγικοῦ Κρέοντος λέγοντας

'κρεῖccον δέ μοι νῦν πρός c' ἀπέχθεcθαι, ξένε,
ἢ μαλθακιcθένθ' ὕcτερον μέγα cτένειν'.

τὸ γὰρ ἀγροικίας φοβηθέντα δόξαν εἰς πλευρῖτιν ἢ 15
φρενῖτιν ἐμβάλλειν ἑαυτὸν ἀγροίκου τινὸς ὡς ἀληθῶς ἔστι καὶ νοῦν οὐκ ἔχοντος οὐδὲ λόγον ἄνευ κύλικος καὶ κνίσης ἀνθρώποις ἐπιστάμενον ὁμιλεῖν. ἥ τε γὰρ παραίτησις ἂν τὸ ἐπιδέξιον καὶ τὸ ἀστεῖον ἔχῃ, οὐχ ἧττον ἔcται κεχαρισμένη τῆς συμπεριφορᾶς· ἄν τέ τις 20
C παρέχων ἑστίασιν ὥσπερ ἀγεύστου θυσίας αὐτὸς ἀπέχηται, παρά τε τῇ κύλικι καὶ τῇ τραπέζῃ μετὰ προθυμίας καὶ φιλοφροσύνης ἅμα τι παίζων καὶ λέγων εἰς ἑαυτόν, ἡδίων φανεῖται τοῦ συμμεθυσκομένου καὶ συνοψοφαγοῦντος. ἐμνήσθη δὲ τῶν μὲν παλαιῶν 25
Ἀλεξάνδρου μετὰ πότον πολὺν αἰσχυνθέντος ἀντει-

1, 375—376 H. 6, 471—472 B.

4. ταῦτα καὶ Reiskius: ταῦτα 9. ἔχουσι idem: ἔχουσι καὶ 10. τὴν] Homer. Ω 45. Hesiod. O. et D. 318 13. Eurip. Med. 290 21. ἀγεύστου θυσίας*: θυσίαν ἄγευστον 22. παρά τε] παρῇ δὲ W

Digitized by Google

πεῖν Μηδίῳ παρακαλοῦντι καὶ καταβάλλοντι αὖθις ἐξ ἀρχῆς αὐτὸν εἰς ἄκρατον ἀφ' οὗ διεφθάρη, τῶν δὲ καθ' ἡμᾶς Ῥήγλου τοῦ παγκρατιαστοῦ. καλοῦντος γὰρ ἐπὶ τὸ λουτρὸν ἅμα ἡμέρᾳ Τίτου Καίσαρος ἦκε καὶ D
5 συνελούσατο, καὶ πιὼν ἅπαξ, ὥς φασιν, ἀποπληξίας καταλαβούσης εὐθὺς ἀπέθανε. ταῦθ' ἡμῖν ὁ Γλαῦκος ἐν γέλωτι προύφερεν ὡς παιδαγωγικά· τῶν δ' ἄλλων οὐ πάνυ πρόθυμος ἦν ἀκούειν, οὐδ' ἡμεῖς ἐκείνῳ διηγεῖσθαι. σὺ δ' ἐπισκόπει τῶν λεχθέντων ἕκαστον.
10 6. Πρῶτον μὲν ὁ Σωκράτης παρακελευόμενος φυλάττεσθαι τῶν βρωμάτων ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πωμάτων ὅσα πίνειν μὴ διψῶντας, οὐχ ἁπλῶς τὸ χρῆσθαι τούτοις ἀπηγόρευεν, ἀλλὰ χρῆσθαι δεομένους ἐδίδασκε καὶ τὸ ἡδὺ κατατάττοντας E
15 αὐτῶν εἰς τὸ ἀναγκαῖον, ὥσπερ οἱ τὰ θεωρικὰ ποιοῦντες ἐν ταῖς πόλεσι στρατιωτικά. τὸ γὰρ ἡδὺ τῇ φύσει μέχρι ἂν ᾖ μέρος τοῦ τρέφοντος οἰκεῖόν ἐστι, καὶ δεῖ πεινῶντας ἔτι τῶν ἀναγκαίων ἀπολαύειν τῶν ἡδέων, ἰδίᾳ δὲ μὴ κινεῖν ἑτέρας ὀρέξεις τῶν κοινῶν ἀπηλ-
20 λαγμένους. ὥσπερ γὰρ τῷ Σωκράτει γυμνάσιον ἦν οὐκ ἀηδὲς ἡ ὄρχησις, οὕτως ᾧτινι τὸ πέμμα καὶ τὸ τράγημα δεῖπνόν ἐστι καὶ σιτίον, ἧττον βλάπτεται· τὸ δ' ἀπέχοντα τῇ φύσει τὸ μέτριον καὶ πεπληρωμένον ἐπιδράττεσθαι τῶν τοιούτων φυλακτέον
25 ἐν τοῖς μάλιστα. φυλακτέον δὲ τῆς περὶ ταῦτα φιλη- F
δονίας καὶ γαστριμαργίας οὐδὲν ἧττον ἀπειροκαλίαν καὶ φιλοτιμίαν· καὶ γὰρ αὗται πολλάκις συναναπείθουσι μὴ πεινῶντας ἐσθίειν ἔνια καὶ πίνειν μὴ δι-

1, 376—377 H. 6, 472—474 R.

10. πρῶτον W: πρῶτος ἀπολαύειν ἢ 20. τῷ*: αὐτῷ Conv. II 17 18. ἀπολαύειν Reiskius: Σωκράτει] Xenoph.

Digitized by Google

ψῶντας, ἀνελευθέρους κομιδῇ καὶ φορτικὰς ὑποβάλλουσαι φαντασίας, ὡς ἄτοπόν ἐστι πράγματος σπανίου καὶ πολυτελοῦς μὴ ἀπολαῦσαι παρόντος, οἷον οὔθατος ἢ μυκήτων Ἰταλικῶν ἢ Σαμίου πλακοῦντος ἢ χιόνος ἐν Αἰγύπτῳ. ταῦτα γὰρ δήπου προάγεται πολλάκις χρῆσθαι τοῖς περιβοήτοις καὶ σπανίοις, ὥσπερ ὑπὸ κνίσης τῆς κενῆς δόξης ἀγομένους καὶ τὸ σῶμα κοινωνεῖν μηδὲν δεόμενον ἀναγκάζοντας, ὅπως ἔχωσιν ἑτέροις διηγεῖσθαι, ζηλούμενοι τῆς ἀπολαύσεως τῶν οὕτω δυσπορίστων καὶ περιττῶν. ὅμοια δὲ καὶ πρὸς γυναῖκας ἐνδόξους πάσχουσιν. ἰδίαις μὲν γὰρ ἔστιν ὅτε καὶ καλαῖς καὶ ἀγαπώσαις συναναπαυόμενοι τὴν ἡσυχίαν ἄγουσι, Φρύνῃ τε τελέσαντες ἀργύριον ἢ Λαΐδι καὶ τὸ σῶμα φαύλως καὶ πρὸς συνουσίαν ἀργῶς ἔχοντες διακείμενον ἐγείρουσιν ἅμα καὶ παρακαλοῦσι τὸ ἀκόλαστον ἐπὶ τὴν ἡδονὴν ὑπὸ τῆς κενῆς δόξης. αὐτὴ γοῦν ἔλεγεν ἡ Φρύνη πρεσβυτέρα γεγενημένη τὴν τρύγα πλείονος πωλεῖν διὰ τὴν δόξαν.

7. Ἔστι δὲ μέγα καὶ θαυμαστόν, ἂν ὅσον ἡ φύσις δεομένη δέχεται τῶν ἡδονῶν προσιέμενοι τῷ σώματι, μᾶλλον δ' ἂν τὰ πολλὰ παρὰ τὰς πράξεις αὐτῷ διαμαχόμενοι καὶ ἀναβαλλόμενοι καὶ μόλις πάνυ ταῖς ἀναγκαίαις χρηματίζοντες ἢ ὡς φησιν ὁ Πλάτων καὶ δάκνοντος καὶ κατατείνοντος ἐνδιδόντες ἀβλαβεῖς ἀπαλλάττωμεν. τὰς δ' ἀνάπαλιν ἐκ τῆς ψυχῆς ἐπὶ τὸ σῶμα κατιούσας ἐπιθυμίας καὶ καταβιαζομένας τοῖς ἐκείνης ὑπηρετεῖν καὶ συνεξανίστασθαι πάθεσιν οὐδεμία μηχανὴ τὸ μὴ σφοδροτάτας βλάβας καὶ μεγίστας ἐφ' ἡδοναῖς ἀσθενέσι καὶ ἀμαυραῖς ἐναπολιπεῖν. ἥκι-

1, 377—379 H. 6, 474—476 R.

21. παρὰ τὰς πράξεις] πρὸς τὰς ὀρέξεις Reiskius
23. ὡς φησιν ὁ Πλάτων] Suspecta Wyttenbachio

Digitized by Google

στα δὲ ψυχῆς ἐπιθυμίᾳ σῶμα πρὸς ἡδονὰς κινητέον· ἡ γὰρ ἀρχὴ παρὰ φύσιν γίγνεται. καὶ καθάπερ αἱ τῶν μασχαλῶν ψηλαφήσεις οὐκ ἴδιον οὐδὲ πρᾶον οὐδ' ἵλεων γέλωτα τῇ ψυχῇ παρέχουσιν ἀλλ' ἐοικότα σπασμῷ καὶ χαλεπόν, οὕτω πάλιν ὅσας τὸ σῶμα νυττόμενον ὑπὸ τῆς ψυχῆς ἡδονὰς ἴσχει καὶ ταραττόμενον, ἐκστατικαὶ καὶ ταρακτικαὶ αὗται καὶ ἀλλότριαι τῆς φύσεώς εἰσιν. ὅταν οὖν τι τῶν σπανίων ἀπολαυσμάτων ἢ ἐνδόξων παραγένηται, ταῖς ἀποχέσεσι D μᾶλλον φιλοτιμητέον ἢ ταῖς ἀπολαύσεσι, μεμνημένους ὅτι καθάπερ ὁ Σιμωνίδης ἔλεγε μηδέποτε αὐτῷ μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ πολλάκις, οὕτως ἡμῖν οὔτε ὄψον παρωσαμένοις μετεμέλησεν οὔτε ὕδωρ ἀντὶ Φαλερίνου πιοῦσιν. ἀλλὰ τοὐναντίον οὐ μόνον οὐ προσβιαστέον ἐστὶ τὴν φύσιν, ἀλλὰ κἂν δεομένῃ προσφέρηταί τι τῶν τοιούτων, ἐπὶ τὰ λιτὰ καὶ συνήθη πολλάκις ἀποτρεπτέον ἔθους ἕνεκα καὶ μελέτης τὴν ὄρεξιν.

'εἴπερ γὰρ ἀδικεῖν χρή'
φησὶν ὁ Θηβαῖος οὐκ ὀρθῶς λέγων, E
'τυραννίδος πέρι
κάλλιστον ἀδικεῖν'·

ἡμεῖς δὲ βέλτιον ὡς, εἴπερ φιλοδοξεῖν πρὸς τὰ τοιαῦτα, ἐγκρατείᾳ κάλλιστον ὑπὲρ ὑγιείας. οὐ μὴν ἀλλὰ καὶ μικρολογία καὶ γλισχρότης ἐνίους ἀναγκάζει πιέζοντας οἴκοι τὰς ἐπιθυμίας καὶ κατισχναίνοντας ἐμπίπλασθαι παρ' ἑτέροις τῶν πολυτελῶν καὶ ἀπολαύειν, καθάπερ ἐκ πολεμίας ἀφειδῶς ἐπικιτιζομένους· εἶτα κακῶς διατεθέντες ἀπίασιν, εἰς τὴν ὑστεραίαν ἐφόδιον τῆς ἀπληστίας τὴν ἀπεψίαν ἔχοντες.

1, 379—380 H. 6, 476—478 R.

19. Eurip. Phoen. 527 24. ἐγκρατείᾳ W: ἐγκράτεια

Digitized by Google

F ὁ μὲν οὖν Κράτης διὰ τρυφὴν καὶ πολυτέλειαν οἰόμενος οὐχ ἥκιστα τὰς στάσεις καὶ τὰς τυραννίδας ἐμφύεσθαι ταῖς πόλεσι, μετὰ παιδιᾶς παρῄνει

'μὴ πρὸ φακῆς λοπάδ' αὔξων
εἰς στάσιν ἄμμε βάλῃς'·

αὐτὸς δέ τις ἑαυτῷ παρακελευέσθω μὴ πρὸ φακῆς λοπάδ' αὔξων μηδὲ πάντως ὑπερβαίνων τὴν καρδαμίδα καὶ τὴν ἐλάαν ἐπὶ τὸ θρῖον καὶ τὸν ἰχθὺν εἰς στάσιν ἐκ πλησμονῆς τὸ σῶμα καὶ ταραχὰς ἐμβάλλειν
26 καὶ διαρροίας. τὰ γὰρ εὐτελῆ κρατεῖ τὴν ὄρεξιν ἐπὶ τῶν φυσικῶν μέτρων, ὀψοποιῶν δὲ τέχναι καὶ δημιουργῶν καί

'τὰ πανοῦργα ταῦτ' ὀψάρια χύποτρίμματα'

κατὰ τὸν κωμικὸν ἀεὶ τοὺς ὅρους τῆς ἡδονῆς μετατίθηκιν εἰς τοὔμπροσθεν καὶ παραλλάττει τὸ συμφέρον, οὐκ οἶδ' ὅντινα τρόπον ἡμῶν τὰς γυναῖκας ὅσαι φίλτρα μηχανῶνται καὶ γοητείας ἐπὶ τοὺς ἄνδρας βδελυττομένων καὶ δυσχεραινόντων, μισθωτοῖς δὲ καὶ δούλοις προϊεμένων τὰ σιτία καὶ τὰ ὄψα μονονοὺ μαγγανεύειν καὶ φαρμάττειν. εἰ τοίνυν καὶ πικρότερον φανεῖται τὸ τοῦ Ἀρκεσιλάου πρὸς τοὺς μοιχικοὺς καὶ ἀκολάστους εἰρημένον, 'μηδὲν διαφέρειν ὄπισθέν τινα ἢ ἔμπροσθεν εἶναι κίναιδον', οὐκ
B ἀνάρμοστόν ἐστι τοῖς ὑποκειμένοις. τί γὰρ ὡς ἀληθῶς διαφέρει κατύρια προσάγοντα κινεῖν καὶ παροξύνειν τὸ ἀκόλαστον ἐπὶ τὰς ἡδονάς, ἢ τὴν γεῦσιν ὀσμαῖς καὶ καρυκείαις ἐρεθίζειν καὶ ὥσπερ τὰ ψωριῶντα κνησμῶν ἀεὶ δεῖσθαι καὶ γαργαλισμῶν;

1, 380–381 H. 6, 478—479 B.

4. Bergk. p. 670[3] 5. εἰς Athenaeus IV. p. 158 B: ἀεὶ 7. λοπάδ' αὔξων*: λοπάδα αὔξων αἰεὶ 14. κωμικὸν] Meinek. IV. p. 670 16. οὐκ οἶδ' W: οὐκ οἶδα δὲ

Digitized by Google

8. Ἄλλοτε μὲν οὖν πρὸς τὰς ἡδονὰς λεκτέον ἴσως, τὸ καλὸν καὶ σεμνὸν ἐφ' ἑαυτοῦ τῆς ἐγκρατείας οἷόν ἐστι δεικνύοντας· ὁ δὲ νῦν λόγος ὑπὲρ πολλῶν ἡδονῶν καὶ μεγάλων ἐστίν. οὔτε γὰρ πράξεις οὔτε ἐλπίδας οὔτε ἀποδημίας οὔτε διαγωγὰς αἱ νόσοι τοσαύτας ὅσας ἡδονὰς ἡμῶν ἀφαιροῦνται καὶ διαφθείρουσιν. ὅθεν ἥκιστα λυσιτελεῖ καταφρονεῖν τῆς ὑγιείας τοῖς μάλιστα τὴν ἡδονὴν διώκουσι. καὶ γὰρ φιλοσοφεῖν ἀρρωστίαι πολλοῖς παρέχουσι καὶ στρατηγεῖν νὴ Δία καὶ βασιλεύειν, ἡδοναὶ δὲ σωματικαὶ καὶ ἀπολαύσεις ἔνιαι μὲν οὐδ' ὅλως γένεσιν ἐν νόσῳ λαμβάνουσιν, αἱ δὲ λαμβάνουσαι βραχὺ τὸ οἰκεῖον καὶ οὐ καθαρὸν ἀλλὰ συμπεφυρμένον πολλῷ τῷ ἀλλοτρίῳ καὶ μεμωλωπισμένον ὥσπερ ἐκ ζάλης καὶ χειμῶνος ἀναφέρουσιν. οὐ γὰρ 'ἐν πλησμοναῖς Κύπρις', ἀλλὰ μᾶλλον ἐν εὐδίᾳ σαρκὸς καὶ γαλήνῃ. καὶ Κύπρις εἰς ἡδονὴν τελευτᾷ καὶ βρῶσις καὶ πόσις· ἡ δ' ὑγίεια ταῖς ἡδοναῖς ὥσπερ ἡ γαλήνη ταῖς ἀλκυόσιν ἀσφαλῆ καὶ καλὴν γένεσιν καὶ λοχείαν ἐνδίδωσι. κομψῶς γὰρ ἔοικεν ὁ Πρόδικος εἰπεῖν ὅτι τῶν ἡδυσμάτων ἄριστόν ἐστι τὸ πῦρ· ἀληθέστερον γὰρ ἄν τις εἴποι τὴν ὑγίειαν ἥδυσμα θειότατον εἶναι καὶ προσηνέστατον. ἐφθὰ μὲν γὰρ καὶ ὀπτὰ καὶ πεπτὰ βρώματα νοσοῦσιν ἢ κραιπαλῶσιν ἢ ναυτιῶσιν οὐδεμίαν ἡδονὴν οὐδὲ χάριν ἀποδίδωσι, καθαρὰ δὲ καὶ ἀκραιφνὴς ὄρεξις ὑγιαίνοντι σώματι πᾶν ἡδὺ ποιεῖ καὶ 'ἁρπαλέον', ὡς Ὅμηρος ἔφη, καὶ πρόσφορον.

9. Ἐπεὶ δ' ὥσπερ ὁ Δημάδης πολεμικοὺς ἀκαίρως τοὺς Ἀθηναίους ὄντας ἔλεγε μηδέποτε χειροτονεῖν

1, 381—382 H. 6, 479—481 B.

15. ἐν πλησμοναῖς] Nauck. p. 506 θ 164 27. Ὅμηρος]

Digitized by Google

εἰρήνην ἄνευ μελάνων ἱματίων, οὕτω καὶ ἡμεῖς οὐδέποτε μεμνήμεθα λιτῆς διαίτης καὶ σώφρονος ἄνευ καύσεων καὶ καταπλασμάτων· ἔν τε τούτοις γιγνόμενοι πιέζομεν σφόδρα τὰς ἁμαρτίας, ἀντερειδόμενοι τῇ μνήμῃ καὶ καθάπερ οἱ πολλοὶ νῦν μὲν ἀέρας νῦν δὲ χώρας ἐπιμεμφόμενοι νοσώδεις, ἐξαιρούμενοι τῆς αἰτίας τὴν ἀκρασίαν καὶ φιληδονίαν. ἀλλ' ὥσπερ ὁ Λυσίμαχος ἐν Γέταις συσχεθεὶς δίψῃ καὶ παραδοὺς ἑαυτὸν μετὰ τοῦ στρατεύματος αἰχμάλωτον εἶτα πιὼν
F ὕδωρ ψυχρόν 'ὦ θεοί' εἶπεν, 'ὡς βραχείας ἡδονῆς ἕνεκα μεγάλην εὐδαιμονίαν ἀπεβαλόμην', οὕτως ἀνοιστέον ἐν ταῖς ἀρρωστίαις πρὸς αὐτοὺς ὡς διὰ ψυχροποσίαν ἢ λουτρὸν ἄκαιρον ἢ συμπεριφορὰν πολλὰς μὲν αὐτῶν διεφθείραμεν ἡδονάς, καλὰς δὲ πράξεις ἐπιτερπεῖς τε διαγωγὰς ἀπωλέσαμεν. ὁ γὰρ ἐκ τῶν τοιούτων ἀναλογισμῶν δηγμὸς αἱμάσσει τὴν μνήμην, ὥστε οἷον οὐλὴν παραμένουσαν ἐν τῷ ὑγιαίνειν εὐ-
127 λαβεστέρους ποιεῖν περὶ τὴν δίαιταν. οὐδὲ γὰρ ἂν τὸ ὑγιαῖνον σῶμα φύσεις μεγάλας ἐπιθυμίας οὐδὲ δυσπειθεῖς οὐδ' ἀσυνήθεις οὐδὲ δυσεκβιάστους, ἀλλὰ δεῖ θαρρεῖν πρὸς τὰς ὀρέξεις ἐκφερομένας καὶ ἐπιπηδώσας ταῖς ἀπολαύσεσιν, ὡς ἐλαφρὸν καὶ παιδικὸν ἐχούσας τὸ μεμψιμοιροῦν καὶ κλαυθμυριζόμενον, εἶτα παυομένας ἀρθείσης τῆς τραπέζης καὶ μηδὲν ἐγκαλούσας μηδ' ἀδικουμένας, ἀλλὰ τοὐναντίον καθαρὰς καὶ ἱλαρὰς καὶ οὐ βαρείας οὐδὲ ναυτιώδεις περιμενούσας

1, 382—383 H. 6, 481—482 R.

4. ἀντερειδόμενοι*: ἐναπερειδόμενοι 6. νοσώδεις*: νοσώδεις ἀποδημίας (ἐπιδημίας Xylander) τέ τινας λέγουσι 9. τοῦ* 14. διεφθείραμεν Reiskius: διαφθείρομεν δὲ W: τε 18. ἂν*: ἄγαν 19. φύσεις*: φύσει

Digitized by Google

τὴν αὔριον. ὥσπερ ἀμέλει καὶ Τιμόθεόν φασιν εἰπεῖν B
τῇ προτεραίᾳ δεδειπνηκότα ἐν ἀκαδημείᾳ παρὰ Πλάτωνι μουσικὸν καὶ λιτὸν δεῖπνον, ὡς οἱ παρὰ Πλάτωνι δειπνήσαντες καὶ εἰς αὔριον ἡδέως γίγνονται. λέγεται δὲ καὶ Ἀλέξανδρος εἰπεῖν τοὺς τῆς Ἄδας ὀψοποιοὺς ἀποπεμψάμενος ὡς ἔχει βελτίονας ἀεὶ σὺν αὐτῷ, πρὸς μὲν τὸ ἄριστον τὴν νυκτοπορίαν, πρὸς δὲ τὸ δεῖπνον τὴν ὀλιγαριστίαν.

10. Οὐκ ἀγνοῶ δ' ὅτι καὶ διὰ κόπους πυρέττουσιν ἄνθρωποι καὶ δι' ἐγκαύσεις καὶ διὰ περιψύξεις. ἀλλ' ὥσπερ αἱ τῶν ἀνθέων ὀσμαὶ καθ' ἑαυτὰς ἀσθενεῖς εἰσι, μιχθεῖσαι δὲ τῷ ἐλαίῳ ῥώμην ἴσχουσι καὶ τόνον, οὕτω ταῖς ἔξωθεν αἰτίαις καὶ ἀρχαῖς οἷον οὐσίαν καὶ σῶμα παρέχει τὸ πλῆθος ὑποκείμενον. ἄνευ C δὲ τούτου χαλεπὸν οὐδέν, ἀλλ' ἐξαμαυροῦνται καὶ διαχέονται ῥᾳδίως, αἵματος λεπτοῦ καὶ πνεύματος καθαροῦ δεχομένου τὴν κίνησιν· ἐν δὲ πλήθει καὶ περιττώματι οἷον ἰλὺς ἀναταραττομένη μιαρὰ ποιεῖ πάντα καὶ δυσχερῆ καὶ δυσαπάλλακτα. διὸ δεῖ μὴ καθάπερ οἱ ἀγαθοὶ ναύκληροι πολλὰ δι' ἀπληστίαν ἐμβαλόμενοι, τοὐντεῦθεν ἤδη διατελοῦσιν ἀντλοῦντες καὶ ὑπεξαιροῦντες τὴν θάλατταν, οὕτως ἐμπλήσαντας τὸ σῶμα καὶ βαρύναντας ὑποκαθαίρειν αὖθις καὶ ὑποκλύζειν, ἀλλὰ διατηρεῖν εὐσταλές, ὅπως, κἂν πιεσθῇ D ποτέ, φελλοῦ δίκην ὑπὸ κουφότητος ἀναφέρηται.

11. Μάλιστα δὲ προφυλακτέον ἐν ταῖς προπαθείαις καὶ προαισθήσεσιν. οὐ γὰρ ἅπασαι κατὰ τὸν

1, 383—384 H. 6, 482—484 R.

1. φασιν* 6. βελτίονας Stobaeus Flor. CI 8: βελτίονας ἄγειν 15. τούτου Reiskius: τούτων 20. ἀγαθοὶ] κακοὶ Emperius 22. ὑπεξαιροῦντες W: ὑπεξαίροντες

Digitized by Google

Ἡσίοδον ἐπιφοιτῶσιν αἱ νόσοι
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς,
ἀλλ' αἱ πλεῖσται καθάπερ προαγγέλους καὶ προδρόμους καὶ κήρυκας ἔχουσιν ἀπεψίας καὶ δυσκινησίας. βαρύτητες καὶ κόποι φησὶν Ἱπποκράτης αὐτόματοι νοῦσον φράζουσι, διὰ πλῆθος ὡς ἔοικεν ἐντὸς διάτασιν καὶ σφήνωσιν τοῦ περὶ τὰ νεῦρα πνεύματος
E ἔχοντος. ἀλλ' ὅμως αὐτοῦ μονονουχὶ τοῦ σώματος ἀντιτείνοντος καὶ κατασπῶντος ἐπὶ τὸ κλινίδιον καὶ τὴν ἡσυχίαν οἱ μὲν ὑπὸ λαιμαργίας καὶ φιληδονίας ἐμβάλλουσιν ἑαυτοὺς ἐπὶ τὰ βαλανεῖα καὶ σπεύδουσιν ἐπὶ τὰς προπόσεις, ὥσπερ εἰς πολιορκίαν ἐπισιτιζόμενοι καὶ δεδιότες μὴ φθάσῃ καταλαβὼν αὐτοὺς ὁ πυρετὸς ἀναρίστους, οἱ δὲ κομψότεροι ταύτῃ μὲν οὐχ ἁλίσκονται, πάνυ δ' ἀβελτέρως αἰσχυνόμενοι κραιπάλην ἢ ἀπεψίαν ὁμολογεῖν καὶ διημερεύειν ἐν ἱματίοις, ἑτέρων εἰς τὸ γυμνάσιον βαδιζόντων καὶ παρακαλούντων ἀναστάντες συναποδύονται καὶ ταὐτὰ
F πράττουσι τοῖς ὑγιαίνουσι. τοὺς δὲ πλείονας ἀκρασίας καὶ μαλακίας συνήγορον ἔχουσα τὴν παροιμίαν ἐλπὶς ἀναπείθει καὶ προάγεται βαδίζειν ἰταμῶς ἐπὶ τὴν συνήθειαν, ὡς οἴνῳ δὴ τὸν οἶνον κραιπάλῃ δὲ τὴν κραιπάλην ἐξελῶντας καὶ διαφορήσοντας. πρὸς μὲν οὖν ταύτην τὴν ἐλπίδα τὴν τοῦ Κάτωνος εὐλάβειαν ἀντιτακτέον ἣν φησιν ἐκεῖνος ὁ ἀνὴρ 'τὰ μὲν μεγάλα μικρὰ ποιεῖν τὰ δὲ μικρὰ παντελῶς ἀναιρεῖν',
128 καὶ ὅτι κρεῖττον ἔνδειαν ὑπομεῖναι διὰ κενῆς καὶ ἡσυ-

1, 384—385 H. 6, 434—436 R.

1. Ἡσίοδον] O. et D. 104 5. Ἱπποκράτης] Aphor. II 5 19. ἀκρασίας καὶ μαλακίας*: ἀκρασία καὶ μαλακία 20. τὴν Reiskius 23. ἐξελῶντας καὶ διαφορήσοντας W: ἐξελόντας καὶ διαφορήσαντες

Digitized by Google

χίαν ἢ διακυβεῦσαι πρὸς λουτρὸν ὡσαμένους καὶ δεῖπνον. εἰ μὲν γάρ ἐστί τι, βλάψει τὸ μὴ φυλάξασθαι μηδ' ἐπισχεῖν· εἰ δὲ μηδέν, οὐ βλάψει τὸ συσταλῆναι τῷ σώματι καὶ γενέσθαι καθαρώτερον. ὁ δὲ παιδαριώδης ἐκεῖνος καὶ τοῖς φίλοις δεδιὼς καὶ τοῖς οἰκέταις φανερὸς γενέσθαι διακείμενος ἐκ πλησμονῆς ἢ κραιπάλης ἀηδῶς, αἰσχυνόμενος ἀπεψίαν ὁμολογῆσαι τήμερον, αὔριον ὁμολογήσει κατάρροιαν ἢ πυρετὸν ἢ στρόφον.

'αἰσχυνόμενος αἴσχιστα πενίαν ἂν φέροις',

πολὺ δ' αἴσχιον ἀπεψίαν καὶ βαρύτητα καὶ πλησμονὴν B
σώματος εἰς βαλανεῖον ἑλκομένου καθάπερ εἰς θάλασσαν καθροῦ πλοίου καὶ μὴ στέγοντος. ὥσπερ γὰρ ἀμέλει πλέοντες ἔνιοι χειμῶνος ὄντος αἰδοῦνται ἐπ' ἀκτῆς διατρίβειν, εἶτ' ἀναχθέντες αἴσχιστα διάκεινται βοῶντες καὶ ναυτιῶντες, οὕτως ἐν ὑποψίᾳ καὶ προπαθείᾳ σώματος ἀγεννὲς ἡγούμενοι μίαν ἡμέραν ἐν κλίνῃ διάγειν καὶ μὴ παραθέσθαι τράπεζαν, αἴσχιστα πολλὰς ἡμέρας κεῖνται καθαιρόμενοι καὶ καταπλασσόμενοι καὶ θωπεύοντες ἰατροὺς καὶ θεραπεύοντες, οἶνον αἰτοῦντες ἢ ψυχρὸν ὕδωρ, ἄτοπα καὶ ἀγεννῆ πολλὰ ποιεῖν καὶ φθέγγεσθαι διὰ τὸν πόνον καὶ τὸν φόβον C
ὑπομένοντες. καὶ μὴν τούς γε διὰ τὰς ἡδονὰς μὴ κρατοῦντας ἑαυτῶν ἀλλ' ἐγκλίνοντας ἢ φερομένους ὑπὸ τῶν ἐπιθυμιῶν καλῶς ἔχει διδάσκειν καὶ ἀναμιμνήσκειν ὅτι πλεῖστον ἐκ τοῦ σώματος αἱ ἡδοναὶ λαμβάνουσι, (12) καὶ καθάπερ οἱ Λάκωνες ὄξος καὶ ἅλας δόντες τῷ μαγείρῳ τὰ λοιπὰ κελεύουσιν ἐν τῷ ἱερείῳ ζητεῖν, οὕτως ἐν τῷ σώματι τοῦ προσφερομένου τὰ κάλλιστα τῶν ἡδυσμάτων ἐστίν, ἄνπερ ὑγιαίνοντι καὶ

1, 385—386 H. 6, 486—487 R.

• 10. Meinek. IV. p. 291 ἂν Porsonus

Digitized by Google

καθαρῷ προσφέρηται. γλυκὺ μὲν γὰρ ἡ πολυτελὲς ἔξω καὶ καθ' αὑτὸ τὸ τοιοῦτόν ἐστιν, ἡδὺ δὲ πέφυκεν ἐν τῷ ἡδομένῳ καὶ μετὰ τοῦ ἡδομένου γίγνεσθαι κατὰ
D φύσιν ἔχοντος· ἐν δὲ δυσαρέστοις καὶ κραιπαλῶσι καὶ φαύλως διακειμένοις πάντα τὴν αὑτῶν χάριν καὶ ὥραν ἀπόλλυσι. διὸ δεῖ μὴ σκοπεῖν τὸν ἰχθὺν εἰ πρόσφατος, μηδὲ τὸν ἄρτον εἰ καθαρός, μηδὲ τὸ βαλανεῖον εἰ θερμόν, μηδὲ τὴν ἑταίραν εἰ εὔμορφος, ἀλλ' ἑαυτὸν εἰ μὴ ναυτιώδης μηδὲ θολερὸς μηδ' ἔωλος μηδὲ τεταραγμένος. εἰ δὲ μή, καθάπερ εἰς οἰκίαν
10 πενθοῦσαν ἐμβαλόντες ἐπίκωμοι μεθύοντες οὐ φιλοφροσύνην παρέσχον οὐδ' ἡδονὴν ἀλλὰ κλαυθμοὺς καὶ ὀδυρμοὺς ἐποίησαν, οὕτω καὶ ἀφροδίσια καὶ ὄψα καὶ
E βαλανεῖα καὶ οἶνος ἐν σώματι κακῶς καὶ παρὰ φύσιν ἔχοντι μιγνύμενα τοῖς μὴ καθεστῶσι καὶ διεφθορόσι
15 φλέγμα καὶ χολὴν κινεῖ καὶ ταράττει καὶ παρεξίστησιν, ἡδὺ δ' οὐδὲν ἀξιολόγως οὐδ' ἀπολαυστικὸν οὐδὲν οἷον προσεδοκήσαμεν ἀποδίδωσιν.

13. Ἡ μὲν οὖν ἀκριβὴς σφόδρα καὶ δι' ὄνυχος λεγομένη δίαιτα τό τε σῶμα κομιδῇ ψοφοδεὲς παρέ-
20 χεται καὶ σφαλερόν, αὐτῆς τε τῆς ψυχῆς τὸ γαῦρον κολούει πάντα πράγματα καὶ πᾶσαν οὐχ ἧττον ἐν ἡδοναῖς ἢ πόνοις διατριβὴν ὑφορωμένης καὶ πρὸς μηδὲν ἰταμῶς καὶ θαρραλέως βαδιζούσης. δεῖ δ' ὥσ-
F περ ἱστίον τὸ σῶμα μήτε συστέλλειν εὐδίας οὔσης καὶ
25 πιέζειν σφόδρα, μήτ' ἀνειμένως χρῆσθαί τε καὶ καταφρονεῖν ἐν ὑποψίᾳ γενόμενον, ἀλλ' ἐνδιδόναι καὶ

1, 386—388 H. 6, 487—489 R.

2. τὸ τοιοῦτον*: τῶν τοιούτων 10. ἑαυτὸν Stobaeus Floril. CI 11: αὐτὸν 13. καὶ ὀδυρμοὺς idem 17. παρεξίστησιν*: προσεξίστησιν 21. τε Stobaeus: δὲ 24. ἢ Madvigius: καὶ διατριβὴν Stobaeus: διατριβὴν καὶ πρᾶξιν 28. γενόμενον idem: γινόμενον

Digitized by Google

ποιεῖν ἐλαφρὸν ὥσπερ εἴρηται, καὶ μὴ περιμένειν
ἀπεψίας καὶ διαρροίας μηδὲ θερμασίας μηδὲ νάρκας,
ὑφ' ὧν ἔνιοι μόλις ὥσπερ ὑπ' ἀγγέλων ἢ κλητόρων,
πυρετοῦ περὶ θύρας ὄντος ἤδη, θορυβούμενοι συστέλ- 129
λουσιν ἑαυτούς, ἀλλὰ πόρρωθεν ἐξευλαβεῖσθαι
'πρὸ χείματος, ὥστ' ἀνὰ ποντίαν ἄκραν
βορέα πνέοντος'.
ἄτοπον γάρ ἐστι κοράκων μὲν λαρυγγισμοῖς καὶ κλω-
σμοῖς ἀλεκτορίδων καὶ 'συσὶν ἐπὶ φορυτῷ μαργαι-
νούσαις', ὡς ἔφη Δημόκριτος, ἐπιμελῶς προσέχειν,
σημεῖα ποιουμένους πνευμάτων καὶ ὄμβρων, τὰ δὲ
τοῦ σώματος κινήματα καὶ σάλους καὶ προπαθείας
μὴ προλαμβάνειν μηδὲ προφυλάττειν, μηδ' ἔχειν ση-
μεῖα χειμῶνος ἐν ἑαυτῷ γενησομένου καὶ μέλλοντος.
ὅθεν οὐ περὶ τροφὴν μόνον οὐδὲ γυμνάσια δεῖ φυ-
λάττειν τὸ σῶμα μὴ παρὰ τὸ εἰωθὸς ἅπτηται τούτων B
ὀκνηρῶς καὶ ἀπροθύμως ἢ πάλιν διψῶδες ᾖ καὶ πει-
ναλέον ὡς οὐ πέφυκεν, ἀλλὰ καὶ τῶν ὕπνων τὸ μὴ
συνεχὲς μηδὲ λεῖον ἀλλ' ἀνωμαλίας ἔχον καὶ διασπα-
σμοὺς εὐλαβεῖσθαι, καὶ νὴ Δία τῶν ἐνυπνίων τὴν
ἀτοπίαν, ἅνπερ ὦσι μὴ νόμιμοι μηδὲ συνήθεις αἱ φαν-
τασίαι, πλῆθος ἢ πάχος ὑγρῶν ἢ πνεύματος ταραχὴν
ἐντὸς κατηγοροῦσαν. ἤδη δὲ καὶ τὰ τῆς ψυχῆς κινή-
ματα τὸ σῶμα μηνύει πρὸς νόσον ἐπισφαλῶς ἔχειν.
ἄλογοι γὰρ ἴσχουσιν ἀθυμίαι καὶ φόβοι πολλάκις ὑπ'
οὐδενὸς φανεροῦ, τὰς ἐλπίδας ἄφνω κατασβεννύου- C
σαι· γίγνονται δὲ καὶ ταῖς ὀργαῖς ἐπίχολοι καὶ ὀξεῖς
καὶ μικρόλυποι, καὶ δακρυρροοῦσι καὶ ἀδημονοῦσιν

1, 388—389 H. 6, 489—490 R.

3. ὑφ' Salmasius: ἀφ' 6. Bergk. p. 1344[3] 7. βορέα idem: βορρᾶ 17. ᾖ*: ἐστι 22. πνεύματος Stobaeus CI 11: πνευμάτων

Digitized by Google

ὅταν ἀτμοὶ πονηροὶ καὶ ἀναθυμιάσεις πικραὶ συνιστάμεναι 'ταῖς τῆς ψυχῆς', ὥς φησιν ὁ Πλάτων, ἀνακραθῶσι 'περιόδοις'. διὸ δεῖ σκοπεῖν οἷς ἂν ταῦτα συμπίπτῃ καὶ μνημονεύειν ὅτι σωματικόν ἐστιν αἴτιον ὑποστολῆς τινος ἢ καθάρσεως δεόμενον.

14. Χρήσιμον δὲ πάνυ καὶ τὸ τοὺς φίλους ἐπι-
D σκεπτόμενον ἀσθενοῦντας ἐκπυνθάνεσθαι τὰς αἰτίας, μὴ σοφιστικῶς μηδὲ περιέργως ἐνστάσεις καὶ παρεμπτώσεις καὶ κοινότητας λαλοῦντα καὶ παρεπιδεικνύμενον ἰατρικῶν ὀνομάτων καὶ γραμμάτων ἐμπειρίαν, ἀλλὰ ταυτὶ τὰ φαῦλα καὶ κοινὰ μὴ παρέργως ἀκούοντα, πλῆθος ἡλίωσιν κόπον ἀγρυπνίαν, μάλιστα δὲ δίαιταν ᾗ χρώμενος ἐπύρεξεν· εἶθ' ὥσπερ ὁ Πλάτων ἐπὶ τῶν ἀλλοτρίων ἁμαρτημάτων εἰώθει λέγειν 'μή που ἄρ' ἐγὼ τοιοῦτος;' οὕτω τὰ περὶ αὐτὸν ἐν
15 τοῖς πλησίον εὖ τίθεσθαι, καὶ φυλάττεσθαι καὶ μνημονεύειν ὅπως οὐ περιπεσεῖται τοῖς αὐτοῖς οὐδ' αὐτὸς
E εἰς τὴν κλίνην καταπεσὼν ὑμνήσει ποθῶν τὴν πολυτίμητον ὑγίειαν, ἀλλ' ἑτέρου πάσχοντος ἐνσημανεῖται πρὸς ἑαυτὸν ὡς ἄξιον πολλοῦ τὸ ὑγιαίνειν καὶ δεῖ
20 τοῦτο διατηρεῖν αὐτῷ προσέχοντα καὶ φειδόμενον. οὐ χεῖρον δὲ καὶ τὴν ἑαυτῶν παρεπισκοπεῖν δίαιταν. ἂν γὰρ ἐν πόσει καὶ προσφοραῖς ἤ τισι πόνοις καὶ ἀταξίαις ἑτέραις τυγχάνωμεν γεγονότες, τὸ δὲ σῶμα μηδεμίαν ὑποψίαν παρέχῃ μηδὲ προαίσθησιν, ὅμως
25 αὐτοὺς δεῖ φυλάττεσθαι καὶ προκαταλαμβάνειν ἐκ μὲν

1, 389—390 H. 5, 490—492 R.

2. Πλάτων] Tim. p. 47 D 4. μνημονεύειν*: μνημονεύειν ἂν μηδὲν ἢ πνευματικόν 12. ἡλίωσιν Erasmus: ἢ λείωσιν 14. τῶν ἀλλοτρίων ἁμαρτημάτων*: τοῖς ἀλλοτρίοις ἁμαρτήμασιν λέγειν*: λέγειν ἀπιών 15. ἄρ'*: ἄρα καὶ

Digitized by Google

ἀφροδισίων καὶ κόπων ὄντας ἀναπαύσει καὶ ἡσυχίᾳ, μετὰ δ' οἴνωσιν καὶ συμπεριφορὰν ὑδροποσίᾳ, μάλι- F
στα δὲ τροφαῖς κεχρημένους ἐμβριθέσι καὶ κρεώδεσιν ἢ ποικίλαις ὀλιγοσιτεῖν καὶ μηδὲν ὑπολιπεῖν περιττώ-
5 ματος πλῆθος ἐν τῷ σώματι. καὶ γὰρ αὐτὰ ταῦτα δι' αὑτὰ πολλῶν αἴτια νόσων ἐστί, καὶ προστίθησι ταῖς ἄλλαις αἰτίαις ὕλην καὶ δύναμιν. ὅθεν ἄριστα λέλεκται 'τροφῆς ἀκορίην καὶ πόνων ἀοκνίην καὶ σπέρματος οὐσίης συντήρησιν ὑγιεινότατα εἶναι'. καὶ 130
10 γὰρ ἡ περὶ τὰς συνουσίας ἀκρασία τῷ μάλιστα τὴν δύναμιν ἐκλύειν ὑφ' ἧς ἡ τροφὴ διαπονεῖται, πλέον περίττωμα ποιεῖ καὶ πλῆθος.

15. Αὔθις οὖν ἀναλαβόντες ἐξ ἀρχῆς περὶ ἑκάστου, πρῶτον δὲ περὶ γυμνασίων φιλολόγοις ἁρμοττόντων
15 λέγωμεν ὅτι ὥσπερ ὁ φήσας μηδὲν γράφειν παραθαλασσίοις περὶ λουτρῶν (διδάξειν γὰρ τὴν χρείαν), οὕτω καὶ φιλολόγοις φαίη τις ἂν μηδὲν γράφειν περὶ γυμνασίων. ἡ γὰρ καθ' ἡμέραν τοῦ λόγου χρεία διὰ φωνῆς περαινομένη θαυμαστὸν οἷόν ἐστι γυμνάσιον οὐ μόνον
20 πρὸς ὑγίειαν ἀλλὰ καὶ πρὸς ἰσχύν, οὐ παλαιστικὴν οὐδὲ σαρκοῦσαν καὶ πυκνοῦσαν τὰ ἐκτὸς ὥσπερ οἰκο- B
δομήματος, ἀλλὰ τοῖς ζωτικωτάτοις μέρεσι ῥώμην ἐνδιάθετον καὶ τόνον ἀληθινὸν ἐμποιοῦσαν. ὅτι μὲν γὰρ ἰσχὺν δίδωσι τὸ πνεῦμα δηλοῦσιν οἱ ἀλεῖπται,
25 τοὺς ἀθλητὰς κελεύοντες ἀντερείδειν ταῖς τρίψεσι καὶ παρεγκόπτειν ἐντείνοντας ἀεὶ τὰ πλασσόμενα μέρη καὶ ψηλαφώμενα τοῦ σώματος· ἡ δὲ φωνή, τοῦ πνεύμα-

1, 390—391 H. 6, 492—494 R.

11. πλέον — ποιεῖ Stobaeus Flor. CI 12: πλεῖον — ποιεῖται 16. λουτρῶν διδάξειν γὰρ*: ὀδόντων ἐδίδαξε 17. μηδὲν*: μὴ 21. τὰ Reiskius: τὴν 24. ἰσχὺν idem: ἰσχύειν 26. ἐντείνοντας*: τηροῦντας

Digitized by Google

τος οὖσα κίνησις, οὐκ ἐπιπολαίως ἀλλ' ὥσπερ ἐν πη-
γαῖς περὶ τὰ σπλάγχνα ῥωννυμένη, τὸ θερμὸν αὔξει
C καὶ λεπτύνει τὸ αἷμα, καὶ πᾶσαν μὲν ἐκκαθαίρει φλέ-
βα, πᾶσαν δ' ἀρτηρίαν ἀνοίγει, σύστασιν δὲ καὶ πῆξιν
ὑγρότητος οὐκ ἐᾷ περιττωματικῆς ὥσπερ ὑποστάθμην
γενέσθαι τοῖς τὴν τροφὴν παραλαμβάνουσι καὶ κατερ-
γαζομένοις ἀγγείοις. διὸ δεῖ μάλιστα ποιεῖν ἑαυτοὺς
τούτῳ τῷ γυμνασίῳ συνήθεις καὶ συντρόφους ἐνδελε-
χῶς λέγοντας, ἂν δ' ᾖ τις ὑποψία τοῦ σώματος ἐν-
δεέστερον ἢ κοπωδέστερον ἔχοντος, ἀναγιγνώσκοντας
καὶ ἀναφωνοῦντας. ὅπερ γὰρ αἰώρα πρὸς γυμνάσιόν
ἐστι, τοῦτο πρὸς διάλεξιν ἀνάγνωσις, ὥσπερ ἐπ' ὀχή-
ματος ἀλλοτρίου λόγου κινοῦσα μαλακῶς καὶ διαφέ-
ρουσα πράως τὴν φωνήν. ἡ δὲ διάλεξις ἀγῶνα καὶ
σφοδρότητα προστίθησιν, ἅμα τῆς ψυχῆς τῷ σώματι
D συνεπιτιθεμένης. κραυγὰς μέντοι περιπαθεῖς καὶ σπα-
ραγματώδεις εὐλαβητέον· αἱ γὰρ ἀνώμαλοι προσβολαὶ
καὶ διατάσεις τοῦ πνεύματος ῥήγματα καὶ σπάσματα
ποιοῦσιν. ἀναγνόντα δ' ἢ διαλεχθέντα λιπαρᾷ καὶ
ἀλεεινῇ τρίψει χρηστέον πρὸ τοῦ περιπάτου καὶ μα-
λάξει τῆς σαρκός, ὡς ἄνυστόν ἐστι, τῶν σπλάγχνων
ποιούμενον ἀφὴν καὶ τὸ πνεῦμα πράως διομαλύνοντα
καὶ διαχέοντα μέχρι τῶν ἄκρων. μέτρον δὲ τοῦ πλή-
θους τῆς τρίψεως ἔστω τὸ προσφιλὲς τῇ αἰσθήσει καὶ
E ἄλυπον. ὁ γὰρ οὕτω καταστήσας τὴν ἐν βάθει ταρα-
χὴν καὶ διάτασιν τοῦ πνεύματος, ἀλύπῳ τε χρῆται τῷ
περιττώματι, κἂν ἀκαιρία τις ἢ χρεία κωλύσῃ τὸν
περίπατον, οὐδέν ἐστι πρᾶγμα· τὸ γὰρ οἰκεῖον ἡ φύ-
σις ἀπείληφεν. ὅθεν οὔτε πλοῦν ποιητέον οὔτε κα-

1, 391—392 H. 6, 494—495 B.

11. καὶ W: ἢ 17. προβολαὶ Salmasius 21. ἀνυ-
στόν Stephanus: ἀνοιστόν 29. οὔτε πλοῦν*: οὐδὲ πλοῦν

ταγωγὴν ἐν πανδοκείῳ σιγῆς πρόφασιν, οὐδ' ἂν πάντες καταγελῶσιν. ὅπου γὰρ οὐκ αἰσχρὸν τὸ φαγεῖν, οὐδὲ τὸ γυμνάζεσθαι δήπουθεν αἰσχρόν· ἀλλ' αἴσχιον τὸ δεδοικέναι καὶ δυσωπεῖσθαι ναύτας καὶ ὀρεωκόμους καὶ πανδοκέας καταγελῶντας οὐ τοῦ σφαιρίζοντος καὶ σκιαμαχοῦντος ἀλλὰ τοῦ λέγοντος, ἂν ἅμα διδάσκῃ F τι καὶ ζητῇ καὶ μανθάνῃ καὶ ἀναμιμνήσκηται γυμναζόμενος. ὁ μὲν γὰρ Σωκράτης ἔλεγεν ὅτι τῷ κινοῦντι δι' ὀρχήσεως αὐτὸν ἑπτάκλινος οἶκος ἱκανός ἐστιν ἐγγυμνάζεσθαι, τῷ δὲ δι' ᾠδῆς ἢ λόγου γυμναζομένῳ γυμνάσιον ἀποχρῶν καὶ ἑστῶτι καὶ κατακειμένῳ πᾶς τόπος παρέχει. μόνον ἐκεῖνο φυλακτέον, ὅπως μήτε πλησμονὴν μήτε λαγνείαν μήτε κόπον ἑαυτοῖς συνειδότες ἐντεινώμεθα τῇ φωνῇ τραχύτερον, ὃ πάσχουσι πολλοὶ τῶν ῥητόρων καὶ τῶν σοφιστῶν, οἱ μὲν ὑπὸ δόξης καὶ φιλοτιμίας, οἱ δὲ διὰ μισθοὺς 131 ἢ πολιτικὰς ἀμίλλας ἐξαγόμενοι παρὰ τὸ συμφέρον ἀγωνίζεσθαι. Νίγρος δ' ὁ ἡμέτερος ἐν Γαλατίᾳ σοφιστεύων ἄκανθαν ἐτύγχανεν ἰχθύος καταπεπωκώς. ἑτέρου δ' ἐπιφανέντος ἔξωθεν σοφιστοῦ καὶ μελετῶντος, ὑφειμένου δόξαν παρασχεῖν ὀρρωδῶν, ἔτι τῆς ἀκάνθης ἐνισχομένης ἐμελέτησε· μεγάλης δὲ φλεγμονῆς καὶ σκληρᾶς γενομένης, τὸν πόνον οὐ φέρων ἀνεδέξατο τομὴν ἔξωθεν βαθεῖαν. ἡ μὲν οὖν ἄκανθα διὰ B τοῦ τραύματος ἐξῃρέθη, τὸ δὲ τραῦμα χαλεπὸν γενόμενον καὶ ῥευματικὸν ἀνεῖλεν αὐτόν. ἀλλὰ ταῦτα μὲν ἄν τις ὕστερον εὐκαίρως ὑπομνήσειε.

Γυμναζομένους δὲ λουτρῷ χρῆσθαι ψυχρῷ μὲν ἐπιδεικτικὸν καὶ νεανικὸν μᾶλλον ἢ ὑγιεινόν ἐστιν.

1, 392—393 H. 6, 495—497 R.

8. Σωκράτης] Xenoph. Conv. II 18 10. γυμναζομένῳ γυμνάσιον ἀποχρῶν Reiskius: γυμνάσιον ἀπόχρη γυμναζομένῳ

Digitized by Google

ἦν γὰρ δοκεῖ δυσπάθειαν ποιεῖν πρὸς τὰ ἔξω καὶ σκληρότητα τοῦ σώματος, αὕτη μεῖζον ἀπεργάζεται περὶ τὰ ἐντὸς κακόν, ἐνισταμένη τοῖς πόροις καὶ τὰ ὑγρὰ συνάγουσα καὶ πηγνύουσα τὰς ἀναθυμιάσεις ἀεὶ χαλᾶσθαι καὶ διαφορεῖσθαι βουλομένας. ἔτι δ' ἀνάγκη τοὺς ψυχρολουτοῦντας εἰς ἐκείνην αὖθις ἐμβαίνειν ἣν
C φεύγομεν ἀκριβῆ καὶ τεταγμένην ἀποτόμως δίαιταν, ἀεὶ προσέχοντας αὑτοῖς μὴ παραβαίνωσι ταύτην, ὡς εὐθὺς ἐξελεγχομένου πικρῶς παντὸς ἁμαρτήματος. ἡ δὲ θερμολουσία δίδωσι πολλὴν συγγνώμην. οὐ γὰρ τοσοῦτον εὐτονίας ὑφαιρεῖ καὶ ῥώμης, ὅσον ὠφελεῖ πρὸς ὑγίειαν, ἐνδόσιμα τῇ πέψει καὶ μαλακτικὰ παρέχουσα, τοῖς δὲ τὴν πέψιν διαφεύγουσιν, ἄν γε δὴ μὴ παντάπασιν ὠμὰ καὶ μετέωρα μείνῃ, διαχύσεις ἀλύπους παρασκευάζουσα καὶ κόπους ἐκλεαίνουσα λαν-
D θάνοντας. οὐ μὴν ἀλλ' ὅταν ἡ φύσις παρέχῃ μετρίως διακειμένου καὶ ἱκανῶς τοῦ σώματος αἴσθησιν, ἑατέον τὸ βαλανεῖον. ἄλειμμα δὲ τὸ πρὸς πῦρ βέλτιον, ἂν ἀλέας δέηται τὸ σῶμα, ταμιεύεται γὰρ αὐτῷ τὴν θερμότητα. ὁ δ' ἥλιος οὔτε μᾶλλον οὔθ' ἧττον ἀλλ' ὡς κέκραται πρὸς τὸν ἀέρα κεχρῆσθαι δίδωσι. ταῦτα μὲν οὖν ἱκανὰ περὶ γυμνασίων.

16. Ἐπὶ δὲ τροφὴν παραγενομένους, ἂν μὲν ᾖ τι τῶν πρόσθεν ὄφελος λόγων οἷς τὰς ὀρέξεις ἐκηλοῦμεν καὶ κατεπραΰνομεν, ἄλλο τι χρὴ παραινεῖν τῶν ἐφεξῆς· ἂν δ' ὥσπερ ἐκ δεσμῶν λελυμέναις χαλεπὸν

1, 393—395 H. 6, 497—499 R.

8. παραβαίνωσι Reiskius: παραβαίνειν 10. πολλὴν idem: πολλῷ 12. μαλακτικά*: μαλακά 18. πῦρ Reiskius: πυρὶ 19. τὴν θερμότητα idem: τῆς θερμότητος 24. ἐκηλοῦμεν καὶ κατεπραΰνομεν idem: κηλοῦμεν καὶ καταπραΰνομεν 26. λελυμέναις idem: λελυμένῃ

Digitized by Google

ἢ χρῆσθαι καὶ φιλονεικεῖν πρὸς γαστέρα ὦτα μὴ ἔχου- E
σαν, ὡς ἔλεγε Κάτων, διαμηχανητέον τῇ ποιότητι τῆς
τροφῆς ἐλαφρότερον ποιεῖν τὸ πλῆθος. καὶ τὰ μὲν
στερεὰ καὶ πολύτροφα τῶν σιτίων, οἷον τὰ κρεώδη
καὶ τυρώδη καὶ σύκων τὰ ξηρὰ καὶ ᾠῶν τὰ ἑφθά,
προσφέρεσθαι πεφυλαγμένως ἁπτόμενον (ἔργον γὰρ
ἀεὶ παραιτεῖσθαι), τοῖς δὲ λεπτοῖς ἐμφύεσθαι καὶ κού-
φοις, οἷα τὰ πολλὰ τῶν λαχάνων καὶ τὰ πτηνὰ καὶ
τῶν ἰχθύων οἱ μὴ πίονες. ἔστι γὰρ τὰ τοιαῦτα προσ-
φερόμενον καὶ χαρίζεσθαι ταῖς ὀρέξεσι καὶ τὸ σῶμα F
μὴ πιέζειν. μάλιστα δὲ τὰς ἀπὸ κρεῶν φοβητέον
ἀπεψίας· καὶ γὰρ εὐθὺς σφόδρα καὶ βαρύνουσι, καὶ
λείψανον εἰσαῦθις πονηρὸν ἀπ' αὐτῶν παραμένει.
καὶ κράτιστον μὲν ἐθίσαι τὸ σῶμα μηδεμιᾶς προσδεῖ-
σθαι σαρκοφαγίας· πολλὰ γὰρ οὐ μόνον πρὸς διατρο-
φὴν ἄφθονα ἀλλὰ καὶ πρὸς εὐπάθειαν καὶ ἀπόλαυσιν
ἀναδίδωσιν ἡ γῆ, τοῖς μὲν αὐτόθεν ἀπραγμόνως χρῆ-
σθαι παρέχουσα, τὰ δὲ μιγνύμενα καὶ παντοδαπῶς
παρασκευαζόμενα συνηδύνειν. ἐπεὶ δὲ τὸ ἔθος τρόπον 132
τινὰ φύσις οὐ παρὰ φύσιν γέγονεν, οὐ δεῖ χρῆσθαι
κρεωφαγίᾳ πρὸς ἀποπλήρωσιν ὀρέξεως, ὥσπερ λύκους
ἢ λέοντας, ἀλλ' οἷον ὑπέρεισμα καὶ διάζωσμα τῆς
τροφῆς ἐμβαλλομένους ἑτέροις σιτίοις χρῆσθαι καὶ
ὄψοις, ἃ καὶ τῷ σώματι μᾶλλόν ἐστι κατὰ φύσιν, καὶ
τῆς ψυχῆς ἧττον ἀμβλύνει τὸ λογικόν, ὥσπερ ἐκ λι-
τῆς καὶ ἐλαφρᾶς ὕλης ἀναπτόμενον.

17. Τῶν δ' ὑγρῶν γάλακτι μὲν οὐχ ὡς ποτῷ
χρηστέον, ἀλλ' ὡς σιτίῳ δύναμιν ἐμβριθῆ καὶ πολύ-
τροφον ἔχοντι. πρὸς δὲ τὸν οἶνον ἅπερ Εὐριπίδης B

1, 395—396 H. 6, 499—500 R.

24. ἐστι Xylander: ἐστι καὶ p. 525

29. Εὐριπίδης] Nauck.

Digitized by Google

πρὸς τὴν Ἀφροδίτην λεκτέον
'εἴης μοι, μέτριον δέ πως
εἴης, μηδ' ἀπολείποις'.
καὶ γὰρ ποτῶν ὠφελιμώτατόν ἐστι καὶ φαρμάκων ἥδιστον καὶ ὄψων ἀσικχότατον, ἂν τύχῃ τῆς πρὸς τὸν καιρὸν εὐκρασίας μᾶλλον ἢ τῆς πρὸς τὸ ὕδωρ. ὕδωρ δ' οὐ μόνον τὸ μιγνύμενον πρὸς οἶνον, ἀλλὰ καὶ τὸ καθ' ἑαυτὸ τοῦ κεκραμένου μεταξὺ πινόμενον ἀβλαβέστερον ποιεῖ τὸ κεκραμένον. ἐθιστέον οὖν παρὰ τὴν καθ' ἡμέραν δίαιταν ὕδατος προσφέρεσθαι καὶ δύο καὶ τρία ποτήρια, τήν τε δύναμιν τοῦ οἴνου ποιοῦντα μαλα-
C κωτέραν καὶ τοῦ σώματος συνήθη τὴν ὑδροποσίαν, ὅπως, ὅταν ἐν χρείᾳ γένηται, μὴ ξενοπαθῇ μηδ' ἀπαναίνηται. συμβαίνει γὰρ ἐνίους φέρεσθαι πρὸς τὸν οἶνον ὅταν μάλιστα χρείαν ὑδροποσίας ἔχωσι. καὶ γὰρ ἡλιωθέντες καὶ διψώσαντες πάλιν καὶ σφοθρότερον εἰπόντες καὶ συντονώτερον φροντίσαντες καὶ ὅλως μετὰ τοὺς κόπους καὶ τοὺς ἀγῶνας οἴονται ποτέον εἶναι τὸν οἶνον, ὡς καὶ τῆς φύσεως ἀπαιτούσης εὐπάθειάν τινα τῷ σώματι καὶ μεταβολὴν ἐκ
D τῶν πόνων. ἡ δὲ φύσις εὐπάθειαν μέν, εἴ τις εὐπάθειαν καλεῖ τὴν ἡδυπάθειαν, οὐκ ἀπαιτεῖ, μεταβολὴν δ' ἀπαιτεῖ τὴν εἰς τὸ μέσον ἡδονῆς καὶ πόνου καθιστᾶσαν. διὸ καὶ τροφῆς ὑφαιρετέον ἐν τούτοις, καὶ τὸν οἶνον ἢ παντελῶς ἀφαιρετέον ἢ προσοιστέον πολλῇ κατακεραννύμενον διὰ μέσου καὶ κατακλυζόμενον ὑδροποσίᾳ. πλήκτης γὰρ ὢν καὶ ὀξὺς ἐπιτείνει τὰς τοῦ σώματος ταραχάς, καὶ τραχύτερα ποιεῖ καὶ παροξύνει τὰ πεπληγμένα, παρηγορίας δεόμενα καὶ

1, 396—397 H. 6, 500—502 R.

1. λεκτέον Reiskius: διαλεκτέον
14. φέρεσθαι*: φέρεσθαι μάλιστα

Digitized by Google

λειότητος, ἃς μάλιστα τὸ ὕδωρ ἐνδίδωσι. καὶ γὰρ ἂν
οὐ διψῶντες, ἄλλως δὲ θερμὸν ὕδωρ πίωμεν μετὰ
τοὺς κόπους καὶ τὰς διατάσεις καὶ τὰ καύματα, χα- E
λάσματος καὶ μαλακότητος αἰσθανόμεθα περὶ τὰ ἐντός·
ἥπιος γὰρ ἡ τοῦ ὕδατος ὑγρότης καὶ ἄσφυκτος, ἡ
δὲ τοῦ οἴνου φορὰν ἔχει πολλὴν καὶ δύναμιν οὐκ
εὐμενῆ τοῖς προσφάτοις πάθεσιν οὐδὲ φιλάνθρωπον.
καὶ γὰρ ἃς λέγουσιν ἔνιοι τῷ σώματι τὴν ἀσιτίαν δρι-
μύτητας ἐγγεννᾶν καὶ πικρότητας εἴ τις δέδιεν ἢ κα-
θάπερ οἱ παῖδες δεινὸν ἡγεῖται πρὸ τοῦ πυρέττειν μὴ
παρατίθεσθαι τράπεζαν ἐν ὑποψίᾳ γεγονώς, εὐάρμο-
στον ἡ ὑδροποσία μεθόριον. καὶ γὰρ αὐτῷ τῷ Διο-
νύσῳ πολλάκις νηφάλια θύομεν, ἐθιζόμενοι καλῶς μὴ
ζητεῖν ἀεὶ τὸν ἄκρατον. ὁ δὲ Μίνως καὶ τὸν αὐλὸν F
ἀφεῖλε τῆς θυσίας καὶ τὸν στέφανον ὑπὸ λύπης. καί-
τοι λυπουμένην ψυχὴν ἴσμεν οὔτε ὑπὸ στεφάνων οὔτε
ὑπὸ αὐλῶν παθοῦσαν· σῶμα δ' οὐδὲν οὕτως ἰσχυρόν
ἐστιν, ᾧ τεταραγμένῳ καὶ φλεγμαίνοντι προσπεσὼν
οἶνος οὐκ ἠδίκησε.

18. Τοὺς μὲν οὖν Λυδοὺς ἐν τῷ λιμῷ λέγουσι
διάγειν ἡμέραν παρ' ἡμέραν τρεφομένους, εἶτα
παίζοντας καὶ κυβεύοντας· φιλόλογον δ' ἄνδρα καὶ
φιλόμουσαν ἐν καιρῷ δεομένῳ βραδυτέρου δείπνου 133
διάγραμμα παρακείμενον ἤ τι βιβλίον ἢ λύριον οὐ
προῖεται τῇ γαστρὶ λεηλατούμενον, ἀλλ' ἀποστρέφων
συνεχῶς καὶ μεταφέρων ἐπὶ ταῦτα τὴν διάνοιαν ἀπὸ
τῆς τραπέζης ὥσπερ Ἁρπυίας τὰς ὀρέξεις διασοβήσει
ταῖς Μούσαις. οὐ γὰρ ὁ μὲν Σκύθης, ὅταν πίνῃ,
πολλάκις ἐφάπτεται τοῦ τόξου καὶ παραψάλλει τὴν

1, 397—398 H. 6, 502—503 R.

1. ἃς Reiskius: οἷς 21. διάγειν*: διαγαγεῖν 23. δεομένῳ Meziriacus: δεόμενον

Digitized by Google

νευράν, ἐκλυόμενον ὑπὸ τῆς μέθης ἀνακαλούμενος τὸν θυμόν, Ἕλλην δ' ἀνὴρ φοβήσεται τοὺς καταγελῶντας αὐτοῦ γράμμασι καὶ βιβλίοις ἀγνώμονα καὶ δυσπαραίτητον ἐπιθυμίαν ἀνιέντος ἀτρέμα καὶ χαλῶν-
B τος; τῶν μὲν γὰρ παρὰ τῷ Μενάνδρῳ νεανίσκων ὑπὸ τοῦ πορνοβοσκοῦ παρὰ πότον ἐπιβουλευομένων καλὰς καὶ πολυτελεῖς εἰσάγοντος ἑταίρας ἕκαστος, ὥς φησι,

'κύψας καθ' αὑτὸν τῶν τραγημάτων ἔφλα',

φυλαττόμενος καὶ φοβούμενος ἐμβλέπειν· οἱ δὲ φιλόλογοι πολλὰς καὶ ἡδείας ἀπόψεις καὶ ἀποστροφὰς ἔχουσιν, ἅνπερ ἄλλως μὴ δύνωνται τὸ κυνικὸν καὶ θηριῶδες τῶν ὀρέξεων κατέχειν παρακειμένης τραπέζης. ἀλειπτῶν δὲ φωνὰς καὶ παιδοτριβῶν λόγους ἑκάστοτε λεγόντων ὡς τὸ παρὰ δεῖπνον φιλολογεῖν τὴν τροφὴν διαφθείρει καὶ βαρύνει τὴν κεφαλὴν τότε
C φοβητέον ὅταν τὸν Ἰνδὸν ἀναλύειν ἢ διαλέγεσθαι περὶ τοῦ Κυριεύοντος ἐν δείπνῳ μέλλωμεν. τὸν μὲν γὰρ ἐγκέφαλον τοῦ φοίνικος, γλυκὺν ὄντα σφόδρα, κεφαλαλγὸν λέγουσιν εἶναι· διαλεκτικὴ δὲ 'τρωγάλιον' ἐπὶ δείπνῳ 'γλυκὺ' μὲν οὐδαμῶς κεφαλαλγὲς δὲ καὶ κοπῶδες ἰσχυρῶς ἐστίν. ἂν δ' ἡμᾶς μὴ ἄλλο τι ζητεῖν ἢ φιλοσοφεῖν ἢ ἀναγιγνώσκειν παρὰ δεῖπνον ἐῶσι τῶν ἐν τῷ καλῷ καὶ ὠφελίμῳ τὸ ἐπαγωγὸν ὑφ' ἡδονῆς καὶ γλυκὺ μόριον ἐχόντων, κελεύσομεν αὐτοὺς
D μὴ ἐνοχλεῖν, ἀλλ' ἀπιόντας ἐν τῷ ξυστῷ ταῦτα καὶ ταῖς παλαίστραις διαλέγεσθαι τοῖς ἀθληταῖς, οὓς τῶν βιβλίων ἐξελόντες ἀεὶ διημερεύειν ἐν σκώμμασι καὶ

1, 398—399 H. 6, 503—505 R.

9. Meinek. IV. p. 280 καθ' W: ἐς 10. φιλόλογοι L. Dindorfius: φιλολόγοι καλὰς καὶ 20. κεφαλαλγὲς vel κεφαλαλγικὸν idem τρωγάλιον] Bergk. p. 329. 1368[3]

Digitized by Google

βωμολοχίαις ἐθίζοντες, ὡς ὁ κωμῳδὸς Ἀρίστων ἔλεγε, τοῖς ἐν γυμνασίῳ κίοσιν ὁμοίως λιπαροὺς πεποιήκασι καὶ λιθίνους. αὐτοὶ δὲ πειθόμενοι τοῖς ἰατροῖς παραινοῦσιν ἀεὶ τοῦ δείπνου καὶ τοῦ ὕπνου λαμβάνειν μεθόριον καὶ μὴ συμφορήσαντας εἰς τὸ σῶμα τὰ σιτία καὶ τὸ πνεῦμα καταθλίψαντας μὴ εὐθὺς ὠμῇ καὶ ζεούσῃ τῇ τροφῇ βαρύνειν τὴν πέψιν ἀλλ' ἀναπνοὴν καὶ χάλασμα παρέχειν, ὥσπερ οἱ τὰ σώματα κινεῖν μετὰ δεῖπνον ἀξιοῦντες οὐ δρόμοις οὐδὲ παγκρατίοις E τοῦτο ποιοῦσιν ἀλλὰ βληχροῖς περιπάτοις καὶ χορείαις ἐμμελέσιν, οὕτως καὶ ἡμεῖς οἰησόμεθα δεῖν τὰς ψυχὰς διαφέρειν μετὰ δεῖπνον μήτε πράγμασι μήτε φροντίσι μήτε σοφιστικοῖς ἀγῶσι πρὸς ἅμιλλαν ἐπιδεικτικὴν ἢ κινητικὴν περαινομένοις. ἀλλὰ πολλὰ μέν ἐστι τῶν φυσικῶν προβλημάτων ἐλαφρὰ καὶ πιθανά, πολλαὶ δὲ διηγήσεις ἠθικαὶ καὶ σκέψεις ἔχουσαι τοῦτο δὴ τὸ 'μενοεικές', ὡς Ὅμηρος ἔφη, καὶ μὴ ἀντίτυπον. τὰς δ' ἐν ταῖς ἱστορικαῖς καὶ ποιητικαῖς ζητήσεσι διατριβὰς οὐκ ἀηδῶς ἔνιοι δευτέρας τραπέζας ἀνδράσι φιλολόγοις καὶ φιλομούσοις προσεῖπον. εἰσὶ δὲ καὶ διηγήσεις ἄλυποι καὶ μυθολογίαι, καὶ τὸ περὶ αὐλοῦ τι καὶ F λύρας ἀκοῦσαι καὶ εἰπεῖν ἐλαφρότερον ἢ λύρας αὐτῆς φθεγγομένης ἀκούειν καὶ αὐλοῦ. μέτρον δὲ τοῦ καιροῦ τὸ τῆς τροφῆς καθισταμένης ἀτρέμα καὶ συμπνεούσης τὴν πέψιν ἐγκρατῆ γενέσθαι καὶ ὑπερδέξιον.

19. Ἐπεὶ δ' Ἀριστοτέλης οἴεται τῶν δεδειπνηκότων τὸν μὲν περίπατον ἀναρριπίζειν τὸ θερμόν, τὸν

1, 399—400 H. 6, 505—507 R.

6. μὴ delet Xylander 8. παρέχειν*: ἔχειν 10. ἀλλὰ βληχροῖς L. Dindorfius: ἀλλ' ἀβληχροῖς 11. οὕτως καὶ Reiskius: οὕτως 17. τὰς δ' ἐν ταῖς Xylander: ταῖς δὲ

Digitized by Google

δ' ὕπνον, ἂν εὐθὺς καθεύδωσι, καταπνίγειν, ἕτεροι δὲ τὴν μὲν ἡσυχίαν οἴονται τὰς πέψεις βελτίονας
134 ποιεῖν, τὴν δὲ κίνησιν ταράττειν τὰς ἀναδόσεις, καὶ τοῦτο τοὺς μὲν περιπατεῖν εὐθὺς ἀπὸ δείπνου τοὺς δ' ἀτρεμεῖν πέπεικεν, ἀμφοτέρων ἂν οἰκείως ἐφάπτεσθαι δόξειεν ὁ τὸ μὲν σῶμα συνθάλπων καὶ συνέχων μετὰ τὸ δεῖπνον, τὴν δὲ διάνοιαν μὴ καταφερόμενος μηδ' ἀργῶν εὐθὺς ἀλλ' ὥσπερ εἴρηται διαφορῶν ἐλαφρῶς τὸ πνεῦμα καὶ λεπτύνων τῷ λαλεῖν τι καὶ ἀκούειν τῶν προσηνῶν καὶ μὴ δακνόντων μηδὲ βαρυνόντων.

20. Ἐμέτους δὲ καὶ κοιλίας καθάρσεις ὑπὸ φαρμάκων, μιαρὰ 'παραμύθια πλησμονῆς', ἄνευ μεγάλης
B ἀνάγκης οὐ κινητέον, ὥσπερ οἱ πολλοὶ κενώσεως ἕνεκα πληροῦντες τὸ σῶμα καὶ πάλιν ἐκ πληρώσεως κενοῦντες παρὰ φύσιν, ταῖς πλησμοναῖς οὐχ ἧττον ἢ ταῖς ἐνδείαις ἀνιώμενοι, μᾶλλον δ' ὅλως τὴν μὲν πλήρωσιν ὡς κώλυσιν ἀπολαύσεως βαρυνόμενοι, τὴν δ' ἔνδειαν ὡς χώραν ἀεὶ ταῖς ἡδοναῖς παρασκευάζοντες. τὸ γὰρ βλαβερὸν ἐν τούτοις προῦπτόν ἐστι· ταραχάς τε γὰρ ἀμφότερα τῷ σώματι παρέχεται καὶ σπαραγμούς. ἴδιον δὲ τῷ μὲν ἐμέτῳ κακὸν πρόσεστι τὸ τὴν ἀπληστίαν αὔξειν τε καὶ τρέφειν· γίγνονται γὰρ αἱ πεῖναι καθάπερ τὰ ἀνακοπτόμενα ῥεῖθρα τρα-
C χεῖαι καὶ ταραχώδεις, καὶ βίᾳ τὴν τροφὴν ἕλκουσιν ἀεὶ λυποῦντας, οὐκ ὀρέξεσιν ἐοικυῖαι σιτίων δεομέναις ἀλλὰ φλεγμοναῖς φαρμάκων καὶ καταπλασμάτων. ὅθεν ἡδοναὶ μὲν ὀξεῖαι καὶ ἀτελεῖς καὶ πολὺν ἔχουσαι σφυγμὸν καὶ οἶστρον ἐν ταῖς ἀπολαύσεσι λαμβάνουσιν

1, 400—401 H. 6, 507—509 R.

15. ἐκ* 24. ἀνακοπτόμενα Madvigius: κοπτόμενα
26. ὀρέξεσιν ἐοικυῖαι Reiskius: ὄρεξιν ἐοικυῖαν

Digitized by Google

αὐτούς, διατάσεις δὲ καὶ πληγαὶ πόρων καὶ πνευμάτων ἐναπολήψεις διαδέχονται, μὴ περιμένουσαι τὰς κατὰ φύσιν ἐξαγωγάς, ἀλλ' ἐπιπολάζουσαι τοῖς σώμασιν ὥσπερ ὑπεράντλοις σκάφεσι, φορτίων ἐκβολῆς οὐ περιττωμάτων δεομένοις. αἱ δὲ περὶ τὴν κάτω κοιλίαν ἐκταράξεις διὰ φαρμακείας φθείρουσαι καὶ τήκουσαι τὰ ὑποκείμενα πλείονα ποιοῦσι περίττωσιν ἢ ἐξάγουσιν. ὥσπερ οὖν εἴ τις Ἑλλήνων ὄχλον ἐν D πόλει βαρυνόμενος σύνοικον Ἀράβων ἐμπλήσειε καὶ Σκυθῶν τὴν πόλιν ἐπηλύδων, οὕτως ἔνιοι τοῦ παντὸς διαμαρτάνουσιν ἐπ' ἐκβολῇ περιττωμάτων συνήθων καὶ συντρόφων ἐμβάλλοντες ἔξωθεν εἰς τὸ σῶμα κόκκους τινὰς Κνιδίους καὶ σκαμωνίαν καὶ δυνάμεις ἄλλας ἀσυγκράτους καὶ ἀγρίας καὶ καθαρμοῦ δεομένας μᾶλλον ἢ καθῆραι τὴν φύσιν δυναμένας. ἄριστον μὲν οὖν τὸ μετρίᾳ διαίτῃ καὶ σώφρονι τὸ σῶμα ποιεῖν περί τε κενώσεις καὶ πληρώσεις αὐτοτελὲς ἀεὶ καὶ σύμμετρον· εἰ δ' ἀνάγκη ποτὲ καταλάβοι, τοὺς μὲν ἐμέτους ποιητέον ἄνευ φαρμακείας καὶ περιεργίας, μηδὲν ἐκταράττοντας ἀλλ' ὅσον ἀπεψίαν ἐκφυγεῖν E αὐτόθεν ἀφιέντας ἀπραγμόνως τῷ πλεονάζοντι τὴν ἀπέρασιν. ὡς γὰρ τὰ ὀθόνια ῥύμμασι καὶ χαλαστραίοις πλυνόμενα μᾶλλον ἐκπλύνεται τῶν ὑδατοκλύστων, οὕτως οἱ μετὰ φαρμάκων ἔμετοι λυμαίνονται τῷ σώματι καὶ διαφθείρουσιν. ὑφισταμένης δὲ κοιλίας οὐδὲν φάρμακον οἷα τῶν σιτίων ἔνια μαλακὰς ἐνδιδόντα προθυμίας καὶ διαλύοντα πράως, ὧν ἥ τε πεῖρα πᾶσι συνήθης καὶ ἡ χρῆσις ἄλυπος. ἂν δὲ τούτοις ἀπειθῇ, πλείονας ἡμέρας ὑδροποσίαν ἢ ἀσιτίαν ἢ κλυ- F

1, 401—402 H. 6, 509—510 R.

2. ἐναπολήψεις*: ἐναπολείψεις Meziriacus: ἀσυγκρίτους

14. ἀσυγκράτους

Digitized by Google

στῆρα προσδεκτέον μᾶλλον ἢ ταρακτικὰς καὶ φθαρτικὰς φαρμακείας, ἐφ' ἃς οἱ πολλοὶ φέρονται προχείρως, καθάπερ ἀκόλαστοι γυναῖκες, ἐκβολίοις χρώμεναι καὶ φθορίοις ὑπὲρ τοῦ πάλιν πληροῦσθαι καὶ ἡδυπαθεῖν.

21. Ἀλλὰ τούτους μὲν ἐατέον· οἱ δ' ἄγαν αὖ πάλιν ἀκριβεῖς καὶ τεταγμένας τινὰς ἐκ περιόδου κρι-
135 τικὰς ἐμβάλλοντες ἀσιτίας οὐκ ὀρθῶς τὴν φύσιν μὴ δεομένην διδάσκουσι δεῖσθαι συστολῆς καὶ ποιεῖν ἀναγκαίαν τὴν οὐκ ἀναγκαίαν ὑφαίρεσιν ἐν καιρῷ ζητούμενον ἔθος ἀπαιτοῦντι. βέλτιον γὰρ ἐλευθέροις τοῖς τοιούτοις χρῆσθαι κολασμοῖς εἰς τὸ σῶμα, μηδεμιᾶς προαισθήσεως οὔσης μηδ' ὑποψίας, καὶ τὴν ἄλλην δίαιταν, ὥσπερ εἴρηται, πρὸς τὸ συντυγχάνον ἀεὶ ταῖς μεταβολαῖς ὑπήκοον ἔχειν, μὴ καταδεδουλωμένην μηδ' ἐνδεδεμένην ἑνί σχήματι βίου πρός τινας καιροὺς ἢ ἀριθμοὺς ἢ περιόδους ἄγεσθαι μεμελετηκότος.
B οὐ γὰρ ἀσφαλὲς οὐδὲ ῥᾴδιον οὐδὲ πολιτικὸν οὐδ' ἀνθρωπικὸν ἀλλ' ὀστρέου τινὸς ζωῇ προσεοικὸς ἢ στελέχους τὸ ἀμετάστατον τοῦτο καὶ κατηναγκασμένον ἐν τροφαῖς καὶ ἀποχαῖς καὶ κινήσεσι καὶ ἡσυχίαις ** εἰς ἐπίσκιόν τινα βίον καὶ σχολαστὴν καὶ μονότροπον καὶ ἄφιλον καὶ ἄδοξον ἀπωτάτω πολιτείας καθίσασιν ἑαυτοὺς καὶ συστείλασιν, οὐ 'κατά γε τὴν ἐμήν' ἔφη 'γνώμην'. (22) οὐ γὰρ ἀργίας ὄνιον ἡ ὑγίεια καὶ ἀπραξίας, ἅ γε δὴ μέγιστα κακῶν ταῖς νόσοις πρόσεστι, καὶ οὐδὲν διαφέρει τοῦ τὰ ὄμματα τῷ μὴ διαC βλέπειν καὶ τὴν φωνὴν τῷ μὴ φθέγγεσθαι φυλάττον-

1, 402—403 H. 6, 510—512 B.

12. μηδεμιᾶς*: μηδεμιᾶς δὲ
21. Signavi hiatum
22. μονότροπον*: μονότροπόν τινα
26. μέγιστα Xylander: μέγιστα γνώμην

Digitized by Google

τος ὁ τὴν ὑγίειαν ἀχρηστίαις καὶ ἡσυχίαις χρήζειν οἰόμενος· οὐδὲν γὰρ ἑαυτῷ χρήσαιτο ἄν τις ὑγιαίνοντι κρείττονι πρὸς πολλὰς καὶ φιλανθρώπους πράξεις. ἥκιστα δὴ τὴν ἀργίαν ὑγιεινὸν ὑπολητέον, εἰ τὸ τῆς ὑγιείας τέλος ἀπόλλυσι, καὶ οὐδ' ἀληθές ἐστι τὸ μᾶλλον ὑγιαίνειν τοὺς ἡσυχίαν ἄγοντας· οὔτε γὰρ Ξενοκράτης μᾶλλον διυγίαινε Φωκίωνος οὔτε Δημητρίου Θεόφραστος, Ἐπίκουρόν τε καὶ τοὺς περὶ Ἐπίκουρον οὐδὲν ὤνησε πρὸς τὴν ὑμνουμένην σαρκὸς εὐστάθειαν ἡ πάσης φιλοτιμίαν ἐχούσης πράξεως ἀπόδρασις. ἀλλὰ καὶ ἑτέραις ἐπιμελείαις διασωστέον ἐστὶ D τῷ σώματι τὴν κατὰ φύσιν ἕξιν, ὡς παντὸς βίου καὶ νόσου δεχομένου καὶ ὑγίειαν. οὐ μὴν ἀλλὰ καὶ τοῖς πολιτικοῖς ἔφη παραινετέον εἶναι τοὐναντίον οὗ Πλάτων παρήνει τοῖς νέοις. ἐκεῖνος μὲν γὰρ λέγειν ἐκ τῆς διατριβῆς ἀπαλλαττόμενος εἰώθει 'ἄγε, ὅπως εἰς καλόν τι καταθήσεσθε τὴν σχολήν, ὦ παῖδες· ἡμεῖς δ' ἂν τοῖς πολιτευομένοις παραινέσαιμεν εἰς τὰ καλὰ χρῆσθαι τοῖς πόνοις καὶ ἀναγκαῖα, μὴ μικρῶν ἕνεκα μηδὲ φαύλων τὸ σῶμα παρατείνοντας, ὥσπερ οἱ πολλοὶ κακοπαθοῦσιν ἐπὶ τοῖς τυχοῦσιν, ἀποκναίοντες ἑαυτοὺς ἀγρυπνίαις καὶ πλάναις καὶ περιδρομαῖς εἰς E οὐδὲν χρηστὸν οὐδ' ἀστεῖον, ἀλλ' ἐπηρεάζοντες ἑτέροις ἢ φθονοῦντες ἢ φιλονεικοῦντες ἢ δόξας ἀκάρπους καὶ κενὰς διώκοντες. πρὸς τούτους γὰρ οἶμαι μάλιστα τὸν Δημόκριτον εἰπεῖν ὡς εἰ τὸ σῶμα δικάσαιτο τῇ ψυχῇ κακώσεως, οὐκ ἂν αὐτὴν ἀποφυγεῖν.

1, 403—405 H. 6, 362—364 R.

1. ἀχρηστίας καὶ ἡσυχίας W: ἀχρηστία καὶ ἡσυχία 3. φιλανθρώπους Xylander: ἀφιλανθρώπους 7. διυγίαινε W: δι' ὑγίειαν 10. πάσης idem: πάσης καὶ 14. Πλάτων] Legg. I. p. 643 B 20. ὥσπερ Reiskius: ὡς γὰρ

Digitized by Google

ἴσως μὲν γάρ τοι καὶ Θεόφραστος ἀληθὲς εἶπεν, εἰπὼν ἐν μεταφορᾷ πολὺ τῷ σώματι τελεῖν ἐνοίκιον τὴν ψυχήν. πλείονα μέντοι τὸ σῶμα τῆς ψυχῆς ἀπολαύει κακὰ μὴ κατὰ λόγον αὐτῷ χρωμένης μηδ' ὡς προσήκει θεραπευόμενον· ὅταν γὰρ ἐν πάθεσιν ἰδίοις γένηται καὶ ἀγῶσι καὶ σπουδαῖς, ἀφειδεῖ τοῦ σώμα-
F τος. ὁ μὲν οὖν Ἰάσων οὐκ οἶδα ὅ τι παθὼν 'τὰ μικρὰ δεῖν ἀδικεῖν' ἔλεγεν 'ἕνεκεν τοῦ τὰ μεγάλα δικαιοπραγεῖν'. ἡμεῖς δ' ἂν εὐλόγως τῷ πολιτικῷ παραινέσαιμεν τὰ μικρὰ ῥᾳθυμεῖν καὶ σχολάζειν καὶ ἀναπαύειν αὐτὸν ἐν ἐκείνοις, εἰ βούλεται πρὸς τὰς
136 καλὰς πράξεις καὶ μεγάλας μὴ διάπονον ἔχειν τὸ σῶμα μηδ' ἀμβλὺ μηδ' ἀπαγορεῦον ἀλλ' ὥσπερ ἐν νεωλκίᾳ τῇ σχολῇ τεθεραπευμένον, ὅπως αὖθις ἐπὶ τὰς χρείας τῆς ψυχῆς ἀγούσης

'ἄθηλος ἵππῳ πῶλος ὡς ἅμα τρέχῃ'.

23. Διὸ τῶν πραγμάτων διδόντων ἀναληπτέον ἑαυτοὺς μήθ' ὕπνου φθονοῦντας τῷ σώματι μήτ' ἀρίστου μήτε ῥᾳστώνης τὸν μέσον ἡδυπαθείας καὶ κακοπαθείας φυλάττοντας ὅρον, ὃν οἱ πολλοὶ μὴ φυλάττοντες ἐπιτρίβουσι τὸ σῶμα ταῖς μεταβολαῖς, ὥσπερ τὸν βαπτόμενον σίδηρον, ὅταν ἐνταθῇ καὶ πιεσθῇ σφόδρα τοῖς πόνοις, αὖθις ἐν ἡδοναῖς τηκόμενον ἀμέ-
B τρως καὶ λειβόμενον, εἶτα πάλιν ἐξ ἀφροδισίων καὶ οἴνου διάλυτον καὶ μαλακὸν εἰς ἀγορὰν ἢ αὐλὴν ἤ τινα πραγματείαν διαπύρου καὶ συντόνου δεομένην σπουδῆς ἐλαυνόμενον. Ἡράκλειτος μὲν γὰρ ὑδρωπιά-

1, 405—406 H. 6, 514—515 R.

1. τοι Reiskius: τι 16. Bergk. p. 738[8] 19. τὸν Salmasius: τὸ κακοπαθείας idem: κακοπαθείας μήτε 20. φυλάττοντας W: φυλαττούσης ὃν οἱ πολλοὶ μὴ Salmasius: οἷον οἱ πολλοὶ 24. λειβόμενον W: θλιβόμενον

Digitized by Google

cας ἐκέλευεν 'αὐχμὸν ἐξ ἐπομβρίας' ποιῆσαι τὸν ἰατρόν· οἱ δὲ πολλοὶ τοῦ παντὸς ἁμαρτάνουσιν, ὅταν ἐν κόποις καὶ πόνοις καὶ ἐνδείαις γένωνται, μάλιστα ταῖς ἡδοναῖς ἐξυγραίνειν καὶ ἀνατήκειν τὰ σώματα παραδιδόντες, αὖθις δὲ μετὰ τὰς ἡδονὰς οἷον ἐπιστρέφοντες καὶ κατατείνοντες. ἡ γὰρ φύσις οὐ ζητεῖ τοιαύτην ἀνταπόδοσιν τοῦ σώματος. ἀλλὰ τῆς ψυχῆς τὸ ἀκόλαστον καὶ ἀνελεύθερον ἐκ τῶν ἐπιπόνων ὥσπερ οἱ ναῦται πρὸς ἡδονὰς καὶ ἀπολαύσεις ὕβρει φερόμενον καὶ μετὰ τὰς ἡδονὰς πάλιν ἐπ' ἐργασίας καὶ πορισμοὺς ὠθούμενον οὐκ ἐᾷ λαβεῖν τὴν φύσιν ἧς μάλιστα δεῖται κατασκάσεως καὶ γαλήνης, ἀλλ' ἐξίστησι καὶ ταράττει διὰ τὴν ἀνωμαλίαν. οἱ δὲ νοῦν ἔχοντες ἥκιστα μὲν ἡδονὰς πονοῦντι τῷ σώματι προσφέρουσιν· οὐ γὰρ δέονται τὸ παράπαν οὐδὲ μέμνηνται τῶν τοιούτων πρὸς τῷ καλῷ τῆς πράξεως τὴν διάνοιαν ἔχοντες, καὶ τῷ χαίροντι τῆς ψυχῆς ἢ σπουδάζοντι τὰς ἄλλας ἐξαμαυροῦντες ἐπιθυμίας. ὅπερ γάρ φασιν εἰπεῖν τὸν Ἐπαμεινώνδαν μετὰ παιδιᾶς, ἀνδρὸς ἀγαθοῦ περὶ τὰ Λευκτρικὰ νόσῳ τελευτήσαντος, 'ὦ Ἡράκλεις, πῶς ἐσχόλασεν ἀνὴρ ἀποθανεῖν ἐν τοσούτοις πράγμασι', τοῦτ' ἀληθῶς ἔστιν εἰπεῖν ἐπ' ἀνδρὸς ἢ πολιτικὴν πρᾶξιν ἢ φιλόσοφον φροντίδα διὰ χειρὸς ἔχοντος, 'τίς δὲ σχολὴ τῷ ἀνδρὶ τούτῳ νῦν ἀπεπτεῖν ἢ μεθύειν ἢ λαγνεύειν;' γενόμενοι δὲ πάλιν ἀπὸ τῶν πράξεων ἐν ἡσυχίᾳ κατατίθενται τὸ σῶμα καὶ διαναπαύουσι, τῶν τε πόνων τοὺς ἀχρήστους καὶ μᾶλλον ἔτι τῶν ἡδονῶν τὰς οὐκ ἀναγκαίας ὡς τῇ φύσει πολεμίας φυλαττόμενοι καὶ φεύγοντες.

1, 406—407 H. 6, 515—517 R.

17. τῷ χαίροντι W: τὸ χαῖρον 18. σπουδάζοντι Halmius: σπουδάζον τὰς ἄλλας — ἐπιθυμίας Xylander: ταῖς ἄλλαις — ἐπιθυμίαις

Digitized by Google

26. Ἤκουσα Τιβέριόν ποτε Καίσαρα εἰπεῖν ὡς ἀνὴρ ὑπὲρ ἑξήκοντα γεγονὼς ἔτη καὶ προτείνων ἰατρῷ χεῖρα καταγέλαστός ἐστιν. ἐμοὶ δὲ τοῦτο μὲν εἰρῆσθαι δοκεῖ σοβαρώτερον, ἐκεῖνο δ' ἀληθὲς εἶναι, τὸ δεῖν ἕκαστον αὑτοῦ μήτε σφυγμῶν ἰδιότητος εἶναι ἄπειρον (πολλαὶ γὰρ αἱ καθ' ἕκαστον διαφοραί) μήτε κρᾶσιν ἀγνοεῖν ἣν ἔχει τὸ σῶμα θερμότητος καὶ ξηρότητος, μήθ' οἷς ὠφελεῖσθαι χρώμενον ἢ βλάπτεσθαι πέφυκεν. αὑτοῦ γὰρ ἀναίσθητός ἐστιν καὶ τυφλὸς ἐνοικεῖ τῷ σώματι καὶ κωφὸς ὁ ταῦτα μανθάνων παρ' ἑτέρου καὶ πυνθανόμενος τοῦ ἰατροῦ πότερον μᾶλλον θέρους ἢ χειμῶνος ὑγιαίνει, καὶ πότερον τὰ ὑγρὰ ῥᾷον ἢ τὰ ξηρὰ προσδέχεται, καὶ πότερον φύσει πυκνὸν ἔχει τὸν σφυγμὸν ἢ μανόν· καὶ γὰρ ὠφέλιμον εἰδέναι τὰ τοιαῦτα καὶ ῥᾴδιον, ἀεί γε δὴ πειρωμένους καὶ συνόντας. βρωμάτων δὲ καὶ πωμάτων τὰ χρήσιμα μᾶλλον ἢ τὰ ἡδέα γιγνώσκειν προσήκει, καὶ μᾶλλον ἔμπειρον εἶναι τῶν εὐστομάχων ἢ τῶν εὐστόμων, καὶ τῶν τὴν πέψιν μὴ ταραττόντων ἢ τῶν τὴν 137 γεῦσιν σφόδρα γαργαλιζόντων. τὸ γὰρ παρ' ἰατροῦ πυνθάνεσθαι τί δύσπεπτον ἢ εὔπεπτον αὐτῷ καὶ τί δυσκοίλιον ἢ εὐκοίλιον οὐχ ἧττον αἰσχρόν ἐστιν ἢ τὸ πυνθάνεσθαι τί γλυκὺ καὶ πικρὸν καὶ αὐστηρόν. νῦν δὲ τοὺς μὲν ὀψοποιοὺς ἐπανορθοῦσιν, ἐμπείρως διαισθανόμενοι ποῦ πλέον τὸ γλυκὺ τοῦ προσήκοντος ἢ τὸ ἁλμυρὸν ἢ τὸ αὐστηρὸν ἔνεστιν· αὐτοὶ δ' ἀγνοοῦσι τί τῷ σώματι μιχθὲν ἐλαφρὸν καὶ ἄλυπον ἔσται καὶ χρήσιμον. ὅθεν ζωμοῦ μὲν ἅρτυσις οὐ πολλάκις ἁμαρτάνεται παρ' αὐτοῖς, αὐτοὺς δ' ὁμοῦ φαύλως καὶ B κακῶς ἀρτύοντες ὁσημέραι πολλὰ παρέχουσι πράγμα-

407—408 H. 6, 517—519 R.

1. ἤκουσα W: ἤκουσα τοίνυν

Digitized by Google

τα τοῖς ἰατροῖς. Ζωμὸν μὲν γὰρ οὐκ ἄριστον ἡγοῦνται τὸν γλυκύτατον, ἀλλὰ πολλὰ καὶ δριμέα συμμιγνύουσιν· εἰς δὲ τὸ σῶμα πολλὰς καὶ κατακόρους ἐμβάλλουσιν ἡδονάς, τὰ μὲν ἀγνοοῦντες τὰ δ' οὐ μνημονεύοντες ὅτι τοῖς ὑγιεινοῖς καὶ ὠφελίμοις ἡ φύσις ἡδονὴν ἄλυπον καὶ ἀμεταμέλητον προστίθησιν. ἀλλὰ καὶ ταῦτα δεῖ μνημονεύειν, τὰ σύμφυλα καὶ πρόσφορα τῷ σώματι καὶ τοὐναντίον ἐν ταῖς καθ' ὥραν μεταβολαῖς καὶ ταῖς ἄλλαις περιστάσεσιν, εἰδότας οἰκείως προσαρμόττειν ἑκάστῳ τὴν δίαιταν.

25. Ὅσα μὲν γὰρ μικρολογίας καὶ ἀνελευθερίας C
προσκρούματα λαμβάνουσιν οἱ πολλοὶ περί τε συγκομιδὰς καρπῶν καὶ τηρήσεις ἐπιπόνους, ἀγρυπνίαις καὶ περιδρομαῖς ἐξελέγχοντες τὰ καθρὰ καὶ ὕπουλα τοῦ σώματος, οὐκ ἄξιόν ἐστι δεδιέναι μὴ πάθωσιν ἄνδρες φιλόλογοι καὶ πολιτικοί, πρὸς οὓς ἐνέστηκεν ἡμῖν ὁ λόγος· ἀλλ' ἑτέραν τινὰ φυλακτέον ἐστὶ τούτοις δριμυτέραν ἐν γράμμασι καὶ μαθήμασι μικρολογίαν, ὑφ' ἧς ἀφειδεῖν καὶ ἀμελεῖν τοῦ σώματος ἀναγκάζονται, πολλάκις ἀπαγορεύοντος οὐκ ἐνδιδόντες ἀλλὰ προς- D
βιαζόμενοι θνητὸν ἀθανάτοις καὶ γηγενὲς Ὀλυμπίοις συνεξαμιλλᾶσθαι καὶ συνεξανύτειν. εἶτα ὡς ὁ βοῦς πρὸς τὴν ὁμόδουλον ἔλεγε κάμηλον, ἐπικουφίσαι τοῦ φορτίου μὴ βουλομένην· 'ἀλλὰ κἀμὲ καὶ ταῦτα πάντα μετὰ μικρὸν οἴσεις', ὃ καὶ συνέβη τελευτήσαντος αὐτοῦ, οὕτως ἡ ψυχὴ μικρὰ χαλάσαι καὶ παρεῖναι μὴ βουλομένη πονοῦντι καὶ δεομένῳ, μετ' ὀλίγον πυρετοῦ τινος ἢ σκοτώματος ἐμπεσόντος

1, 408—409 H. 6, 519—520 R.

26. οὕτως ἡ ψυχὴ*: οὕτω συμβαίνει τῇ ψυχῇ μικρὰ Meziriacus: καὶ μικρὰ 27. βουλομένη*: βουλομένῃ

ἀφεῖσα τὰ βιβλία καὶ τοὺς λόγους καὶ τὰς διατριβὰς ἀναγκάζεται συννοεῖν ἐκείνῳ καὶ συγκάμνειν. ὀρθῶς
E οὖν ὁ Πλάτων παρήνεσε μήτε σῶμα κινεῖν ἄνευ ψυχῆς μήτε ψυχὴν ἄνευ σώματος, ἀλλ' οἷόν τινα ξυνωρίδος ἰσορροπίαν διαφυλάττειν, ὅτι μάλιστα τῇ ψυχῇ συνεργεῖ τὸ σῶμα καὶ συγκάμνει, πλείστην ἐπιμέλειαν αὐτῷ καὶ θεραπείαν ἀποδιδόντας καὶ τὴν καλὴν καὶ ἱεράσμιον ὑγίειαν ὧν δίδωσιν ἀγαθῶν κάλλιστον ἡγουμένους διδόναι τὸ πρὸς κτῆσιν ἀρετῆς καὶ χρῆσιν ἔν τε λόγοις καὶ πράξεσιν ἀκώλυτον αὐτῶν.

1, 409—410 H. 6, 520—521 R.

2. Πλάτων] Tim. p. 88 B. Phaedr. p. 246 B 5. ὅτι Reiskius: ὅτε 8. ὑγίειαν idem: ὑγίειαν ἀποδιδόντας

Digitized by Google

ΠΛΟΥΤΑΡΧΟΣ ΠΟΛΛΙΑΝΩι ΚΑΙ ΕΥΡΥΔΙΚΗι ΕΥ ΠΡΑΤΤΕΙΝ.

Μετὰ τὸν πάτριον θεσμόν, ὃν ὑμῖν ἡ τῆς Δήμητρος B
ἱέρεια συνειργνυμένοις ἐφήρμοσεν, οἶμαι καὶ τὸν λό-
γον ὁμοῦ συνεφαπτόμενον ὑμῶν καὶ συνυμεναιοῦντα
χρήσιμον ἄν τι ποιῆσαι καὶ τῷ νόμῳ προσῳδόν. ἐν
μὲν γὰρ τοῖς μουσικοῖς ἕνα τῶν αὐλητικῶν νόμων
ἱππόθορον ἐκάλουν, μέλος τι τοῖς ἵπποις ὁρμῆς ἐπε-
γερτικὸν ὡς ἔοικεν ἐνδιδόντα πρὸς τὰς ὀχείας· φι-
λοσοφίᾳ δὲ πολλῶν λόγων καὶ καλῶν ἐνόντων, οὐ-
δενὸς ἧττον ἄξιος σπουδῆς ὁ γαμήλιός ἐστιν οὗτος, C
ᾧ κατᾴδουσα τοὺς ἐπὶ βίου κοινωνίᾳ συνιόντας εἰς
ταὐτὸ πράους τε παρέχει καὶ χειροήθεις ἀλλήλοις. ὧν
οὖν ἀκηκόατε πολλάκις ἐν φιλοσοφίᾳ παρατρεφόμενοι
κεφάλαια συντάξας ἔν τισιν ὁμοιότησι βραχείαις, ὡς
εὐμνημόνευτα μᾶλλον εἴη, κοινὸν ἀμφοτέροις πέμπω
δῶρον, εὐχόμενος τῇ Ἀφροδίτῃ τὰς Μούσας παρεῖναι
καὶ συνεργεῖν, ὡς μήτε λύραν τινὰ μήτε κιθάραν
μᾶλλον αὐταῖς ἢ τὴν περὶ γάμον καὶ οἶκον ἐμμέλειαν

1, 410–411 H. 6, 522–523 R.

7. πρὸς Reiskius: περὶ

Digitized by Google

ἡρμοσμένην παρέχειν διὰ λόγου καὶ ἁρμονίας καὶ φιλοσοφίας προσῆκον. καὶ γὰρ οἱ παλαιοὶ τῇ Ἀφροδίτῃ τὸν Ἑρμῆν συγκαθίδρυσαν, ὡς τῆς περὶ τὸν γάμον ἡδονῆς μάλιστα λόγου δεομένης, τήν τε Πειθὼ καὶ
D τὰς Χάριτας, ἵνα πείθοντες διαπράττωνται παρ' ἀλλήλων ἃ βούλονται, μὴ μαχόμενοι μηδὲ φιλονεικοῦντες.

1. Ὁ Σόλων ἐκέλευε τὴν νύμφην τῷ νυμφίῳ συγκατακλίνεσθαι μήλου κυδωνίου κατατραγοῦσαν, αἰνιττόμενος ὡς ἔοικεν ὅτι δεῖ τὴν πρώτην ἀπὸ στόματος καὶ φωνῆς χάριν εὐάρμοστον εἶναι καὶ ἡδεῖαν.

2. Ἐν Βοιωτίᾳ τὴν νύμφην κατακαλύψαντες ἀσφραγίᾳ στεφανοῦσιν· ἐκείνη τε γὰρ ἥδιστον ἐκ τραχυτάτης ἀκάνθης καρπὸν ἀναδίδωσιν, ἥ τε νύμφη τῷ μὴ φυτόντι μήτε δυσχεράναντι τὴν πρώτην χαλεπότητα καὶ ἀηδίαν αὐτῆς ἥμερον καὶ γλυκεῖαν παρέξει
E συμβίωσιν. οἱ δὲ τὰς πρώτας τῶν παρθένων διαφορὰς μὴ ὑπομείναντες οὐδὲν ἀπολείπουσι τῶν διὰ τὸν ὄμφακα τὴν σταφυλὴν ἑτέροις προϊεμένων. πολλαὶ δὲ καὶ τῶν νεογάμων δυσχεράναται διὰ τὰ πρῶτα τοὺς νυμφίους ὅμοιον ἔπαθον πάθος τοῖς τὴν μὲν πληγὴν τῆς μελίττης ὑπομείναται, τὸ δὲ κηρίον προεμένοις.

3. Ἐν ἀρχῇ μάλιστα δεῖ τὰς διαφορὰς καὶ τὰς προσκρούσεις φυλάττεσθαι τοὺς γεγαμηκότας, ὁρῶντας ὅτι καὶ τὰ συναρμοσθέντα τῶν σκευῶν κατ' ἀρχὰς μὲν ὑπὸ τῆς τυχούσης ῥᾳδίως διασπᾶται προφάF σεως, χρόνῳ δὲ τῶν ἁρμῶν σύμπηξιν λαβόντων μόλις ὑπὸ πυρὸς καὶ σιδήρου διαλύεται.

1, 411—412 H. 6, 523—525 R.

10. πρώτην* 11. εἶναι*: εἶναι πρώτην 13. ἀσφραγίᾳ*: ἀσφραγωνιᾷ

Digitized by Google

4. Ὥσπερ τὸ πῦρ ἐξάπτεται μὲν εὐχερῶς ἐν ἀχύροις καὶ θρυαλλίδι καὶ θριξὶ λαγῴαις, σβέννυται δὲ τάχιον ἂν μή τινος ἑτέρου δυναμένου στέγειν ἅμα καὶ τρέφειν ἐπιλάβηται, οὕτω τὸν ἀπὸ σώματος καὶ ὥρας ὀξὺν ἔρωτα τῶν νεογάμων ἀναφλεγόμενον δεῖ μὴ διαρκῆ μηδὲ βέβαιον νομίζειν, ἂν μὴ περὶ τὸ ἦθος ἱδρυθεὶς καὶ τοῦ φρονοῦντος ἁψάμενος ἔμψυχον λάβῃ διάθεσιν.

5. Ἡ διὰ τῶν φαρμάκων θήρα ταχὺ μὲν αἱρεῖ 139
καὶ λαμβάνει ῥᾳδίως τὸν ἰχθύν, ἄβρωτον δὲ ποιεῖ καὶ φαῦλον· οὕτως αἱ φίλτρα τινὰ καὶ γοητείας ἐπιτεχνώμεναι τοῖς ἀνδράσι καὶ χειρούμεναι δι' ἡδονῆς αὐτοὺς ἐμπλήκτοις καὶ ἀνοήτοις καὶ διεφθαρμένοις συμβιοῦσιν. οὐδὲ γὰρ τὴν Κίρκην ὤνησαν οἱ καταφαρμακευθέντες, οὐδ' ἐχρήσατο πρὸς οὐδὲν αὐτοῖς ὑσὶ καὶ ὄνοις γενομένοις, τὸν δ' Ὀδυσσέα νοῦν ἔχοντα καὶ συνόντα φρονίμως ὑπερηγάπησεν.

6. Αἱ βουλόμεναι μᾶλλον ἀνοήτων κρατεῖν ἀνδρῶν ἢ φρονίμων ἀκούειν ἐοίκασι τοῖς ἐν ὁδῷ βουλομένοις μᾶλλον ὁδηγεῖν τυφλοὺς ἢ τοῖς γιγνώσκουσιν ἀκολουθεῖν καὶ βλέπουσι.

7. Τὴν Πασιφάην ἀπιστοῦσι βοῦς ἐρασθῆναι βασι- B
λεῖ συνοῦσαν, ἐνίας ὁρῶσαι τοὺς μὲν αὐστηροὺς καὶ σώφρονας βαρυνομένας, τοῖς δ' ἐξ ἀκρασίας καὶ φιλοδονίας κεκρατημένοις ὥσπερ κυσὶν ἢ τράγοις ἥδιον συνούσας.

8. Οἱ τοῖς ἵπποις ἐφάλλεσθαι μὴ δυνάμενοι δι' ἀσθένειαν ἢ μαλακίαν αὐτοὺς ἐκείνους ὀκλάζειν καὶ

1, 412—413 H. 6, 525—526 R.

20. τυφλοὺς Stobaeus Floril. LXXXV 9: τυφλοῖς
25. κεκρατημένοις Coraes: κεκραμένοις

Digitized by Google

ὑποπίπτειν διδάσκουσιν· οὕτως ἔνιοι τῶν λαβόντων εὐγενεῖς ἢ πλουσίας γυναῖκας οὐχ ἑαυτοὺς ποιοῦσι βελτίους ἀλλ' ἐκείνας περικολούουσιν, ὡς μᾶλλον ἄρξοντες ταπεινῶν γενομένων. δεῖ δ' ὥσπερ ἵππου τὸ μέγεθος φυλάττοντα καὶ τὸ ἀξίωμα τῆς γυναικὸς χρῆσθαι τῷ χαλινῷ.

C 9. Τὴν σελήνην, ὅταν ἀποστῇ τοῦ ἡλίου, περιφανῆ καὶ λαμπρὰν ὁρῶμεν, ἀφανίζεται δὲ καὶ κρύπτεται πλησίον γενομένη· τὴν δὲ σώφρονα γυναῖκα δεῖ τοὐναντίον ὁρᾶσθαι μάλιστα μετὰ τοῦ ἀνδρὸς οὖσαν, οἰκουρεῖν δὲ καὶ κρύπτεσθαι μὴ παρόντος.

10. Οὐκ ὀρθῶς ὁ Ἡρόδοτος εἶπεν ὅτι ἡ γυνὴ ἅμα τῷ χιτῶνι ἐκδύεται καὶ τὴν αἰδῶ· τοὐναντίον γὰρ ἡ σώφρων ἀντενδύεται τὴν αἰδῶ, καὶ τοῦ μάλιστα φιλεῖν τῷ μάλιστα αἰδεῖσθαι συμβόλῳ χρῶνται πρὸς ἀλλήλους.

11. Ὥσπερ ἂν φθόγγοι δύο σύμφωνοι ληφθῶσι,
D τοῦ βαρυτέρου γίγνεται τὸ μέλος, οὕτω πᾶσα πρᾶξις ἐν οἰκίᾳ σωφρονούσῃ πράττεται μὲν ὑπ' ἀμφοτέρων ὁμονοούντων, ἐπιφαίνει δὲ τὴν τοῦ ἀνδρὸς ἡγεμονίαν καὶ προαίρεσιν.

12. Ὁ ἥλιος τὸν βορέαν ἐνίκησεν. ὁ γὰρ ἄνθρωπος τοῦ μὲν ἀνέμου βιαζομένου τὸ ἱμάτιον ἀφελέσθαι καὶ λαμπρὸν καταπνέοντος μᾶλλον ἔσφιγγε καὶ συνεῖχε τὴν περιβολήν· τοῦ δ' ἡλίου μετὰ τὸ πνεῦμα θερμοῦ γενομένου θαλπόμενος εἶτα καυματιζόμενος καὶ τὸν χιτῶνα τῷ ἱματίῳ προσαπεδύσατο. τοῦτο ποιοῦσιν αἱ πλεῖσται γυναῖκες. ἀφαιρουμένοις τοῖς
E ἀνδράσι βίᾳ τὴν τρυφὴν καὶ τὴν πολυτέλειαν διαμά-

1, 413—414 H. 6, 526—527 R.

12. Ἡρόδοτος] I 8 14. τοῦ Reiskius: τῷ

Digitized by Google

χονται καὶ χαλεπαίνουσιν· ἂν δὲ πείθωνται μετὰ λόγου, πράως ἀποτίθενται καὶ μετριάζουσιν.

13. Ὁ Κάτων ἐξέβαλε τῆς βουλῆς τὸν φιλήσαντα τὴν ἑαυτοῦ γυναῖκα τῆς θυγατρὸς παρούσης. τοῦτο μὲν οὖν ἴσως σφοδρότερον· εἰ δ' αἰσχρόν ἐστιν, ὥσπερ ἔστιν, ἑτέρων παρόντων ἀσπάζεσθαι καὶ φιλεῖν καὶ περιβάλλειν ἀλλήλους, πῶς οὐκ αἴσχιον ἑτέρων παρόντων λοιδορεῖσθαι καὶ διαφέρεσθαι πρὸς ἀλλήλους, ** τὰς μὲν ἐντεύξεις καὶ φιλοφροσύνας ἀπορρήτους πρὸς τὴν γυναῖκα ποιεῖσθαι, νουθεσίᾳ δὲ καὶ μέμψει καὶ παρρησίᾳ χρῆσθαι φανερᾷ καὶ ἀναπεπταμένῃ; F

14. Ὥσπερ ἐσόπτρου κατεσκευασμένου χρυσῷ καὶ λίθοις ὄφελος οὐδέν ἐστιν, εἰ μὴ δείκνυσι τὴν μορφὴν ὁμοίαν, οὕτως οὐδὲ πλουσίας γαμετῆς ὄνησις, εἰ μὴ παρέχει τὸν βίον ὅμοιον τῷ ἀνδρὶ καὶ σύμφωνον τὸ ἦθος. εἰ χαίροντος μὲν εἰκόνα σκυθρωπὴν ἀποδίδωσι τὸ ἔσοπτρον, ἀχθομένου δὲ καὶ σκυθρωπάζοντος ἱλαρὰν καὶ σεσηρυῖαν, ἡμαρτημένον ἐστὶ καὶ φαῦλον. οὐκοῦν καὶ γυνὴ φαῦλος καὶ ἄκαιρος ἡ παίζειν μὲν ὡρμημένου καὶ φιλοφρονεῖσθαι τοῦ ἀνδρὸς ἐσκυθρωπακυῖα, σπουδάζοντος δὲ παίζουσα καὶ γελῶσα· τὸ μὲν γὰρ ἀηδίας, τὸ δ' ὀλιγωρίας. δεῖ δέ, ὥσπερ οἱ 140 γεωμέτραι λέγουσι τὰς γραμμὰς καὶ τὰς ἐπιφανείας οὐ κινεῖσθαι καθ' ἑαυτὰς ἀλλὰ συγκινεῖσθαι τοῖς σώμασιν, οὕτω τὴν γυναῖκα μηδὲν ἴδιον πάθος ἔχειν, ἀλλὰ κοινωνεῖν τῷ ἀνδρὶ καὶ σπουδῆς καὶ παιδιᾶς καὶ συννοίας καὶ γέλωτος.

15. Οἱ τὰς γυναῖκας μὴ ἡδέως βλέποντες ἐσθιούσας μετ' αὐτῶν διδάσκουσιν ἐμπίπλασθαι μόνας γενο- B

1, 414—415 H. 6, 527—529 R.

8. Signavi hiatum

Digitized by Google

μένας. οὕτως οἱ μὴ συνόντες ἱλαρῶς ταῖς γυναιξὶ μηδὲ παιδιᾶς κοινωνοῦντες αὐταῖς καὶ γέλωτος ἰδίας ἡδονὰς χωρὶς αὐτῶν ζητεῖν διδάσκουσιν.

B 16. Τοῖς τῶν Περσῶν βασιλεῦσιν αἱ γνήσιαι γυναῖκες παρακάθηνται δειπνοῦσι καὶ συνεστιῶνται· βουλόμενοι δὲ παίζειν καὶ μεθύσκεσθαι ταύτας μὲν ἀποπέμπουσι, τὰς δὲ μουσουργοὺς καὶ παλλακίδας καλοῦσιν, ὀρθῶς τοῦτό γε ποιοῦντες, ὅτι τὸ συνακολασταίνειν καὶ παροινεῖν οὐ μεταδιδόασι ταῖς γαμεταῖς. ἂν οὖν ἰδιώτης ἀνήρ, ἀκρατὴς δὲ περὶ τὰς ἡδονὰς καὶ ἀνάγωγος ἐξαμάρτῃ τι πρὸς ἑταίραν ἢ θεραπαινίδα, δεῖ τὴν γαμετὴν μὴ ἀγανακτεῖν μηδὲ χαλεπαίνειν, λογιζομένην ὅτι παροινίας καὶ ἀκολασίας καὶ ὕβρεως αἰδούμενος αὐτὴν ἑτέρᾳ μεταδίδωσιν.

C 17. Οἱ φιλόμουσοι τῶν βασιλέων πολλοὺς μουσικοὺς ποιοῦσιν, οἱ φιλόλογοι λογίους, οἱ φιλαθληταὶ γυμναστικούς. οὕτως ἀνὴρ φιλοσώματος καλλωπίστριαν γυναῖκα ποιεῖ, φιλήδονος ἑταιρικὴν καὶ ἀκόλαστον, φιλάγαθος καὶ φιλόκαλος σώφρονα καὶ κοσμίαν.

18. Λάκαινα παιδίσκη, πυνθανομένου τινὸς εἰ ἤδη ἀνδρὶ προσελήλυθεν 'οὐκ ἔγωγε' εἶπεν 'ἀλλ' ἐμοὶ ἐκεῖνος'. οὗτος ὁ τρόπος, οἶμαι, τῆς οἰκοδεσποίνης, μήτε φεύγειν μήτε δυσχεραίνειν τὰ τοιαῦτα τοῦ ἀνδρὸς ἀρχομένου μήτε αὐτὴν κατάρχεσθαι· τὸ μὲν γὰρ
D ἑταιρικὸν καὶ ἰταμόν, τὸ δ' ὑπερήφανον καὶ ἀφιλόστοργον.

19. Ἰδίους οὐ δεῖ φίλους κτᾶσθαι τὴν γυναῖκα, κοινοῖς δὲ χρῆσθαι τοῖς τοῦ ἀνδρός· οἱ δὲ θεοὶ φίλοι πρῶτοι καὶ μέγιστοι. διὸ καὶ θεοὺς οὓς ὁ ἀνὴρ νομίζει σέβεσθαι τῇ γαμετῇ καὶ γιγνώσκειν μόνους προσή-

1, 415—416 H. 6, 529—531 B.

Digitized by Google

κει, περιέργοις δὲ θρησκείαις καὶ ξέναις δεισιδαιμονίαις ἀποκεκλεῖσθαι τὴν αὔλειον. οὐδενὶ γὰρ θεῶν ἱερὰ κλεπτόμενα καὶ λανθάνοντα δρᾶται κεχαρισμένως ὑπὸ γυναικός.

20. Ὁ Πλάτων φησὶν εὐδαίμονα καὶ μακαρίαν εἶναι πόλιν, ἐν ᾗ 'τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμὸν' ἥκιστα φθεγγομένων ἀκούουσι διὰ τὸ κοινοῖς ὡς ἔνι μάλιστα R χρῆσθαι τοῖς ἀξίοις σπουδῆς τοὺς πολίτας. πολὺ δὲ μᾶλλον ἐκ γάμου δεῖ τὴν τοιαύτην φωνὴν ἀνῃρῆσθαι. πλὴν ὥσπερ οἱ ἰατροὶ λέγουσι τὰς τῶν ϛὐωνύμων πληγὰς τὴν αἴσθησιν ἐν τοῖς δεξιοῖς ἀναφέρειν, οὕτω τὴν γυναῖκα τοῖς τοῦ ἀνδρὸς συμπαθεῖν καλὸν καὶ τὸν ἄνδρα τοῖς τῆς γυναικός, ἵν' ὥσπερ οἱ δεσμοὶ κατὰ τὴν ἐπάλλαξιν ἰσχὺν δι' ἀλλήλων λαμβάνουσιν, οὕτως ἑκατέρου τὴν εὔνοιαν ἀντίστροφον ἀποδιδόντος ἡ κοινωνία σώζηται δι' ἀμφοῖν. καὶ γὰρ ἡ φύσις μίγνυσι διὰ τῶν σωμάτων ἡμᾶς, ἵν' ἐξ ἑκατέρων F μέρος λαβοῦσα καὶ συγχέασα κοινὸν ἀμφοτέροις ἀποδῷ τὸ γεννώμενον, ὥστε μηδ' ἕτερον διορίσαι μηδὲ διακρῖναι τὸ ἴδιον ἢ τὸ ἀλλότριον. αὕτη τοίνυν καὶ χρημάτων κοινωνία προσήκει μάλιστα τοῖς γαμοῦσιν εἰς μίαν οὐσίαν πάντα καταχεαμένοις καὶ ἀναμίξασι μὴ τὸ μέρος ἴδιον καὶ τὸ μέρος ἀλλότριον ἀλλὰ πᾶν ἴδιον ἡγεῖσθαι καὶ μηδὲν ἀλλότριον. ὥσπερ γὰρ τὸ κρᾶμα καίτοι ὕδατος μετέχον πλείονος οἶνον καλοῦμεν, οὕτω τὴν οὐσίαν δεῖ καὶ τὸν οἶκον τοῦ ἀνδρὸς λέγεσθαι, κἂν ἡ γυνὴ πλείονα συμβάλληται.

21. Φιλόπλουτος ἡ Ἑλένη, φιλήδονος ὁ Πάρις· φρόνιμος ὁ Ὀδυσσεύς, σώφρων ἡ Πηνελόπη. διὰ

1, 416—417 H. 6, 530—532 R.

5. Πλάτων] Rep. V. p. 462 C 6. καὶ τὸ Stobaeus Floril. LXXIV 43: καὶ 12. καλὸν*: μᾶλλον 24. γὰρ*

Digitized by Google

141 τοῦτο μακάριος γάμος ὁ τούτων καὶ ζηλωτός, ὁ δ' ἐκείνων Ἰλιάδα κακῶν Ἕλλησι καὶ βαρβάροις ἐποίησεν.

22. Ὁ Ῥωμαῖος ὑπὸ τῶν φίλων νουθετούμενος ὅτι σώφρονα γυναῖκα καὶ πλουσίαν καὶ ὡραίαν ἀπε- 5
πέμψατο, τὸν κάλτιον αὐτοῖς προτείνας 'καὶ γὰρ οὗτος' ἔφη 'καλὸς ἰδεῖν καὶ καινός, ἀλλ' οὐδεὶς οἶδεν ὅπου με θλίβει'. δεῖ τοίνυν μὴ προικὶ μηδὲ γένει μηδὲ κάλλει τὴν γυναῖκα πιστεύειν, ἀλλ' ἐν οἷς ἅπτεται μάλιστα τοῦ ἀνδρός, ὁμιλίᾳ τε καὶ ἤθει καὶ συμπεριφορᾷ, 10
ταῦτα μὴ σκληρὰ μηδ' ἀνιῶντα καθ' ἡμέραν ἀλλ' εὐάρ-
B μοστα καὶ ἄλυπα καὶ προσφιλῆ παρέχειν. ὥσπερ γὰρ οἱ ἰατροὶ τοὺς ἐξ αἰτιῶν ἀδήλων καὶ κατὰ μικρὸν συλλεγομένων γεννωμένους πυρετοὺς μᾶλλον δεδοίκασιν ἢ τοὺς ἐμφανεῖς καὶ μεγάλας προφάσεις ἔχοντας, 15
οὕτω τὰ λανθάνοντα τοὺς πολλοὺς μικρὰ καὶ συνεχῆ καὶ καθημερινὰ προσκρούματα γυναικὸς καὶ ἀνδρὸς μᾶλλον διίστησι καὶ λυμαίνεται τὴν συμβίωσιν.

23. Ὁ βασιλεὺς Φίλιππος ἤρα Θεσσαλῆς γυναικὸς αἰτίαν ἐχούσης καταφαρμακεύειν αὐτόν. ἐσπούδασεν 20
οὖν ἡ Ὀλυμπιὰς λαβεῖν τὴν ἄνθρωπον ὑποχείριον· ὡς δ' εἰς ὄψιν ἐλθοῦσα τό τε εἶδος εὐπρεπὴς ἐφάνη καὶ διελέχθη πρὸς αὐτὴν οὐκ ἀγεννῶς οὐδ' ἀκυνέ-
C τως, 'χαιρέτωσαν' εἶπεν ἡ Ὀλυμπιάς 'αἱ διαβολαί· σὺ γὰρ ἐν σεαυτῇ τὰ φάρμακα ἔχεις'. ἄμαχον οὖν 25
τι γίγνεται πρᾶγμα γαμετὴ γυνὴ καὶ νόμιμος, ἂν ἐν ἑαυτῇ πάντα θεμένη, καὶ προῖκα καὶ γένος καὶ φάρμακα καὶ τὸν κεστὸν αὐτόν, ἤθει καὶ ἀρετῇ κατεργάσηται τὴν εὔνοιαν.

1, 417—418 R. 6, 532—534 R.

6. κάλτιον impressi: κάλκιον π 27. ἑαυτῇ Stobaeus Floril. LXXIV 47: αὑτῇ

Digitized by Google

24. Πάλιν ἡ Ὀλυμπιάς, αὐλικοῦ τινος νεανίσκου γήμαντος εὐπρεπῆ γυναῖκα κακῶς ἀκούουσαν, 'οὗτος' εἶπεν 'οὐκ ἔχει λογισμόν· οὐ γὰρ ἂν τοῖς ὀφθαλμοῖς ἔγημε'. δεῖ δὲ μὴ τοῖς ὄμμασι γαμεῖν μηδὲ τοῖς δακτύλοις, ὥσπερ ἔνιοι ψηφίσαντες πόσα φέρουσαν λαμβάνουσιν, οὐ κρίναντες πῶς συμβιω- D σομένην.

25. Ὁ Σωκράτης ἐκέλευε τῶν ἐσοπτριζομένων νεανίσκων τοὺς μὲν αἰσχροὺς ἐπανορθοῦσθαι τῇ ἀρετῇ, τοὺς δὲ καλοὺς μὴ καταισχύνειν τῇ κακίᾳ τὸ εἶδος. καλὸν οὖν καὶ τὴν οἰκοδέσποιναν, ὅταν ἐν ταῖς χερσὶν ἔχῃ τὸ ἔσοπτρον, αὐτὴν ἑαυτῇ διαλαλεῖν, τὴν μὲν αἰσχράν 'τί οὖν, ἂν μὴ σώφρων γένωμαι;' τὴν δὲ καλήν 'τί οὖν, ἂν καὶ σώφρων γένωμαι;' τῇ γὰρ αἰσχρᾷ σεμνὸν εἰ φιλεῖται διὰ τὸ ἦθος ἢ τὸ κάλλος.

26. Ταῖς Λυσάνδρου θυγατράσιν ὁ τύραννος ὁ Σικελικὸς ἱμάτια καὶ πλόκια τῶν πολυτελῶν ἔπεμψεν· ὁ δὲ Λύσανδρος οὐκ ἔλαβεν εἰπών 'ταῦτα τὰ E κόσμια καταισχυνεῖ μου μᾶλλον ἢ κοσμήσει τὰς θυγατέρας'. πρότερος δὲ Λυσάνδρου Σοφοκλῆς τοῦτο εἶπεν

'οὐ κόσμος, οὔκ, ὦ τλῆμον, ἀλλ' ἀκοσμία
φαίνοιτ' ἂν εἶναι σῶν τε μαργότης φρενῶν'.

'κόσμος γάρ ἐστιν', ὡς ἔλεγε Κράτης, 'τὸ κοσμοῦν'· κοσμεῖ δὲ τὸ κοσμιωτέραν γυναῖκα ποιοῦν. ποιεῖ δὲ τοιαύτην οὔτε χρυσὸς οὔτε σμάραγδος οὔτε κόκκος, ἀλλ' ὅσα σεμνότητος εὐταξίας αἰδοῦς ἔμφασιν περιτίθησιν.

27. Οἱ τῇ γαμηλίᾳ θύοντες Ἥρᾳ τὴν χολὴν οὐ

1, 418—419 H. 6, 534—535 B

12. αὐτὴν Reiskius: αὐτὴν ἐν Nauck. p. 249

20. Σοφοκλῆς]

Digitized by Google

F συγκαθαγίζουσι τοῖς ἄλλοις ἱεροῖς, ἀλλ' ἐξελόντες ἔρριψαν παρὰ τὸν βωμόν, αἰνιττομένου τοῦ νομοθέτου τὸ μηδέποτε δεῖν χολὴν μηδ' ὀργὴν γάμῳ παρεῖναι. δεῖ γὰρ εἶναι τῆς οἰκοδεσποίνης ὥσπερ οἶνου τὸ αὐστηρὸν ὠφέλιμον καὶ ἡδύ, μὴ πικρὸν ὥσπερ ἁλόης, μηδὲ φαρμακῶδες.

28. Ὁ Πλάτων τῷ Ξενοκράτει βαρυτέρῳ τὸ ἦθος ὄντι τἄλλα δὲ καλῷ κἀγαθῷ παρεκελεύετο θύειν ταῖς Χάρισιν. οἶμαι δὴ καὶ τῇ σώφρονι μάλιστα δεῖν πρὸς
142 τὸν ἄνδρα χαρίτων, ἵν', ὡς ἔλεγε Μητρόδωρος, ἡδέως συνοικῇ καὶ 'μὴ ὀργιζομένη ὅτι σωφρονεῖ'. δεῖ γὰρ μήτε τὴν εὐτελῆ καθαριότητος ἀμελεῖν μήτε τὴν φίλανδρον φιλοφροσύνης· ποιεῖ γὰρ ἡ χαλεπότης ἀηδῆ τὴν εὐταξίαν τῆς γυναικός, ὥσπερ ἡ ῥυπαρία τὴν ἀφέλειαν.

29. Ἡ φοβουμένη γελάσαι πρὸς τὸν ἄνδρα καὶ παῖξαί τι, ἵνα μὴ φανῇ θρασεῖα καὶ ἀκόλαστος, οὐδὲν διαφέρει τῆς ἵνα μὴ δοκῇ μυρίζεσθαι τὴν κεφαλὴν μηδ' ἀλειφομένης, καὶ ἵνα μὴ φυκοῦσθαι τὸ πρόσωπον μηδὲ νιπτομένης. ὁρῶμεν δὲ καὶ ποιητὰς καὶ ῥήτορας, ὅσοι φεύγουσι τὸ περὶ τὴν λέξιν ὀχλικὸν καὶ
B ἀνελεύθερον καὶ κακόζηλον, τοῖς πράγμασι καὶ ταῖς οἰκονομίαις καὶ τοῖς ἤθεσιν ἄγειν καὶ κινεῖν τὸν ἀκροατὴν φιλοτεχνοῦντας. διὸ δεῖ καὶ τὴν οἰκοδέσποιναν πᾶν τὸ περιττὸν καὶ πανηγυρικὸν καὶ ἑταιρικόν, εὖ ποιοῦσαν, φεύγειν καὶ παραιτεῖσθαι, μᾶλλον δὲ φιλοτεχνεῖν ἐν ταῖς ἠθικαῖς καὶ βιωτικαῖς χάρισι πρὸς τὸν ἄνδρα, τῷ καλῷ μεθ' ἡδονῆς συνεθίζουσαν αὐτόν. ἂν δ' ἄρα φύσει τις αὐστηρὰ καὶ ἄκρατος γένηται καὶ ἀνήδυντος, εὐγνωμονεῖν δεῖ τὸν ἄνδρα,

1, 419–420 H. 6, 535–537 R.

17. παῖξαι W: πρᾶξαι

Digitized by Google

καὶ καθάπερ ὁ Φωκίων, τοῦ Ἀντιπάτρου πρᾶξιν αὐτῷ προστάττοντος οὐ καλὴν οὐδὲ πρέπουσαν, εἶπεν 'οὐ δύνασαί μοι καὶ φίλῳ χρῆσθαι καὶ κόλακι', οὕτω C λογίζεσθαι περὶ τῆς σώφρονος καὶ αὐστηρᾶς γυναικός 'οὐ δύναμαι τῇ αὐτῇ καὶ ὡς γαμετῇ καὶ ὡς ἑταίρᾳ συνεῖναι'.

30. Ταῖς Αἰγυπτίαις ὑποδήμασι χρῆσθαι πάτριον οὐκ ἦν, ὅπως ἐν οἴκῳ διημερεύσωσι. τῶν δὲ πλείστων γυναικῶν ἂν ὑποδήματα διάχρυσα περιέλῃς καὶ ψέλλια καὶ περισκελίδας καὶ πορφύραν καὶ μαργαρίτας, ἔνδον μένουσιν.

31. Ἡ Θεανὼ παρέφηνε τὴν χεῖρα περιβαλλομένη τὸ ἱμάτιον. εἰπόντος δέ τινος 'καλὸς ὁ πῆχυς', 'ἀλλ' οὐ δημόσιος' ἔφη. δεῖ δὲ μὴ μόνον τὸν πῆχυν ἀλλὰ μηδὲ τὸν λόγον δημόσιον εἶναι τῆς D σώφρονος, ** τὴν φωνὴν ὡς ἀποτύμνωσιν αἰδεῖσθαι καὶ φυλάττεσθαι πρὸς τοὺς ἐκτός· ἐνορᾶται γὰρ αὐτῇ καὶ πάθος καὶ ἦθος καὶ διάθεσις λαλούσης.

32. Τὴν Ἠλείων ὁ Φειδίας Ἀφροδίτην ἐποίησε χελώνην πατοῦσαν, οἰκουρίας σύμβολον ταῖς γυναιξὶ καὶ σιωπῆς. δεῖ γὰρ ἢ πρὸς τὸν ἄνδρα λαλεῖν ἢ διὰ τοῦ ἀνδρός, μὴ δυσχεραίνουσαν εἰ δι' ἀλλοτρίας γλώσσης ὥσπερ αὐλητῆς φθέγγεται σεμνότερον.

33. Οἱ πλούσιοι καὶ οἱ βασιλεῖς τιμῶντες τοὺς φιλοσόφους αὐτούς τε κοσμοῦσι κἀκείνους, οἱ δὲ φιλόσοφοι τοὺς πλουσίους θεραπεύοντες οὐκ ἐκείνους E ποιοῦσιν ἐνδόξους ἀλλ' αὐτοὺς ἀδοξοτέρους. τοῦτο συμβαίνει καὶ περὶ τὰς γυναῖκας. ὑποτάττουσαι μὲν γὰρ ἑαυτὰς τοῖς ἀνδράσιν ἐπαινοῦνται, κρατεῖν δὲ

1, 420—422 H. 6, 537—539 R.

13. εἰπόντος δέ τινος Stobaeus Floril. LXXIV 49: τινὸς δ' εἰπόντος 16. Hiatum significavi

Digitized by Google

βουλόμεναι μᾶλλον τῶν κρατουμένων ἀρχημονοῦσι. κρατεῖν δὲ δεῖ τὸν ἄνδρα τῆς γυναικὸς οὐχ ὡς δεσπότην κτήματος ἀλλ' ὡς ψυχὴν σώματος, συμπαθοῦντα καὶ συμπεφυκότα τῇ εὐνοίᾳ. ὥσπερ οὖν σώματος ἔστι κήδεσθαι μὴ δουλεύοντα ταῖς ἡδοναῖς αὐτοῦ καὶ καῖς ἐπιθυμίαις, οὕτω γυναικὸς ἄρχειν εὐφραίνοντα καὶ χαριζόμενον.

34. Τῶν σωμάτων οἱ φιλόσοφοι τὰ μὲν ἐκ διε-
F στώτων λέγουσιν εἶναι καθάπερ στόλον καὶ στρατόπεδον, τὰ δ' ἐκ συναπτομένων ὡς οἰκίαν καὶ ναῦν, τὰ δ' ἡνωμένα καὶ συμφυᾶ καθάπερ τῶν ζώων ἕκαστον. σχεδὸν οὖν καὶ γάμος ὁ μὲν τῶν ἐρώντων ἡνωμένος καὶ συμφυής ἐστιν, ὁ δὲ τῶν διὰ προῖκας ἢ τέκνα γαμούντων ἐκ συναπτομένων, ὁ δὲ τῶν ** συγκαθευδόντων ἐκ διεστώτων, οὓς συνοικεῖν ἄν τις ἀλλήλοις οὐ συμβιοῦν νομίσειε. δεῖ δέ, ὥσπερ οἱ
143 φυσικοὶ τῶν ὑγρῶν λέγουσι δι' ὅλων γενέσθαι τὴν κρᾶσιν, οὕτω τῶν γαμούντων καὶ σώματα καὶ χρήματα καὶ φίλους καὶ οἰκείους ἀναμιχθῆναι δι' ἀλλήλων. καὶ γὰρ ὁ Ῥωμαῖος νομοθέτης ἐκώλυσε δῶρα διδόναι καὶ λαμβάνειν παρ' ἀλλήλων τοὺς γεγαμηκότας, οὐχ ἵνα μηδενὸς μεταλαμβάνωσιν, ἀλλ' ἵνα πάντα κοινὰ νομίζωσιν.

35. Ἐν Λέπτει τῆς Λιβύης πόλει πάτριόν ἐστι τῇ μετὰ τὸν γάμον ἡμέρᾳ τὴν νύμφην πρὸς τὴν τοῦ νυμφίου μητέρα πέμψασαν αἰτεῖσθαι χύτραν· ἡ δ' οὐ δίδωσιν οὐδέ φησιν ἔχειν, ὅπως ἀπ' ἀρχῆς ἐπισταμένη τὸ τῆς ἑκυρᾶς μητρυιῶδες, ἂν ὕστερόν τι συμβαίνῃ τραχύτερον, μὴ ἀγανακτῇ μηδὲ δυσκολαίνῃ.

1, 422 H. 6, 539—540 R

11. καθάπερ*: καθάπερ ἐστὶ Excidisse videtur ἡδονῆς ἕνεκα

14. Hiatum signavi.

Digitized by Google

τοῦτο δεῖ γιγνώσκουσαν τὴν γυναῖκα θεραπεύειν τὴν πρόφασιν· ἔστι δὲ ζηλοτυπία τῆς μητρὸς ὑπὲρ εὐνοίας B πρὸς αὐτήν. θεραπεία δὲ μία τοῦ πάθους ἰδίᾳ μὲν εὔνοιαν τῷ ἀνδρὶ ποιεῖν πρὸς ἑαυτήν, τὴν δὲ μητρὸς μὴ περισπᾶν μηδ' ἐλαττοῦν.

36. Τοὺς υἱοὺς δοκοῦσι μᾶλλον ἀγαπᾶν αἱ μητέρες ὡς δυναμένους αὐταῖς βοηθεῖν, οἱ δὲ πατέρες τὰς θυγατέρας ὡς δεομένας αὐτῶν βοηθούντων· ἴσως δὲ καὶ τιμῇ τῇ πρὸς ἀλλήλους ὁ ἕτερος τὸ μᾶλλον οἰκεῖον τῷ ἑτέρῳ βούλεται μᾶλλον ἀσπαζόμενος καὶ ἀγαπῶν φανερὸς εἶναι. καὶ τοῦτο μὲν ἴσως ἀδιάφορόν ἐστιν, ἐκεῖνο δ' ἀστεῖον, ἂν ἡ γυνὴ μᾶλλον ἀποκλίναca τῇ τιμῇ πρὸς τοὺς γονέας τοῦ ἀνδρὸς ἢ τοὺς ἑαυτῆς βλέπηται, κἄν τι λυπῆται, πρὸς ἐκείνους C ἀναφέρουca, τοὺς δ' αὐτῆς λανθάνουca. ποιεῖ γὰρ καὶ τὸ πιστεύειν δοκεῖν πιστεύεσθαι, καὶ τὸ φιλεῖν φιλεῖσθαι.

37. Τοῖς περὶ τὸν Κῦρον Ἕλληνι παρήγγειλαν οἱ στρατηγοὶ τοὺς πολεμίους, ἂν μὲν βοῶντες ἐπίωσι, δέχεσθαι μετὰ σιωπῆς, ἂν δ' ἐκεῖνοι σιωπῶσιν, αὐτοὺς μετὰ βοῆς ἀντεξελαύνειν. αἱ δὲ νοῦν ἔχουσαι γυναῖκες ἐν ταῖς ὀργαῖς τῶν ἀνδρῶν κεκραγότων μὲν ἡσυχάζουσι, σιωπῶντας δὲ προσλαλοῦσαι καὶ παραμυθούμεναι καταπραῦνουσιν.

38. Ὀρθῶς ὁ Εὐριπίδης αἰτιᾶται τοὺς τῇ λύρᾳ D χρωμένους παρ' οἶνον· ἔδει γὰρ ἐπὶ τὰς ὀργὰς καὶ τὰ πένθη μᾶλλον τὴν μουσικὴν παρακαλεῖν ἢ προσεκλύειν τοὺς ἐν ταῖς ἡδοναῖς ὄντας. νομίζετε οὖν ὑμεῖς ἁμαρτάνειν τοὺς ἡδονῆς ἕνεκα συγκαθεύδοντας

1, 422—424 H. 6, 540—542 R.

11. ἀδιάφορον Reiskius: διάφορον Med. 190

25. Εὐριπίδης] Med. 190

Digitized by Google

ἀλλήλοις, ὅταν δ' ἐν ὀργῇ τινι γένωνται καὶ διαφορᾷ, χωρὶς ἀναπαυομένους καὶ μὴ τότε μάλιστα τὴν Ἀφροδίτην παρακαλοῦντας, ἰατρὸν οὖσαν τῶν τοιούτων ἀρίστην. ὥς που καὶ ὁ ποιητὴς διδάσκει, τὴν Ἥραν ποιῶν λέγουσαν

'καί σφ' ἄκριτα νείκεα λύσω
E εἰς εὐνὴν ἀνέσασα ὁμωθῆναι φιλότητι'.

39. Ἀεὶ μὲν δεῖ καὶ πανταχοῦ φεύγειν τὸ προσκρούειν τῷ ἀνδρὶ τὴν γυναῖκα καὶ τῇ γυναικὶ τὸν ἄνδρα, μάλιστα δὲ φυλάττεσθαι τοῦτο ποιεῖν ἐν τῷ συναναπαύεσθαι καὶ συγκαθεύδειν. ἡ μὲν γὰρ ὠδίνουσα καὶ δυσφοροῦσα πρὸς τοὺς κατακλίνοντας αὐτὴν ἔλεγε 'πῶς δ' ἂν ἡ κλίνη ταῦτα θεραπεύσειεν οἷς ἐπὶ τῆς κλίνης περιέπεσον;' ὃς δ' ἡ κλίνη γεννᾷ διαφορὰς καὶ λοιδορίας καὶ ὀργάς, οὐ ῥᾴδιόν ἐστιν ἐν ἄλλῳ τόπῳ καὶ χρόνῳ διαλυθῆναι.

40. Ἡ Ἑρμιόνη δοκεῖ τι λέγειν ἀληθὲς λέγουσα
F 'κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν'.
τοῦτο δ' οὐχ ἁπλῶς γιγνόμενόν ἐστιν, ἀλλ' ὅταν αἱ πρὸς τοὺς ἄνδρας διαφοραὶ καὶ ζηλοτυπίαι ταῖς τοιαύταις γυναιξὶ μὴ τὰς θύρας μόνον ἀλλὰ καὶ τὰς ἀκοὰς ἀνοίγωσι. τότε οὖν δεῖ μάλιστα τὴν νοῦν ἔχουσαν ἀποκλείειν τὰ ὦτα καὶ φυλάττεσθαι τὸν ψιθυρισμόν, ἵνα μὴ πῦρ ἐπὶ πῦρ γένηται, καὶ πρόχειρον ἔχειν τὸ τοῦ Φιλίππου. λέγεται γὰρ ἐκεῖνος ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τοὺς Ἕλληνας ὡς εὖ πάσχοντας καὶ κακῶς αὐτὸν λέγοντας εἰπεῖν 'τί οὖν, ἂν κακῶς ποιῶμεν αὐτούς;' ὅταν οὖν αἱ διαβάλλουσαι λέγωσιν ὅτι 'λυπεῖ σε φιλοῦσαν ὁ ἀνὴρ καὶ σω-

1, 424 H. 6, 542—543 R.

4. ὁ ποιητὴς] Ξ 206 209 13. ἂν idem: ἃς 18. Eurip. Andr. 930 28. ἂν*: ἂν καὶ

Digitized by Google

φρονοῦσαν', 'τί οὖν, ἂν μισεῖν αὐτὸν ἄρξωμαι καὶ 144
ἀδικεῖν;'

41. 'Ὁ τὸν δραπέτην ἰδὼν διὰ χρόνου καὶ διώκων, ὡς κατέφυγε φθάσας εἰς μύλωνα, 'ποῦ δ' ἄν' ἔφη 'σὲ μᾶλλον εὑρεῖν ἐβουλήθην ἢ ἐνταῦθα;' γυνὴ τοίνυν διὰ ζηλοτυπίαν ἀπόλειψιν γράφουσα καὶ χαλεπῶς ἔχουσα λεγέτω πρὸς ἑαυτήν 'ποῦ δ' ἂν ἡ ζηλοῦσά με μᾶλλον ἡσθείη θεασαμένη καὶ τί ποιοῦσαν ἢ λυπουμένην καὶ στασιάζουσαν πρὸς τὸν ἄνδρα καὶ τὸν οἶκον καὶ τὸν θάλαμον προϊεμένην;'

42. 'Ἀθηναῖοι τρεῖς ἀρότους ἱεροὺς ἄγουσι, πρῶτον ἐπὶ Σκίρῳ, τοῦ παλαιτάτου τῶν σπόρων ὑπό- B
μνημα, δεύτερον ἐν τῇ 'Ραρίᾳ, τρίτον ὑπὸ πόλιν τὸν καλούμενον Βουζύγιον. τούτων δὲ πάντων ἱερώτερός ἐστιν ὁ γαμήλιος σπόρος καὶ ἄροτος ἐπὶ παίδων τεκνώσει. καλῶς τὴν Ἀφροδίτην ὁ Σοφοκλῆς 'εὔκαρπον Κυθέρειαν' προσηγόρευσε. διὸ δεῖ μάλιστα τούτῳ χρῆσθαι μετ' εὐλαβείας τὸν ἄνδρα καὶ τὴν γυναῖκα, τῶν ἀνιέρων καὶ παρανόμων πρὸς ἑτέρους ἁγνεύοντας ὁμιλιῶν, καὶ μὴ σπείροντας ἐξ ὧν οὐδὲν αὐτοῖς φύεσθαι θέλουσιν ἀλλὰ κἂν γένηται καρπὸς αἰσχύνονται καὶ ἀποκρύπτουσι.

43. Γοργίου τοῦ ῥήτορος ἀναγνόντος ἐν Ὀλυμπίᾳ λόγον περὶ ὁμονοίας τοῖς Ἕλλησιν ὁ Μελάνθιος 'οὗτος ἡμῖν' ἔφη 'συμβουλεύει περὶ ὁμονοίας, ὃς C
αὐτὸν καὶ τὴν γυναῖκα καὶ τὴν θεράπαιναν ἰδίᾳ τρεῖς ὄντας ὁμονοεῖν οὐ πέπεικεν'. ἦν γὰρ ὡς ἔοικέ τις

1, 424—425 H. 6, 543—545 R.

1. τί οὖν] Excidit φήσει ἂν*: ἂν καὶ 10. οἶκον*: οἶκον αὐτὸν 13. πόλιν Xylander: πέλιν 14. ἱερώτερός Madvigius: ἱερώτατός 16. Σοφοκλῆς] Nauck. p. 249 24. Μελάνθιος Xylander: μέλανθος

Digitized by Google

ἔρως τοῦ Γοργίου καὶ ζηλοτυπία τῆς γυναικὸς πρὸς τὸ θεραπαινίδιον. εὖ τοίνυν ἡρμοσμένον τὸν οἶκον εἶναι δεῖ τῷ μέλλοντι ἁρμόττεσθαι πόλιν καὶ ἀγορὰν καὶ φίλους· μᾶλλον γὰρ ἔοικε τὰ τῶν γυναικῶν ἢ τὰ πρὸς γυναῖκας ἁμαρτήματα λανθάνειν τοὺς πολλούς.

44. Εἰ καθάπερ τὸν ἄλουρον ὀδμῇ μύρων ἐκταράττεσθαι καὶ μαίνεσθαι λέγουσιν, οὕτω τὰς γυναῖκας
D ἀγριαίνειν καὶ παραφρονεῖν ὑπὸ μύρων συνέβαινε, δεινὸν ἦν μὴ ἀπέχεσθαι μύρου τοὺς ἄνδρας, ἀλλὰ δι' ἡδονὴν αὐτῶν βραχεῖαν οὕτω κακουμένας περιορᾶν. ἐπεὶ τοίνυν ταῦτα πάσχουσιν οὐ μυριζομένων τῶν ἀνδρῶν ἀλλὰ συγγιγνομένων ἑτέραις, ἄδικόν ἐστιν ἡδονῆς ἕνεκα μικρᾶς ἐπὶ τοσοῦτο λυπεῖν καὶ συνταράττειν τὰς γυναῖκας καὶ μή, καθάπερ ταῖς μελίτταις, αἳ δοκοῦσι δυσχεραίνειν καὶ μάχεσθαι τοῖς μετὰ γυναικῶν γενομένοις, ἁγνοὺς καὶ καθαρεύοντας ἑτέρων συνουσίας προσιέναι ταῖς γυναιξίν.

45. Οἱ προσιόντες ἐλέφαντα ἐσθῆτα λαμπρὰν οὐ λαμβάνουσιν, οὐδὲ φοινικίδας οἱ ταύροις· διαγριαίνε-
E ται γὰρ ὑπὸ τῶν χρωμάτων τούτων μάλιστα τὰ ζῷα· τὰς δὲ τίγρεις φασὶ περιτυμπανιζομένας ἐκμαίνεσθαι παντάπασι καὶ διασπᾶν ἑαυτάς. ἐπεὶ τοίνυν καὶ τῶν ἀνδρῶν οἱ μὲν ἐσθῆτας κοκκίνας καὶ πορφυρᾶς ὁρῶντες δυσανασχετοῦσιν, οἳ δὲ κυμβάλοις καὶ τυμπάνοις ἄχθονται, τί δεινὸν ἀπέχεσθαι τούτων τὰς γυναῖκας καὶ μὴ ταράττειν μηδὲ παροξύνειν τοὺς ἄνδρας, ἀλλὰ συνεῖναι μετ' εὐσταθείας καὶ πραότητος;

46. Γυνή τις πρὸς τὸν Φίλιππον ἄκουσαν ἐφελ-

1, 425—426 H. 6, 545—546 R.

4. τοσοῦτο Reiskius: τοσούτῳ 16. αἳ*: ὅτι

Digitized by Google

κόμενον αὐτήν 'ἄφες με' εἶπε· 'πᾶσα γυνὴ τοῦ λύχνου ἀρθέντος ἡ αὐτή ἐστι'. τοῦτο πρὸς τοὺς μοιχικοὺς καὶ ἀκολάστους εἴρηται καλῶς, τὴν δὲ γαμετὴν δεῖ μάλιστα τοῦ φωτὸς ἀρθέντος εἶναι μὴ τὴν αὐτὴν ταῖς τυχούσαις γυναιξίν, ἀλλὰ φαίνεσθαι τοῦ σώματος μὴ βλεπομένου τὸ σῶφρον αὐτῆς καὶ ἴδιον τῷ ἀνδρὶ καὶ ὑποτεταγμένον καὶ φιλόστοργον. F

47. Ὁ Πλάτων τοῖς πρεσβύταις μᾶλλον παρήνει αἰσχύνεσθαι τοὺς νέους, ἵνα κἀκεῖνοι πρὸς αὐτοὺς αἰδημόνως ἔχωσιν· 'ὅπου' γὰρ 'ἀναισχυντοῦσι γέροντες', οὐδεμίαν αἰδῶ τοῖς νέοις οὐδ' εὐλάβειαν ἐγγίγνεσθαι. τούτου δεῖ μεμνημένον τὸν ἄνδρα μηδένα μᾶλλον αἰδεῖσθαι τῆς γυναικός, ὡς τὸν θάλαμον αὐτῇ διδασκαλεῖον εὐταξίας ἢ ἀκολασίας γενησόμενον. ὁ δὲ τῶν αὐτῶν ἡδονῶν αὐτὸς μὲν ἀπολαύων ἐκείνην δ' ἀποτρέπων οὐδὲν διαφέρει τοῦ κελεύοντος διαμάχεσθαι τὴν γυναῖκα πρὸς τοὺς πολεμίους, οἷς αὐτὸς ἑαυτὸν παρέδωκε. 145

48. Περὶ δὲ φιλοκοσμίας σὺ μέν, ὦ Εὐρυδίκη, τὰ πρὸς Ἀρίστυλλαν ὑπὸ Τιμοξένας γεγραμμένα πειρῶ διαμνημονεύειν· σὺ δέ, ὦ Πολλιανέ, μὴ νόμιζε περιεργίας ἀφέξεσθαι τὴν γυναῖκα καὶ πολυτελείας, ἂν ὁρᾷ σε μὴ καταφρονοῦντα τούτων ἐν ἑτέροις, ἀλλὰ καὶ χαίροντα χρυσώσεσιν ἐκπωμάτων καὶ γραφαῖς οἰκηματίων καὶ χλίδωσιν ἡμιόνων καὶ ἵππων περιδεραίοις. οὐ γάρ ἐστιν ἐξελάσαι τῆς γυναικωνίτιδος ἐν μέσῃ τῇ ἀνδρωνίτιδι τὴν πολυτέλειαν ἀναστρεφομένην. B

1, 426—427 H. 6, 546—548 R.

7. ὑποτεταγμένον Reiskius: τεταγμένον 8. Πλάτων] Legg. p. 729 C 20. γεγραμμένα*: γεγραμμένα ἀναγνοῦσα 25. χλίδωσιν Stephanus: χλιδώσεσιν

Digitized by Google

Καὶ σὺ μὲν ὥραν ἔχων ἤδη φιλοσοφεῖν τοῖς μετ' ἀποδείξεως καὶ κατασκευῆς λεγομένοις ἐπικόσμει τὸ ἦθος, ἐντυγχάνων καὶ πλησιάζων τοῖς ὠφελοῦσι· τῇ δὲ γυναικὶ πανταχόθεν τὸ χρήσιμον συνάγων ὥσπερ αἱ μέλιτται καὶ φέρων αὐτὸς ἐν σεαυτῷ μεταδίδου καὶ προσδιαλέγου, φίλους αὐτῇ ποιῶν καὶ συνήθεις τῶν λόγων τοὺς ἀρίστους. πατὴρ μὲν γάρ 'ἐσσι' αὐτῇ 'καὶ πότνια μήτηρ ἠδὲ κασίγνητος'· οὐχ ἧττον δὲ σεμνὸν ἀκοῦσαι γαμετῆς λεγούσης 'ἄνερ, 'ἀτάρ σύ μοί ἐσσι' καθηγητὴς καὶ φιλόσοφος καὶ διδάσκαλος τῶν καλλίστων καὶ θειοτάτων'. τὰ δὲ τοιαῦτα μαθήματα πρῶτον ἀφίστησι τῶν ἀτόπων τὰς γυναῖκας· αἰσχυνθήσεται γὰρ ὀρχεῖσθαι γυνὴ γεωμετρεῖν μανθάνουσα, καὶ φαρμάκων ἐπῳδὰς οὐ προσδέξεται τοῖς Πλάτωνος ἐπᾳδομένη λόγοις καὶ τοῖς Ξενοφῶντος. ἂν δέ τις ἐπαγγέλληται καθαιρεῖν τὴν σελήνην, γελάσεται τὴν ἀμαθίαν καὶ τὴν ἀβελτερίαν τῶν ταῦτα πειθομένων γυναικῶν, ἀστρολογίας μὴ ἀνηκόως ἔχουσα καὶ περὶ Ἀγλαονίκης ἀκηκουῖα τῆς Ἡγήτορος τοῦ Θεσσαλοῦ θυγατρὸς ὅτι τῶν ἐκλειπτικῶν ἔμπειρος οὖσα πανσελήνων καὶ προειδυῖα τὸν χρόνον ἐν ᾧ συμβαίνει τὴν σελήνην ὑπὸ τῆς σκιᾶς ἁλίσκεσθαι, παρεκρούετο καὶ συνέπειθε τὰς γυναῖκας ὡς αὐτὴ καθαιροῦσα τὴν σελήνην. παιδίον μὲν γὰρ οὐδεμία ποτὲ γυνὴ λέγεται κυῆσαι δίχα κοινωνίας ἀνδρός, τὰ δ' ἄμορφα κυήματα καὶ σαρκοειδῆ καὶ σύσταιν ἐν ἑαυτοῖς ἐκ διαφθορᾶς λαμβάνοντα μύλας καλοῦσι. τοῦτο δὴ φυλακτέον ἐν ταῖς ψυχαῖς γίγνεσθαι τῶν γυναικῶν. ἂν γὰρ λόγων

1, 427—429 H. 6, 548—550 B

7. πατὴρ] Homer. Z 429 19. Ἀγλαονίκης Reiskius: ἀγανίκης 25. κυῆσαι W: ποιῆσαι

Digitized by Google

χρηστῶν σπέρματα μὴ δέχωνται μηδὲ κοινωνῶσι παιδείας τοῖς ἀνδράσιν, αὐταὶ καθ' αὑτὰς ἄτοπα πολλὰ E
καὶ φαῦλα βουλεύματα καὶ πάθη κύουσι. σὺ δ', ὦ
Εὐρυδίκη, μάλιστα πειρῶ τοῖς τῶν σοφῶν καὶ ἀγα-
θῶν γυναικῶν ἀποφθέγματα ὁμιλεῖν καὶ διὰ στόμα-
τος ἀεὶ τὰς φωνὰς ἔχειν ἐκείνας ὧν καὶ παρθένος
οὖσα παρ' ἡμῖν ἀνελάμβανες, ὅπως εὐφραίνῃς μὲν
τὸν ἄνδρα, θαυμάζῃ δ' ὑπὸ τῶν ἄλλων γυναικῶν,
οὕτω κοσμουμένη περιττῶς καὶ σεμνῶς ἀπὸ μηδενός.
τοὺς μὲν γὰρ τῆσδε τῆς πλουσίας μαργαρίτας καὶ τὰ
τῆσδε τῆς ξένης σηρικὰ λαβεῖν οὐκ ἔστιν οὐδὲ περι-
θέσθαι μὴ πολλοῦ πριαμένην, τὰ δὲ Θεανοῦς κόσμια
καὶ Κλεοβουλίνης καὶ Γοργοῦς τῆς Λεωνίδου γυναικὸς
καὶ Τιμοκλείας τῆς Θεαγένους ἀδελφῆς καὶ Κλαυδίας F
τῆς παλαιᾶς καὶ Κορνηλίας τῆς Σκιπίωνος καὶ ὅσαι
ἐγένοντο θαυμασταὶ καὶ περιβόητοι, ταῦτα δ' ἔξεστι
περικειμένην προῖκα καὶ κοσμουμένην αὐτοῖς ἐνδόξως
ἅμα βιοῦν καὶ μακαρίως. εἰ γὰρ ἡ Σαπφὼ διὰ τὴν
ἐν τοῖς μέλεσι καλλιγραφίαν ἐφρόνει τηλικοῦτον ὥστε 146
γράψαι πρός τινα πλουσίαν

'κατθάνοισα δὲ κείσεαι, οὐδέ τις μναμοσύνα σέθεν
ἔσσεται· οὐ γὰρ πεδέχεις ῥόδων
τῶν ἐκ Πιερίας',

πῶς οὐχί σοι μᾶλλον ἐξέσται μέγα φρονεῖν ἐφ' ἑαυ-
τῇ καὶ λαμπρόν, ἂν μὴ τῶν ῥόδων ἀλλὰ τῶν καρ-
πῶν μετέχῃς, ὧν αἱ Μοῦσαι φέρουσιν καὶ χαρίζονται
τοῖς παιδείαν καὶ φιλοσοφίαν θαυμάζουσιν;

1, 429—430 H. 6, 550—552 R.

18. Σαπφὼ] Bergk. p. 898[3] 21. κατθάνοισα p. 646 F: κατθανοῦσα 22. πεδέχεις ibidem: παῖδ' ἔχεις

Digitized by Google

ΤΩΝ ΕΠΤΑ ΣΟΦΩΝ ΣΥΜΠΟΣΙΟΝ.

1. Ἦ που προϊὼν ὁ χρόνος, ὦ Νίκαρχε, πολὺ σκότος ἐπάξει τοῖς πράγμασι καὶ πᾶσαν ἀσάφειαν, εἰ νῦν ἐπὶ προσφάτοις οὕτω καὶ νεαροῖς λόγοι ψευδεῖς συντεθέντες ἔχουσι πίστιν. οὔτε γὰρ μόνων, ὡς ὑμεῖς
C ἀκηκόατε, τῶν ἑπτὰ γέγονε τὸ συμπόσιον, ἀλλὰ πλειόνων ἢ δὶς τοσούτων (ἐν οἷς καὶ αὐτὸς ἦν, συνήθης μὲν ὢν Περιάνδρῳ διὰ τὴν τέχνην, ξένος δὲ Θάλεω· παρ' ἐμοὶ γὰρ κατέλυσεν ὁ ἀνὴρ Περιάνδρου κελεύσαντος), οὔτε τοὺς λόγους ὀρθῶς ἀπεμνημόνευσεν ὅστις ἦν ὑμῖν ὁ διηγούμενος· ἦν δ' ὡς ἔοικεν οὐδεὶς τῶν παραγεγονότων. ἀλλ' ἐπεὶ σχολή τε πάρεστι πολλὴ καὶ τὸ γῆρας οὐκ ἀξιόπιστον ἐγγυήσασθαι τὴν ἀναβολὴν τοῦ λόγου, προθυμουμένοις ὑμῖν ἀπ' ἀρχῆς ἅπαντα διηγήσομαι.

D 2. Παρεσκευάκει μὲν γὰρ οὐκ ἐν τῇ πόλει τὴν ὑποδοχὴν ὁ Περίανδρος, ἀλλ' ἐν τῷ περὶ τὸ Λέχαιον ἑστιατορίῳ παρὰ τὸ τῆς Ἀφροδίτης ἱερόν, ἧς ἦν καὶ ἡ θυσία. μετὰ γὰρ τὸν ἔρωτα τῆς μητρὸς αὐτοῦ προεμένης τὸν βίον ἑκουσίως οὐ τεθυκὼς τῇ Ἀφρο-

2, 1—2 H. 6, 553—554 B.

6. ἦν*: ἤμην 10. ὁ Pflugkius

Digitized by Google

δίτη τότε πρῶτον ἔκ τινων ἐνυπνίων τῆς Μελίσσης
ὥρμησε τιμᾶν καὶ θεραπεύειν τὴν θεόν. τῶν δὲ κε-
κλημένων ἑκάστῳ συνωρὶς ἱκανῶς κεκοσμημένη προσ-
ήχθη· καὶ γὰρ ὥρα θέρους ἦν, καὶ τὴν ὁδὸν ἅπασαν
ὑπὸ πλήθους ἁμαξῶν καὶ ἀνθρώπων ἄχρι θαλάττης
κονιορτὸς καὶ θόρυβος κατεῖχεν. ὁ μέντοι Θαλῆς τὸ
ζεῦγος ἐπὶ ταῖς θύραις ἰδὼν καὶ μειδιάσας ἀφῆκεν.
ἐβαδίζομεν οὖν ἐκτραπόμενοι διὰ τῶν χωρίων καθ' E
ἡσυχίαν, καὶ μεθ' ἡμῶν τρίτος ὁ Ναυκρατίτης Νειλό-
ξενος, ἀνὴρ ἐπιεικὴς καὶ τοῖς περὶ Κόλωνα καὶ Θαλῆν
γεγονὼς ἐν Αἰγύπτῳ συνήθης. ἐτύγχανε δὲ πρὸς
Βίαντα πάλιν ἀπεσταλμένος· ὧν δὲ χάριν οὐδ' αὐ-
τὸς ᾔδει, πλὴν ὑπενόει πρόβλημα δεύτερον αὐτῷ
κομίζειν ἐν βιβλίῳ κατασεσημασμένον· εἴρητο γάρ, εἰ
Βίας ἀπαγορεύσειεν, ἐπιδεῖξαι τοῖς σοφωτάτοις Ἑλ-
λήνων τὸ βιβλίον. 'ἕρμαιον' ὁ Νειλόξενος ἔφη 'μοι
γέγονεν ἐνταῦθα λαβεῖν ἅπαντας ὑμᾶς, καὶ κομίζω F
τὸ βιβλίον ὡς ὁρᾷς ἐπὶ τὸ δεῖπνον'. ἅμα δ' ἡμῖν
ἐπεδείκνυε. καὶ ὁ Θαλῆς γελάσας 'εἴ τι κακόν' εἶπεν,
'αὖθις εἰς Πριήνην· διαλύσει γὰρ ὁ Βίας, ὡς διέλυ-
σε τὸ πρῶτον'. 'τί δ' ἦν' ἔφην ἐγώ 'τὸ πρῶτον;'
'ἱερεῖον' εἶπεν 'ἔπεμψεν αὐτῷ, κελεύσας τὸ πονη-
ρότατον ἐξελόντα καὶ χρηστότατον ἀποπέμψαι κρέας.
ὁ δ' ἡμέτερος εὖ καὶ καλῶς τὴν γλῶτταν ἐξελὼν
ἀπέπεμψεν· ὅθεν εὐδοκιμῶν δῆλός ἐστι καὶ θαυμαζό- 147
μενος'. 'οὐ διὰ ταῦτα' ἔφη 'μόνον' ὁ Νειλόξενος,
'ἀλλ' οὐ φεύγει τὸ φίλος εἶναι καὶ λέγεσθαι βασι-
λέων καθάπερ ὑμεῖς, ἐπεὶ σοῦ γε καὶ τἄλλα θαυμά-
ζει, καὶ τῆς πυραμίδος τὴν μέτρησιν ὑπερφυῶς ἠγά-

2, 2—3 H. 6, 554—556 R.

7. καὶ delet Hertlinus
10. Θαλῆν*: θάλητα
20. διέλυσε*: διέλυσεν αὐτὸς
25. ἀπέπεμψεν*: ἔπεμψεν

Digitized by Google

πησεν, ὅτι πάσης ἄνευ πραγματείας καὶ μηδενὸς ὀργάνου δεηθεὶς ἀλλὰ τὴν βακτηρίαν στήσας ἐπὶ τῷ πέρατι τῆς σκιᾶς ἣν ἡ πυραμὶς ἐποίει, γενομένων τῇ ἐπαφῇ τῆς ἀκτῖνος δυοῖν τριγώνων, ἔδειξας ὃν ἡ σκιὰ πρὸς τὴν σκιὰν λόγον εἶχε τὴν πυραμίδα πρὸς τὴν βακτηρίαν ἔχουσαν. ἀλλ', ὅπερ ἔφην, διεβλήθης
B μισοβασιλεὺς εἶναι, καί τινες ὑβριστικαί σου περὶ τυράννων ἀποφάσεις ἀνεφέροντο πρὸς αὐτόν, ὡς ἐρωτηθεὶς ὑπὸ Μολπαγόρου τοῦ Ἴωνος τί παραδοξότατον εἴης ἑορακώς, ἀποκρίναιο 'τύραννον γέροντα', καὶ πάλιν ἔν τινι πότῳ, περὶ θηρίων λόγου γενομένου, φαίης κάκιστον εἶναι τῶν μὲν ἀγρίων θηρίων τὸν τύραννον, τῶν δ' ἡμέρων τὸν κόλακα· ταῦτα γάρ, εἰ καὶ πάνυ προσποιοῦνται διαφέρειν οἱ βασιλεῖς τῶν τυράννων, οὐκ εὐμενῶς ἀκούουσιν'. 'ἀλλὰ τοῦτο μέν' εἶπεν ὁ Θαλῆς 'Πιττακοῦ ἐστιν εἰρημένον ἐν παιδιᾷ ποτε πρὸς Μυρσίλον· ἐγὼ δέ 'θαυμάσαιμ' ἄν'
C ἔφη 'οὐ τύραννον ἀλλὰ κυβερνήτην γέροντα θεασάμενος'. πρὸς δὲ τὴν μετάθεσιν τὸ τοῦ νεανίσκου πέπονθα τοῦ βαλόντος μὲν ἐπὶ τὴν κύνα πατάξαντος δὲ τὴν μητρυιὰν καὶ εἰπόντος 'οὐδ' οὕτω κακῶς'. διὸ καὶ Σόλωνα σοφώτατον ἡγησάμην οὐ δεξάμενον τυραννεῖν. καὶ Πιττακὸς οὗτος εἰ μοναρχίᾳ μὴ προσῆλθεν, οὐκ ἂν εἶπεν ὡς 'χαλεπὸν ἐσθλὸν ἔμμεναι'. Περίανδρος δ' ἔοικεν ὥσπερ ἐν νοσήματι πατρῴῳ τῇ τυραννίδι κατειλημμένος οὐ φαύλως ἐξαναφέρειν, χρώμενος ὁμιλίαις ὑγιειναῖς ἄχρι γε νῦν καὶ συνουσίαις
D ἀνδρῶν νοῦν ἐχόντων ἐπαγόμενος, ἃς δὲ Θρασύβουλος αὐτῷ κολούσεις τῶν ἄκρων οὐμὸς πολίτης ὑφηγεῖται μὴ προσιέμενος. γεωργοῦ γὰρ αἴρας καὶ αἰγί-

2, 3—4 H. 6, 556—558 R.

30. αἴρας W: ἄγρας αἰγίλωπας*: ὄρνιθας

Digitized by Google

λωπας ἀντὶ πυρῶν καὶ κριθῶν συγκομίζειν ἐθέλοντος
οὐδὲν διαφέρει τύραννος ἀνδραπόδων μᾶλλον ἄρχειν
ἢ ἀνδρῶν βουλόμενος· ἓν γὰρ ἀντὶ πολλῶν κακῶν
ἀγαθὸν αἱ δυνασταὶ τὴν τιμὴν ἔχουσι καὶ τὴν δό-
ξαν, ἅπερ ἀγαθῶν ὡς κρείττονες ἄρχωσι καὶ μεγά-
λων μείζονες εἶναι δοκῶσι· τὴν δ' ἀσφάλειαν ἀγα-
πῶντας ἄνευ τοῦ καλοῦ προβάτων ἔδει καὶ ἵππων
καὶ βοῶν ἄρχειν, μὴ ἀνθρώπων. ἀλλὰ γὰρ εἰς οὐ-
δὲν προσήκοντας ἐμβέβληκεν ἡμᾶς' ἔφη 'ὁ ξένος E
οὑτοσὶ λόγους, ἀμελήσας λέγειν τε καὶ ζητεῖν ἃ ἁρ-
μόττει ἐπὶ δεῖπνον βαδίζουσιν. ἢ γὰρ οὐκ οἴει, κα-
θάπερ ἑστιάσοντός ἐστί τις παρασκευή, καὶ δειπνήσον-
τας εἶναι; Συβαρῖται μὲν γὰρ ὡς ἔοικε πρὸ ἐνιαυτοῦ
τὰς κλήσεις ποιοῦνται τῶν γυναικῶν, ὅπως ἐκγένοιτο
κατὰ σχολὴν παρασκευασαμέναις ἐσθῆτι καὶ χρυσῷ
φοιτᾶν ἐπὶ τὸ δεῖπνον· ἐγὼ δὲ πλείονος οἶμαι χρό-
νου δεῖσθαι τὴν ἀληθινὴν τοῦ δειπνήσοντος ὀρθῶς
παρασκευήν, ὅτι χαλεπώτερόν ἐστιν ἤθει τὸν πρέποντα
κόσμον ἢ σώματι τὸν περιττὸν ἐξευρεῖν καὶ ἄχρηστον.
οὐ γὰρ ὡς ἀγγεῖον ἥκει κομίζων ἑαυτὸν ἐμπλῆσαι F
πρὸς τὸ δεῖπνον ὁ νοῦν ἔχων, ἀλλὰ καὶ σπουδάσαι
τι καὶ παῖσαι καὶ ἀκοῦσαι καὶ εἰπεῖν ὧν ὁ καιρὸς πα-
ρακαλεῖ τοὺς συνόντας, εἰ μέλλουσι μετ' ἀλλήλων
ἡδέως ἔσεσθαι. καὶ γὰρ καὶ ὄψον πονηρὸν ἔστι πα-
ρώσασθαι, κἂν οἶνος ᾖ φαῦλος, ἐπὶ τὰς νύμφας
καταφυγεῖν· σύνδειπνος δὲ κεφαλαλγὴς καὶ βαρὺς καὶ
ἀνάγωγος παντὸς μὲν οἴνου καὶ ὄψου πάσης δὲ μου-
σουργοῦ χάριν ἀπόλλυσι καὶ λυμαίνεται, καὶ οὐδ'
ἀπεμέσαι τὴν τοιαύτην ἀηδίαν ἕτοιμόν ἐστιν, ἀλλ'
ἐνίοις εἰς ἅπαντα τὸν βίον ἐμμένει τὸ πρὸς ἀλλή- 148

2, 4–5 H. 6, 558–560 R.

7. προβάτων*: προβάτων πολλῶν 22. ὧν W: δ

Digitized by Google

λους δυσάρεστον, ὥσπερ ἑωλοκρασία τις ὕβρεως ἢ ὀργῆς ἐν οἴνῳ γενομένης. ὅθεν ἄριστα Χίλων, καλούμενος ἐχθές, οὐ πρότερον ὡμολόγησεν ἢ πυθέσθαι τῶν κεκλημένων ἕκαστον. ἔφη γὰρ ὅτι σύμπλουν ἀγνώμονα δεῖ φέρειν καὶ σύσκηνον οἷς πλεῖν ἀνάγκη καὶ στρατεύεσθαι· τὸ δὲ συμπόταις ἑαυτὸν ὡς ἔτυχε καταμιγνύειν οὐ νοῦν ἔχοντος ἀνδρός ἐστιν. ὁ δ' Αἰγύπτιος σκελετός, ὃν ἐπιεικῶς εἰσφέροντες εἰς τὰ συμπόσια προτίθενται καὶ παρακαλοῦσι μεμνῆσθαι τάχα
B δὴ τοιούτους ἐσομένους, καίπερ ἄχαρις καὶ ἄωρος ἐπίκωμος ἥκων, ὅμως ἔχει τινὰ καιρόν, καὶ εἰ μὴ πρὸς τὸ πίνειν καὶ ἡδυπαθεῖν ἀλλὰ πρὸς φιλίαν καὶ ἀγάπησιν ἀλλήλων προτρέπεται, καὶ παρακαλεῖ τὸν βίον μὴ τῷ χρόνῳ βραχὺν ὄντα πράγμασι κακοῖς μακρὸν ποιεῖν'.

3. Ἐν τοιούτοις λόγοις γενόμενοι κατὰ τὴν ὁδὸν ἀφικόμεθα πρὸς τὴν οἰκίαν, καὶ λούσασθαι μὲν ὁ Θαλῆς οὐκ ἠθέλησεν, ἀληλιμμένοι γὰρ ἦμεν· ἐπιὼν δὲ τούς τε δρόμους ἐθεᾶτο καὶ τὰς παλαίστρας καὶ τὸ ἄλσος τὸ παρὰ τὴν θάλασσαν ἱκανῶς διακεκοσμημέ-
C νον, ὑπ' οὐδενὸς ἐκπληττόμενος τῶν τοιούτων, ἀλλ' ὅπως μὴ καταφρονεῖν δοκοίη μηδ' ὑπερορᾶν τοῦ Περιάνδρου τῆς φιλοτιμίας. τῶν δ' ἄλλων τὸν ἀλειψάμενον ἢ λουσάμενον οἱ θεράποντες εἰσῆγον εἰς τὸν ἀνδρῶνα διὰ τῆς στοᾶς. ὁ δ' Ἀνάχαρσις ἐν τῇ στοᾷ καθῆστο, καὶ παιδίσκη παρειστήκει τὴν κόμην ταῖς χερσὶ διακρίνουσα. ταύτην ὁ Θαλῆς ἐλευθεριώτατά πως αὐτῷ προσδραμοῦσαν ἐφίλησε καὶ γελάσας 'οὕτως' ἔφη 'ποίει καλὸν τὸν ξένον, ὅπως ἡμερώτατος ὢν

2, 5—7 H. 6, 560—562 R.

26. παρειστήκει*: προειστήκει 27. ὁ*

Digitized by Google

μὴ φοβερὸς ᾖ τὴν ὄψιν ἡμῖν μηδ' ἄγριος'. ἐμοῦ δ' ἐρομένου περὶ τῆς παιδὸς ἥτις εἴη, 'τὴν σοφήν' ἔφη 'καὶ περιβόητον ἀγνοεῖς Εὔμητιν; τοῦτο γὰρ αὐτὴν D ὁ πατὴρ αὐτός, οἱ δὲ πολλοὶ πατρόθεν ὀνομάζουσι Κλεοβουλίνην'. καὶ ὁ Νειλόξενος εἶπεν 'ἦ που τὴν περὶ τὰ αἰνίγματα δεινότητα καὶ σοφίαν' ἔφη 'τῆς κόρης ἐπαινεῖς· καὶ γὰρ εἰς Αἴγυπτον ἔνια τῶν προβαλλομένων ὑπ' αὐτῆς διῖκται'. 'οὐκ ἔγωγε' εἶπεν ὁ Θαλῆς· 'τούτοις γὰρ ὥσπερ ἀστραγάλοις, ὅταν τύχῃ, παίζουσα χρῆται καὶ διαβάλλεται πρὸς τοὺς ἐντυχόντας. ἀλλὰ καὶ φρόνημα θαυμαστὸν καὶ νοῦς ἔνεστι πολιτικὸς καὶ φιλάνθρωπον ἦθος, καὶ τὸν πατέρα τοῖς πολίταις πραότερον ἄρχοντα παρέχει καὶ δημοτικώτερον'. 'εἶεν' ὁ Νειλόξενος ἔφη, 'καὶ φαί- E νεται βλέποντι πρὸς τὴν λιτότητα καὶ ἀφέλειαν αὐτῆς· Ἀνάχαρσιν δὲ πόθεν οὕτω τημελεῖ φιλοστόργως;' 'ὅτι' ἔφη 'σώφρων ἀνήρ ἐστι καὶ πολυμαθής, καὶ τὴν δίαιταν αὐτῇ καὶ τὸν καθαρμόν, ᾧ χρῶνται Σκύθαι πρὸς τοὺς κάμνοντας, ἀφθόνως καὶ προθύμως παραδέδωκε. καὶ νῦν οἶμαι περιέπειν αὐτὴν τὸν ἄνδρα καὶ φιλοφρονεῖσθαι, μανθάνουσάν τι καὶ προσδιαλεγομένην'. ἤδη δὲ πλησίον οὖσιν ἡμῖν τοῦ ἀνδρῶνος ἀπήντησεν Ἀλεξίδημος ὁ Μιλήσιος (ἦν δὲ Θρασυβούλου τοῦ τυράννου νόθος) καὶ ἐξήει τεταραγμένος καὶ σὺν ὀργῇ τινι πρὸς αὐτὸν οὐδὲν ἡμῖν γε F σαφὲς διαλεγόμενος. ὡς δὲ τὸν Θαλῆν εἶδε, μικρὸν ἀνενεγκὼν καὶ κατασχὰς 'οἵαν ὕβριν' εἶπεν 'εἰς ἡμᾶς Περίανδρος ὕβρικεν, ἐκπλεῦσαι μὲν οὐκ ἐάσας ὡρμημένον ἀλλὰ προσμεῖναι δεηθεὶς τῷ δείπνῳ, ἐλθόντι

2, 7—8 H. 6, 562—564 R.

3. τοῦτο γὰρ αὐτὴν*: οὕτω γὰρ ταύτην 19. πρὸς*: περὶ

Digitized by Google

δὲ νέμων κλισίαν ἄτιμον, Αἰολέας δὲ καὶ νησιώτας καὶ τίνας γὰρ οὐχὶ Θρασυβούλου προτιμῶν· Θρασύβουλον γὰρ ἐν ἐμοὶ τὸν πέμψαντα προπηλακίσαι
149 βουλόμενος καὶ καταβαλεῖν δῆλός ἐστιν'. 'εἶτα' ἔφη 'σὺ δέδιας μὴ καθάπερ Αἰτύπτιοι τοὺς ἀστέρας ὑψώματα καὶ ταπεινώματα λαμβάνοντας ἐν τοῖς τόποις οὓς διεξίασι γίγνεσθαι βελτίονας ἢ χείρονας ἑαυτῶν λέγουσιν, οὕτω περὶ σὲ διὰ τὸν τόπον ἀμαύρωσις ἢ ταπείνωσις γένηται; καὶ τοῦ Λάκωνος ἔσῃ φαυλότερος, ὃς ἐν χορῷ τινι κατασταθεὶς εἰς τὴν ἐσχάτην χώραν ὑπὸ τοῦ ἄρχοντος 'εὖ γε' εἶπεν 'ἐξεῦρες, ὡς καὶ αὐτὰ ἔντιμος γένηται'. οὐ καταλαβόντας' ἔφη 'τόπον μετὰ τίνας κατακείμεθα δεῖ ζητεῖν, μᾶλλον δ' ὅπως εὐάρμοστοι τοῖς συγκατακειμένοις ὦμεν, ἀρχὴν καὶ λαβὴν φιλίας ἐν αὐτοῖς ζητοῦντες μᾶλλον
B δ' ἔχοντες τὸ μὴ δυσκολαίνειν, ἀλλ' ἐπαινεῖν ὅτι τοιούτοις συγκατεκλίνημεν· ὡς ὅ γε τόπῳ κλισίας δυσχεραίνων δυσχεραίνει τῷ συγκλίτῃ μᾶλλον ἢ τῷ κεκληκότι, καὶ πρὸς ἀμφοτέρους ἀπεχθάνεται'. 'λόγος' ἔφη 'ταῦτα ἄλλως ἐστίν' ὁ Ἀλεξίδημος, 'ἔργῳ δὲ καὶ τοὺς σοφοὺς ὑμᾶς ὁρῶ τὸ τιμᾶσθαι διώκοντας', καὶ ἅμα παραμειψάμενος ἡμᾶς ἀπῆλθε. καὶ ὁ Θαλῆς πρὸς ἡμᾶς τὴν ἀτοπίαν τοῦ ἀνθρώπου θαυμάζοντας 'ἔμπληκτος' ἔφη, 'καὶ ἀλλόκοτος φύσει, ἐπεὶ καὶ μειράκιον ἔτι, μύρου σπουδαίου Θρασυβούλῳ κομισθέντος, εἰς ψυκτῆρα κατεράσας μέγαν καὶ προσεγ-
C χέας ἄκρατον ἐξέπιεν, ἔχθραν ἀντὶ φιλίας Θρασυβούλῳ διαπεπραγμένος'. ἐκ τούτου παρελθὼν ὑπηρέτης

2, 8—9 H. 6, 564—566 R.

4. καταβαλεῖν*: καταβαλεῖν ὡς δὴ περιορῶν 8. οὕτω W: οὕτως ἡ 15. ζητοῦντες Reiskius: ζηλοῦντες 28. παρελθὼν idem: περιελθών

Digitized by Google

'κελεύει σε Περίανδρος' ἔφη 'καὶ Θαλῆν παραλαβόντας τοῦτον ἐπισκέψασθαι τὸ κεκομισμένον ἀρτίως αὐτῷ πότερον ἄλλως γέγονεν ἢ τι σημεῖόν ἐστι καὶ τέρας· αὐτὸς μὲν γὰρ ἔοικε τεταράχθαι σφόδρα, μίασμα καὶ κηλῖδα τῆς θυσίας ἡγούμενος'. ἅμα δ' ἀπῆγεν ἡμᾶς εἴς τι οἴκημα τῶν περὶ τὸν κῆπον. ἐνταῦθα νεανίσκος ὡς ἐφαίνετο νομευτικός, οὔπω γενειῶν ἄλλως τε τὸ εἶδος οὐκ ἀγεννής, ἀναπτύξας τινὰ διφθέραν ἔδειξεν ἡμῖν βρέφος ὡς ἔφη γεγονὸς ἐξ ἵππου, τὰ μὲν ἄνω μέχρι τοῦ τραχήλου καὶ τῶν χειρῶν ἀνθρωπόμορφον, τὰ λοιπὰ δ' ἔχον ἵππου, τῇ δὲ φωνῇ καθάπερ τὰ νεογνὰ παιδάρια κλαυθμυριζόμενον. ὁ μὲν οὖν Νειλόξενος 'Ἀλεξίκακε' εἰπών 'ἀπεστράφη τὴν ὄψιν', ὁ δὲ Θαλῆς προσέβλεπε τῷ νεανίσκῳ πολὺν χρόνον, εἶτα μειδιάσας (εἰώθει δ' ἀεὶ παίζειν πρὸς ἐμὲ περὶ τῆς τέχνης) 'ἦ που τὸν καθαρμὸν ὦ Διόκλεις' ἔφη 'κινεῖν διανοῇ καὶ παρέχειν πράγματα τοῖς ἀποτροπαίοις, ὥς τινος δεινοῦ καὶ μεγάλου συμβάντος;' 'τί δέ' εἶπον 'οὐ μέλλω; στάσεως γάρ, ὦ Θαλῆ, καὶ διαφορᾶς τὸ σημεῖόν ἐστι, καὶ δέδια μὴ μέχρι γάμου καὶ γενεᾶς ἐξίκηται, πρὶν ἢ τὸ πρῶτον ἐξιλάσασθαι μήνιμα, τῆς θεοῦ δεύτερον ὡς ὁρᾷς προφαινούσης'. πρὸς τοῦτο μηδὲν ἀποκρινάμενος ὁ Θαλῆς ἀλλὰ γελῶν ἀπηλλάττετο. καὶ τοῦ Περιάνδρου πρὸς ταῖς θύραις ἀπαντήσαντος ἡμῖν καὶ διαπυθομένου περὶ ὧν εἴδομεν, ἀφεὶς ὁ Θαλῆς με καὶ λαβόμενος τῆς ἐκείνου χειρὸς ἔφη 'ἃ μὲν Διοκλῆς κελεύει δράσεις καθ' ἡσυχίαν· ἐγὼ δέ σοι παραινῶ νέοις οὕτω μὴ χρῆσθαι νομεῦσιν ἵππων, ἢ διδόναι

2, 9—10 H. 6, 566—568 R.

1. παραλαβόντας Reiskius: παραλαβόντα 25. ταῖς θύραις*: τὰς θύρας

Digitized by Google

γυναῖκας αὐτοῖς'. ἔδοξε μὲν οὖν μοι τῶν λόγων ἀκούσας ὁ Περίανδρος ἡσθῆναι σφόδρα· καὶ γὰρ ἐξεγέλασε καὶ τὸν Θαλῆν περιλαβὼν κατησπάσατο. κἀκεῖνος 'οἶμαι δέ' εἶπεν 'ὦ Διόκλεις, καὶ πέρας εἶχε
F τὸ σημεῖον· ὁρᾷς γὰρ ἡλίκον κακὸν γέγονεν ἡμῖν, 5
Ἀλεξιδήμου συνδειπνεῖν μὴ θελήσαντος'.

4. Ἐπεὶ δ' εἰσήλθομεν, ἤδη μεῖζον ὁ Θαλῆς φθεγξάμενος 'ποῦ δέ' εἶπεν 'ὁ ἀνὴρ κατακλινάμενος ἐδυσχέρανεν;' ἀποδειχθείσης δὲ τῆς χώρας περιελθὼν ἐκεῖ κατέκλινεν ἑαυτὸν καὶ ἡμᾶς 'ἀλλὰ κἂν ἐπριάμην' 10
εἰπών 'Ἀρδάλῳ κοινωνεῖν μιᾶς τραπέζης'. ἦν δὲ Τροιζήνιος ὁ Ἄρδαλος, αὐλῳδὸς καὶ ἱερεὺς τῶν
150 Ἀρδαλίων Μουσῶν, ἃς ὁ παλαιὸς Ἄρδαλος ἱδρύσατο ὁ Τροιζήνιος. ὁ δ' Αἴσωπος (ἐτύγχανε γὰρ ὑπὸ Κροίσου νεωστὶ πρός τε Περίανδρον ἅμα καὶ πρὸς 15
τὸν θεὸν εἰς Δελφοὺς ἀπεσταλμένος, καὶ παρῆν ἐπὶ δίφρου τινὸς χαμαιζήλου παρὰ τὸν Κόλωνα καθήμενος ἄνω κατακείμενον) 'ἡμίονος δ'' ἔφη 'Λυδὸς ἐν ποταμῷ τῆς ὄψεως ἑαυτοῦ κατιδὼν εἰκόνα καὶ θαυμάσας τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ σώματος ὥρ- 20
μησε θεῖν ὥσπερ ἵππος ἀναχαιτίσας. εἶτα μέντοι συμφρονήσας ὡς ὄνου υἱὸς εἴη, κατέπαυσε ταχὺ τὸν
B δρόμον καὶ ἀφῆκε τὸ φρύαγμα καὶ τὸν θυμόν'. ὁ δὲ Χίλων λακωνίσας τῇ φωνῇ 'καὶ τύνη' ἔφη 'βραδὺς καὶ τρέχεις τὸν ἡμίονον'. ἐκ τούτου παρῆλθε 25
μὲν ἡ Μέλισσα καὶ κατεκλίνη παρὰ τὸν Περίανδρον, ἡ δ' Εὔμητις ἐκάθισε παρὰ τὸ δεῖπνον. καὶ ὁ Θαλῆς ἐμὲ προσαγορεύσας ἐπάνω τοῦ Βίαντος κατακείμενον 'τί οὐκ ἔφρασας' εἶπεν 'ὦ Διόκλεις Βίαντι τὸν Ναυκρατίτην ξένον ἥκοντα μετὰ προβλημάτων βασιλικῶν 30

2, 10—12 H. 6, 568—569 R.

27. δεῖπνον*: δειπνεῖν

Digitized by Google

αὖθις ἐπ' αὐτόν, ὅπως νήφων καὶ προσέχων ἑαυτῷ τὸν λόγον δέχηται;' καὶ ὁ Βίας 'ἀλλ' οὗτος μέν' ἔφη 'πάλαι δεδίττεται ταῦτα παρακελευόμενος, ἐγὼ δὲ τὸν Διόνυσον οἶδα τά τ' ἄλλα δεινὸν ὄντα καὶ Λύσιον ἀπὸ σοφίας προσαγορευόμενον, ὥστ' οὐ δέδια τοῦ θεοῦ μεστὸς γενόμενος μὴ ἀθαρσέστερον ἀγωνίσωμαι'. τοιαῦτα μὲν ἐκεῖνοι πρὸς ἀλλήλους ἅμα δειπνοῦντες ἔπαιζον· ἐμοὶ δὲ τὸ δεῖπνον εὐτελέστερον ὁρῶντι τοῦ συνήθους ἐννοεῖν ἐπῆει πρὸς ἐμαυτὸν ὡς σοφῶν κἀγαθῶν ἀνδρῶν ὑποδοχὴ καὶ κλῆσις οὐδεμίαν προστίθησι δαπάνην ἀλλὰ συστέλλει μᾶλλον, ἀφαιροῦσα περιεργίας ὄψων καὶ μύρα ξενικὰ καὶ πέμματα καὶ πολυτελῶν οἴνων διαχύσεις οἷς καθ' ἡμέραν χρώμενος ἐπιεικῶς ὁ Περίανδρος ἐν τυραννίδι καὶ πλούτῳ καὶ πράγμασι, τότε πρὸς τοὺς ἄνδρας ἐκαλλωπίζετο λιτότητι καὶ σωφροσύνῃ δαπάνης. οὐ γὰρ μόνον τῶν ἄλλων ἀλλὰ καὶ τῆς γυναικὸς ἀφελὼν καὶ ἀποκρύψας τὸν συνήθη κόσμον ἐπεδείκνυε σὺν εὐτελείᾳ καὶ μετριότητι κεκοσμημένην.

5. Ἐπεὶ δ' ἐπήρθησαν αἱ τράπεζαι καὶ στεφάνων παρὰ τῆς Μελίσσης διαδοθέντων ἡμεῖς μὲν ἐσπείσαμεν ἡ δ' αὐλητρὶς ἐπιφθεγξαμένη μικρὰ ταῖς σπονδαῖς ἐκ μέσου μετέστη, προσαγορεύσας τὸν Ἀνάχαρσιν ὁ Ἄρδαλος ἠρώτησεν εἰ παρὰ Σκύθαις αὐλητρίδες εἰσίν· ὁ δ' ἐκ τοῦ προστυχόντος 'οὐδ' ἄμπελοι' εἶπε. τοῦ δ' Ἀρδάλου πάλιν εἰπόντος 'ἀλλὰ θεοί γε Σκύθαις εἰσίν', 'πάνυ μὲν οὖν' ἔφη 'γλώσσης ἀνθρωπίνης συνιέντες, οὐχ ὥσπερ δ' οἱ Ἕλληνες οἰόμενοι Σκυθῶν διαλέγεσθαι βέλτιον ὅμως τοὺς θεοὺς ὀκτῶν καὶ ξύλων ἥδιον ἀκροᾶσθαι νομίζουσιν'. ὁ δ' Αἴσω-

2, 12—13 H. 6, 569—571 R.

5. ἀπὸ*: ὑπὸ

Digitized by Google

ποc ‘εἰ γάρ’ εἶπεν ‘εἰδείης, ὦ ξένε, τοὺc νῦν αὐλο-
ποιοὺc ὡc προέμενοι τὰ νεβρεῖα χρώμενοι τοῖc ὀνείοιc
βέλτιον ἠχεῖν λέγουcιν. διὸ καὶ Κλεοβουλίνη πρὸc
τὸν Φρύγιον αὐλὸν ἠνίξατο
F ‘κνήμη νεβρόγονός με κερασφόρῳ οὖαc ἔκρουcεν, 5
ὥcτε θαυμάζειν. τὸν ὄνον εἰ παχύτατος καὶ ἀμουcό-
τατος ὢν τἄλλα λεπτότατον καὶ μουcικώτατον ὀcτοῦν
παρέχεται’. καὶ ὁ Νειλόξενοc ‘ἀμέλει, ταῦτα’ ἔφη
‘καὶ ἡμῖν τοῖc Ναυκρατίταιc ἐγκαλοῦcι Βουcιρῖται·
χρώμεθα γὰρ δὴ τοῖc ὀνείοιc εἰc τὸν αὐλόν. ἐκείνοιc 10
δὲ καὶ cάλπιγγοc ἀκούειν ἀθέμιτον, ὡc ὄνῳ φθεγγο-
μένης ὅμοιον. ὄνον δ’ ὑπ’ Αἰγυπτίων ἴcτε δήπου διὰ
Τυφῶνα προπηλακιζόμενον’.

6. Γενομένης δὲ cιωπῆc ὁ Περίανδροc ὁρῶν βου-
λόμενον μὲν ὀκνοῦντα δ’ ἄρξαcθαι τοῦ λόγου τὸν 15
151 Νειλόξενον ‘ἐγώ τοι’ εἶπεν· ‘ὦ ἄνδρεc ἐπαινῶ καὶ
πόλειc καὶ ἄρχονταc, ὅcοι ξένοιc πρῶτον, εἶτα πολί-
ταιc χρηματίζουcι· καὶ νῦν δοκεῖ μοι τοὺc μὲν ἡμε-
τέρουc λόγουc οἷον ἐπιχωρίουc καὶ cυνήθειc βραχὺν
χρόνον ἐπιcχεῖν, πρόcοδον δ’ ὥcπερ ἐν ἐκκληcίᾳ 20
δοῦναι τοῖc Αἰγυπτίοιc ἐκείνοιc καὶ βαcιλικοῖc, οὓc
ὁ βέλτιcτοc ἥκει κομίζων Νειλόξενοc Βίαντι, Βίαc δὲ
βούλεται κοινῇ cκέψαcθαι μεθ’ ὑμῶν’. καὶ ὁ Βίαc
‘ποῦ γὰρ ἢ μετὰ τίνων’ ἔφη ‘προθυμότερον ἄν τιc
ἀποκινδυνεύcειεν, εἰ δέοι, πρὸc τοιαύταc ἀποκρίcειc, 25
ἄλλωc τε τοῦ βαcιλέωc κελεύcαντοc ἄρξαcθαι μὲν

2, 13—14 H. 6, 571—573 R.

1. εἰ γὰρ*: εἴγε 3. Κλεοβουλίνη W: κλεόβουλον ἡ
4. ἠνίξατο idem: ἤξατο 5. νεβρόγονός με G. Hermannus:
νεβροτόνοcαιμε ἔκρουcεν idem: ἐκτικρουce 10.
δὴ*: ἤδη 23. ὑμῶν Meziriacus: ἡμῶν 25. εἰ δέοι*:
εἰ δεῖ

Digitized by Google

ἀπ' ἐμοῦ, περιελθεῖν δ' εἰς ἅπαντας ὑμᾶς τὸν λό- B
γον;' οὕτω δὴ παρεδίδου μὲν αὐτῷ τὸ γραμματεῖον
ὁ Νειλόξενος, ὃ δ' αὐτὸν ἐκέλευσε λύσαντα πᾶσιν
ἐς μέσον ἀναγνῶναι. διάνοιαν δὲ τοιαύτην εἶχε τὰ
γεγραμμένα.

'Βασιλεὺς Αἰγυπτίων Ἄμασις λέγει Βίαντι σοφω-
τάτῳ Ἑλλήνων. Βασιλεὺς Αἰθιόπων ἔχει πρὸς ἐμὲ
σοφίας ἄμιλλαν. ἡττώμενος δὲ τοῖς ἄλλοις ἐπὶ πᾶσι
συντέθεικεν ἄτοπον ἐπίταγμα καὶ δεινόν, ἐκπιεῖν με
κελεύων τὴν θάλασσαν. ἔστι δὲ λύσαντι μὲν ἔχειν
κώμας τε πολλὰς καὶ πόλεις τῶν ἐκείνου, μὴ λύσαντι
δ' ἄστεων τῶν περὶ Ἐλεφαντίνην ἀποστῆναι. σκεψά- C
μενος οὖν εὐθὺς ἀπόπεμπε Νειλόξενον. ἃ δὲ δεῖ
φίλοις σοῖς ἢ πολίταις γενέσθαι παρ' ἡμῶν οὐ τἀμὰ
κωλύσει.'

Τούτων ἀναγνωσθέντων οὐ πολὺν χρόνον ἐπι-
σχὼν ὁ Βίας ἀλλὰ μικρὰ μὲν αὐτὸς πρὸς αὐτῷ γενό-
μενος μικρὰ δὲ τῷ Κλεοβούλῳ προσομιλήσας ἐγγὺς
κατακειμένῳ 'τί λέγεις' εἶπεν 'ὦ Ναυκρατίτα; βασι-
λεύων ἀνθρώπων τοσούτων Ἄμασις, κεκτημένος δὲ
χώραν ἀρίστην τοσαύτην ἐθελήσει ἐπὶ κώμαις ἀδόξοις
καὶ λυπραῖς ἐκπιεῖν θάλασσαν;' καὶ ὁ Νειλόξενος γε-
λάσας 'ὡς θελήσοντος' εἶπεν 'ὦ Βία σκόπει τὸ δυ-
νατόν'. 'φραζέτω τοίνυν' ἔφη 'τῷ Αἰθίοπι τοὺς D
ἐμβάλλοντας εἰς τὰ πελάγη ποταμοὺς ἐπισχεῖν, ἕως
ἂν αὐτὸς ἐκπίῃ τὴν νῦν οὖσαν θάλασσαν· περὶ ταύ-
της γὰρ τὸ ἐπίταγμα γέγονεν, οὐ τῆς ὕστερον ἐσο-
μένης'. ὡς δὲ ταῦτα εἶπεν ὁ Βίας, ὁ μὲν Νειλόξε-

14—16 H. 6, 573—574 R.

3. λύσαντα Reiskius: λύσαντα πάντα 23. θελήσον-
τος Pflugkius: θελήσαντος 26. ἂν* ἐκπίῃ*:
ἐκπίνῃ

νος ὑφ' ἡδονῆς ὥρμησε περιβαλεῖν τὸν Βίαντα καὶ φιλῆσαι· τῶν δ' ἄλλων ἐπαινεσάντων καὶ ἀποδεξαμένων γελάσας ὁ Χίλων 'ὦ Ναυκρατίτα' ἔφη 'ξένε, πρὶν ἀπολέσθαι τὴν θάλασσαν ἐκποθεῖσαν ἀπάγγελλε πλεύσας Ἀμάσιδι μὴ ζητεῖν ὅπως ἅλμην ἀναλώσει τοσαύτην, ἀλλὰ μᾶλλον ὅπως πότιμον καὶ γλυκεῖαν
E τοῖς ὑπηκόοις τὴν βασιλείαν παρέξει· περὶ ταῦτα γὰρ δεινότατος Βίας καὶ διδάσκαλος τούτων ἄριστος, ἃ μαθὼν Ἄμασις οὐδὲν ἔτι τοῦ χρυσοῦ δεήσεται ποδανιπτῆρος ἐπὶ τοὺς Αἰγυπτίους, ἀλλὰ θεραπεύσουσι πάντες αὐτὸν καὶ ἀγαπήσουσι χρηστὸν ὄντα, κἂν μυριάκις ἢ νῦν ἀναφανῇ δυσγενέστερος'. 'καὶ μήν' ἔφη ὁ Περίανδρος 'ἄξιόν γε τοιαύτας ἀπαρχὰς τῷ βασιλεῖ συνεισενεγκεῖν ἅπαντας 'ἀνδρακάς', ὥσπερ ἔφησεν Ὅμηρος· ἐκείνῳ τε γὰρ ἂν γένοιτο πλείονος ἀξία τῆς ἐμπορίας ἡ παρενθήκη, καὶ ἡμῖν ἀντὶ πάντων ὠφέλιμος'.

7. Εἰπόντος οὖν τοῦ Χίλωνος ὡς Κόλων κατάρ-
F χεσθαι τοῦ λόγου δίκαιός ἐστιν, οὐ μόνον ὅτι πάντων προήκει καθ' ἡλικίαν καὶ τυγχάνει κατακείμενος πρῶτος, ἀλλ' ὅτι τὴν μεγίστην καὶ τελειοτάτην ἀρχὴν ἄρχει, νόμους Ἀθηναίοις θέμενος, ὁ Νειλόξενος ἡσυχῇ πρὸς ἐμέ 'πολλά γε' εἶπεν 'ὦ Διόκλεις πιστεύεται ψευδῶς, καὶ χαίρουσιν οἱ πολλοὶ λόγους ἀνεπιτηδείους περὶ σοφῶν ἀνδρῶν αὐτοί τε πλάττοντες καὶ δεχόμενοι παρ' ἑτέρων ἑτοίμως, οἷα καὶ πρὸς ἡμᾶς εἰς Αἴγυπτον ἀπηγγέλθη περὶ Χίλωνος, ὡς ἄρα διαλύσαιτο τὴν πρὸς Κόλωνα φιλίαν καὶ ξενίαν,

2, 16—17 H. 6, 574—576 B.

1. περιβαλεῖν*: περιβάλλειν 12. δυσγενέστερος Reiskius: δυσγενέστατος 15. Ὅμηρος] v 14 22. ὁ*: ὁ οὖν 26. ἑτοίμως W: ἕτοιμοι

Digitized by Google

ὅτι τοὺς νόμους ὁ Cόλων ἔφησεν ἀμετακινήτους εἶναι. 152
καὶ ἐγώ 'γελοῖος' ἔφην 'ὁ λόγος· οὕτω γὰρ δεῖ
πρῶτον ἀποποιεῖσθαι τὸν Λυκοῦργον αὐτοῖς νόμοις
ὅλην μετακινήσαντα τὴν Λακεδαιμονίων πολιτείαν'.
μικρὸν οὖν ἐπισχὼν ὁ Cόλων 'ἐμοὶ μέν' ἔφη 'δοκεῖ
μάλιστ' ἂν ἔνδοξος γενέσθαι καὶ βασιλεὺς καὶ τύραν-
νος, εἰ δημοκρατίαν ἐκ μοναρχίας κατασκευάσειε τοῖς
πολίταις'. δεύτερος δ' ὁ Βίας εἶπεν 'εἰ ἄτρεπτοις
χρῷτο τοῖς νόμοις τῆς πατρίδος'. ἐπὶ τούτῳ δ' ὁ
Θαλῆς ἔφησεν 'εὐδαιμονίαν ἄρχοντος νομίζειν, εἰ τε-
λευτήσειε γηράσας κατὰ φύσιν'. τέταρτος Ἀνάχαρσις
'εἰ μὴ μόνος εἴη φρόνιμος'. πέμπτος δὲ Κλεόβου-
λος 'εἰ μηδενὶ πιστεύοι τῶν συνόντων'. ἕκτος δ' ὁ B
Πιττακός 'εἰ τοὺς ὑπηκόους ὁ ἄρχων παρασκευάσειε
φοβεῖσθαι μὴ αὐτὸν ἀλλ' ὑπὲρ αὐτοῦ'. μετὰ τοῦτον
ὁ Χίλων ἔφη τὸν ἄρχοντα χρῆναι μηδὲν φρονεῖν
θνητόν, ἀλλὰ πάντα ἀθάνατα. ῥηθέντων δὲ τούτων
ἠξιοῦμεν ἡμεῖς καὶ αὐτὸν εἰπεῖν τι τὸν Περίανδρον.
ὁ δ' οὐ μάλα φαιδρὸς ἀλλὰ συστήσας τὸ πρόσωπον
'ἐγὼ τοίνυν' ἔφη 'προσαποφαίνομαι τὰς εἰρημένας
γνώμας ἁπάσας σχεδὸν ἀφιστάναι τοῦ ἄρχειν τὸν
νοῦν ἔχοντα'. καὶ ὁ Αἴσωπος οἷον ἐλεγκτικός 'ἔδει
τοίνυν' ἔφη 'τοῦτο καθ' ἑαυτοὺς περαίνειν καὶ μή,
συμβούλους φάσκοντας εἶναι καὶ φίλους, κατηγόρους C
γίγνεσθαι τῶν ἀρχόντων'. ἁψάμενος οὖν αὐτοῦ τῆς
κεφαλῆς ὁ Cόλων καὶ διαμειδιάσας εἶπεν 'οὐκ ἂν δο-
κεῖ σοι μετριώτερον ἄρχοντα ποιεῖν καὶ τύραννον

2, 17—18 H. 6, 576—578 R.

1. ἔφησεν*: ἔφη ἀμετακινήτους Döhnerus: μετακι-
νήτους 8. ἀτρέπτοις*: πρῶτος vel τρόποις 12. μὴ
Stobaeus Floril. XLVIII 47 21. ἀφιστάναι W: ἀφε-
στάναι

Digitized by Google

ἐπιεικέστερον ὁ πείθων ὡς ἄμεινον εἴη τὸ μὴ ἄρχειν ἢ τὸ ἄρχειν;' 'τίς δ' ἂν' ἔφη 'σοὶ τοῦτο πειστέον μᾶλλον ἢ τῷ θεῷ φράσαντι κατὰ τὸν πρὸς σὲ θεσμόν

'εὔδαιμον πτολίεθρον ἑνὸς κήρυκος ἀκοῦον;' καὶ ὁ Σόλων 'ἀλλὰ μήν' ἔφη 'καὶ νῦν ἑνὸς Ἀθηναίοις κήρυκος ἀκροῶνται καὶ ἄρχοντος τοῦ νόμου, δημοκρατίαν ἔχοντες. σὺ δὲ δεινὸς εἶ κοράκων ἐπαΐειν καὶ κολοιῶν, τῆς δὲ θεοῦ φωνῆς οὐκ ἀκριβῶς ἐξακούεις, ἀλλὰ πόλιν μὲν οἴει κατὰ τὸν θεὸν ἄριστα πράττειν τὴν ἑνὸς ἀκούουσαν, συμποσίου δ' ἀρετὴν νομίζεις τὸ πάντας διαλέγεσθαι καὶ περὶ πάντων'. 'σὺ γάρ' ἔφη ὁ Αἴσωπος 'οὔπω γέγραφας οἰκέτας μὴ μεθύειν, ὡς ἔγραψας Ἀθήνησιν οἰκέτας μὴ ἐρᾶν μηδὲ ξηραλοιφεῖν'. γελάσαντος οὖν τοῦ Σόλωνος Κλεόδωρος ὁ ἰατρός 'ἀλλ' ἀνόμοιον' ἔφη 'τὸ ξηραλοιφεῖν τῷ λαλεῖν ἐν οἴνῳ βρεχόμενον· ἥδιστον γάρ ἐστι'. καὶ ὁ Χίλων ὑπολαβὼν ἔφη 'διὰ τοῦτό τοι μᾶλλον ἀφεκτέον αὐτοῦ'. πάλιν δ' ὁ Αἴσωπος 'καὶ μήν' ἔφη 'Θαλῆς ἔδοξεν εἰπεῖν ὅτι τάχιστα γηράσει'.

8. Γελάσας οὖν ὁ Περίανδρος, 'ἔχομεν' εἶπεν 'Αἴσωπε τὴν δίκην προσηκόντως, πρὶν ἢ τοὺς Ἀμάσιδος οὓς προειλόμεθα πάντας εἰσαγαγεῖν λόγους εἰς ἑτέρους ἐμπεσόντες. ὅρα δή, Νειλόξενε, τὰ λοιπὰ τῆς ἐπιστολῆς, καὶ χρῶ παροῦσιν ἐν ταὐτῷ τοῖς ἀνδράσιν'. 'ἀλλὰ μήν' ὁ Νειλόξενος ἔφη 'τὴν μὲν τοῦ Αἰθίοπος ἐπίταξιν οὐδὲν ἄν τις ἄλλο πλὴν

2, 18–20 H. 6, 578–580 R.

5. ἀκοῦον nescio quis: ἀκούειν 9. θεοῦ Reiskius: σοῦ 13. γέγραφας idem: γέγραφας ὅτι ὅμοιον 16. ἀνόμοιον W: ὅμοιον 22. προσηκόντως Reiskius: προσηκόντως ὅτι 25. ταὐτῷ idem: τούτῳ

Digitized by Google

'ἀχνυμένην σκυτάλην' προσείποι κατ' Ἀρχίλοχον, ὁ
δὲ σὸς ξένος Ἄμασις ἡμερώτερος ἐν τοῖς τοιούτοις F
προβλήμασι καὶ μουσικώτερος γέγονεν· ἐκέλευσε γὰρ
αὐτὸν εἰπεῖν τὸ πρεσβύτατον καὶ τὸ κάλλιστον καὶ
τὸ μέγιστον καὶ τὸ σοφώτατον καὶ τὸ κοινότατον,
καὶ ναὶ μὰ Δία πρὸς τούτοις τὸ ὠφελιμώτατον, καὶ
τὸ βλαβερώτατον καὶ τὸ ἰσχυρότατον καὶ τὸ ῥᾷστον.
ἆρ' οὖν ἀπεκρίνατο καὶ διέλυσε τούτων ἕκαστον;'
'οὕτως' ὁ Νειλόξενος ἔφη· 'κρίνετε δ' ὑμεῖς ἀκού-
σαντες. περὶ πολλοῦ γὰρ ὁ βασιλεὺς ποιεῖται μήτε 153
συκοφαντῶν ἁλῶναι τὰς ἀποκρίσεις, εἴ τε τι σφάλ-
λεται κατ' αὐτὰς ὁ ἀποκρινάμενος, τοῦτο μὴ δια-
φυγεῖν ἀνεξέλεγκτον. ἀναγνώσομαι δ' ὑμῖν ὥσπερ
ἀπεκρίνατο. τί πρεσβύτατον; χρόνος. τί μέγιστον;
κόσμος. τί σοφώτατον; ἀλήθεια. τί κάλλιστον; φῶς.
τί κοινότατον; θάνατος. τί ὠφελιμώτατον; θεός. τί
βλαβερώτατον; δαίμων. τί ῥωμαλεώτατον; τύχη. τί
ῥᾷστον; ἡδύ.'

9. Τούτων πάλιν ἀναγνωσθέντων, ὦ Νίκαρχε,
γενομένης σιωπῆς Θαλῆς ἠρώτησε τὸν Νειλόξενον εἰ
προσήκατο τὰς λύσεις ὁ Ἄμασις. ἐκείνου δ' εἰπόντος
ὅτι τὰς μὲν ἀπεδέξατο ταῖς δ' ἐδυσκόλαινε, 'καὶ μὴν B
οὐδέν' εἶπεν ὁ Θαλῆς 'ἀνεπίληπτόν ἐστιν, ἀλλ' ἔχει
πάντα διαμαρτίας μεγάλας καὶ ἀγνοίας. οἷον εὐθὺς
ὁ χρόνος πῶς ἂν εἴη πρεσβύτατον, εἰ τὸ μὲν αὐτοῦ
γεγονὸς τὸ δ' ἐνεστὼς ἐστι τὸ δὲ μέλλον; ὁ γὰρ μεθ'
ἡμᾶς ἑσόμενος χρόνος καὶ πραγμάτων τῶν νῦν καὶ
ἀνθρώπων νεώτερος ἂν φανείη. τὸ δὲ τὴν ἀλήθειαν

2, 20—21 H. 6, 580—581 R.

1. ἀχνυμένην] Bergk. p. 708[3] 7. τὸ ante βλαβερώ-
τατον* ῥᾷστον*: ῥᾷστον εἰπεῖν 12. κατ' αὐτὰς
Madvigius: κατὰ ταύτας ὁ W

Digitized by Google

ἡγεῖσθαι σοφίαν οὐδὲν ἐμοὶ δοκεῖ διαφέρειν τοῦ τὸ φῶς ὀφθαλμὸν ἀποφαίνειν. εἰ δὲ τὸ φῶς καλὸν ὥσπερ ἔστιν ἐνόμιζε, πῶς τὸν ἥλιον αὐτὸν παρεῖδε; τῶν δ' ἄλλων ἡ μὲν περὶ θεῶν καὶ δαιμόνων ἀπό-
C κρισις θράσος ἔχει καὶ κίνδυνον, ἀλογίαν δὲ καὶ πλά- 5
νην ἡ περὶ τῆς τύχης· οὐ γὰρ ἂν μετέπιπτε ῥᾳδίως οὕτως, ἰσχυρότατον οὖσα τῶν ὄντων καὶ ῥωμαλεώτατον. οὐ μὲν οὐδ' ὁ θάνατος κοινότατόν ἐστιν· οὐ γάρ ἐστι πρὸς τοὺς ζῶντας. ἀλλ' ἵνα μὴ δοκῶμεν εὐθύνειν τὰς τῶν ἑτέρων ἀποφάσεις, τὰς οἰκείας ταῖς 10
ἐκείνου παραβάλωμεν· ἐμαυτὸν δὲ παρέχω πρῶτον, εἰ βούλεται Νειλόξενος, ἐρωτᾶν καθ' ἕκαστον'.

Ὡς οὖν ἐγένοντο τότε, κἀγὼ νῦν διηγήσομαι τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρίσεις. 'τί πρεσβύτατον;' 'θεός' ἔφη Θαλῆς· 'ἀγέννητος γάρ ἐστι'. 'τί μέγι- 15
D στον;' 'τόπος· τἆλλα μὲν γὰρ ὁ κόσμος, τὸν δὲ κόσμον οὗτος περιέχει'. 'τί κάλλιστον;' κόσμος· πᾶν γὰρ τὸ κατὰ τάξιν τούτου μέρος ἐστί'. 'τί σοφώτατον;' 'χρόνος· τὰ μὲν γὰρ εὕρηκεν οὗτος ἤδη, τὰ δ' εὑρήσει'. 'τί κοινότατον;' 'ἐλπίς· καὶ γὰρ οἷς 20
ἄλλο μηδέν, αὕτη πάρεστι'. 'τί ὠφελιμώτατον;' 'ἀρετή· καὶ γὰρ τἆλλα τῷ χρῆσθαι καλῶς ὠφέλιμα ποιεῖ'. 'τί βλαβερώτατον;' 'κακία· καὶ γὰρ τὰ πλεῖστα βλάπτει παραγενομένη'. 'τί ἰσχυρότατον;' 'ἀνάγκη· μόνη γὰρ ἀνίκητος'. 'τί ῥᾷστον;' 'τὸ κατὰ φύσιν, 25
ἐπεὶ πρὸς ἡδονάς γε πολλοὶ πολλάκις ἀπαγορεύουσιν'.

E 10. Ἀποδεξαμένων δὲ πάντων τὸν Θαλῆν, ὁ

2, 21–22 H. 6, 581–3[illegible]

2. καλόν ὥσπερ ἔστιν Reiskius: ὥσπερ καλόν ἐστιν
5. πλάνην idem: πολλὴν 15. ἀγέννητος*: ἀγέννητον
25. μόνη γὰρ ἀνίκητος*: μόνον γὰρ ἀνίκητον 26. πολλοὶ Hauptius

Digitized by Google

Κλεόδωρος εἶπε 'τοσαῦτα ἐρωτᾶν καὶ ἀποκρίνεσθαι βασιλεῦσιν, ὦ Νειλόξενε, προσῆκόν ἐστιν· ὁ δὲ προπίνων τὴν θάλατταν Ἀμάσιδι βάρβαρος ἐδεῖτο τῆς Πιττακοῦ βραχυλογίας, ἣ πρὸς Ἀλυάττην ἐχρήσατο προστάττοντά τι καὶ γράφοντα Λεσβίοις ὑπερήφανον, ἀποκρινάμενος οὐδὲν ἀλλ' ἢ μόνον κελεύσας κρόμμυα καὶ θερμὸν ἄρτον ἐσθίειν'. ὑπολαβὼν οὖν ὁ Περίανδρος 'ἀλλὰ μὴν καὶ τοῖς παλαιοῖς Ἕλλησιν ἔθος ἦν, ὦ Κλεόδωρε, τοιαύτας ἀλλήλοις ἀπορίας προβάλλειν. ἀκούομεν γὰρ ὅτι καὶ πρὸς τὰς Ἀμφιδάμαντος ταφὰς F εἰς Χαλκίδα τῶν τότε σοφῶν οἱ δοκιμώτατοι ποιηταὶ συνῆλθον· ἦν δ' ὁ Ἀμφιδάμας ἀνὴρ πολεμικός, καὶ πολλὰ πράγματα παρασχὼν Ἐρετριεῦσιν ἐν ταῖς περὶ Ληλάντου μάχαις ἔπεσεν. ἐπεὶ δὲ τὰ παρεσκευασμένα τοῖς ποιηταῖς ἔπη χαλεπὴν καὶ δύσκολον ἐποίει τὴν κρίσιν διὰ τὸ ἐφάμιλλον, ἥ τε δόξα τῶν ἀγωνιστῶν, Ὁμήρου καὶ Ἡσιόδου, πολλὴν ἀπορίαν μετὰ αἰδοῦς τοῖς κρίνουσι παρεῖχεν, ἐτράποντο πρὸς τοιαύτας ἐρωτήσεις, καὶ προύβαλε μὲν ὧς φασι Λέσχης

'Μοῦσά μοι ἔννεπε κεῖνα, τὰ μήτ' ἐγένοντο πάροιθε 154
μήτ' ἔσται μετόπισθεν',

ἀπεκρίνατο δ' Ἡσίοδος ἐκ τοῦ παρατυχόντος

'ἀλλ' ὅταν ἀμφὶ Διὸς τύμβῳ καναχήποδες ἵπποι
ἅρματα συντρίψωσιν ἐπειγόμενοι περὶ νίκης'.

καὶ διὰ τοῦτο λέγεται μάλιστα θαυμασθεὶς τοῦ τρίποδος τυχεῖν'. 'τί δὲ ταῦτα' ὁ Κλεόδωρος εἶπε 'διαφέρει τῶν Εὐμήτιδος αἰνιγμάτων; ἃ ταύτην μὲν ἴσως B οὐκ ἀπρεπές ἐστι παίζουσαν καὶ διαπλέκουσαν ὥσπερ ἕτεραι ζώνια καὶ κεκρυφάλους προβάλλειν ταῖς γυ-

2, 22—23 H. 6, 583—584 R.

14. Ληλάντου*: λιλάντου

Digitized by Google

ναιξίν, ἄνδρας δὲ νοῦν ἔχοντας ἔν τινι σπουδῇ τίθεσθαι γελοῖον'. ἡ μὲν οὖν Εὔμητις ἡδέως ἂν εἰποῦσά τι πρὸς αὐτόν, ὡς ἐφαίνετο, κατέσχεν ἑαυτὴν ὑπ' αἰδοῦς, καὶ ἀνεπλήσθη τὸ πρόσωπον ἐρυθήματος· ὁ δὲ Αἴσωπος οἷον ἀμυνόμενος ὑπὲρ αὐτῆς 'οὐ γελοιότερον οὖν' εἶπε 'τὸ μὴ δύνασθαι ταῦτα διαλύειν, οἷόν ἐστιν ὃ μικρὸν ἔμπροσθεν ἡμῖν τοῦ δείπνου προύβαλεν

'ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα;'

C τί τοῦτ' ἔστιν ἔχοις ἂν εἰπεῖν;' 'ἀλλ' οὐδὲ μαθεῖν δέομαι' ἔφη ὁ Κλεόδωρος. 'καὶ μὴν οὐδείς' ἔφη 'σοῦ τοῦτο μᾶλλον οἶδεν οὐδὲ ποιεῖ βέλτιον· εἰ δ' ἀρνῇ, μάρτυρας ἔχω σικυωνίας'. ὁ μὲν οὖν Κλεόδωρος ἐγέλασε· καὶ γὰρ ἐχρῆτο μάλιστα ταῖς σικυωνίαις τῶν καθ' αὑτὸν ἰατρῶν, καὶ δόξαν οὐχ ἥκιστα τὸ βοήθημα τοῦτο δι' ἐκεῖνον ἔσχηκε.

11. Μνησίφιλος δ' ὁ Ἀθηναῖος, ἑταῖρος ὢν καὶ ζηλωτὴς Σόλωνος, 'ἐγώ τοι' εἶπεν 'ὦ Περίανδρε τὸν λόγον ἀξιῶ καθάπερ τὸν οἶνον μὴ πλουτίνδην D μηδ' ἀριστίνδην ἀλλ' ἐξ ἴσου πᾶσιν ὥσπερ ἐν δημοκρατίᾳ νέμεσθαι καὶ κοινὸν εἶναι· τῶν δ' ἄρτι περὶ ἀρχῆς καὶ βασιλείας εἰρημένων οὐδὲν ἡμῖν τοῖς δημοτικοῖς μέτεστιν. ὅθεν οἰόμεθα δεῖν πάλιν ἕκαστον ὑμῶν περὶ πολιτείας ἰσονόμου γνώμην τινὰ συμβαλέσθαι, ἀρξαμένους αὖθις ἀπὸ Σόλωνος'. ἐδόκει δὴ ταῦτα ποιεῖν. καὶ πρῶτος ὁ Σόλων 'ἀλλ' ἀκήκοας μέν' εἶπεν 'ὦ Μνησίφιλε μετὰ πάντων Ἀθηναίων ἣν ἔχω γνώμην περὶ πολιτείας· εἰ δὲ βούλει καὶ νῦν ἀκούειν, δοκεῖ μοι πόλις ἄριστα πράττειν καὶ μάλιστα σῴζειν δημοκρατίαν, ἐν ᾗ τὸν ἀδικήσαντα τοῦ

2, 23—24 H. 6, 584—586 R.

Digitized by Google

ἀδικηθέντος οὐδὲν ἧττον οἱ μὴ ἀδικηθέντες προβάλ- E
λονται καὶ κολάζουσι'. δεύτερος δ' ὁ Βίας ἔφη κρατίστην εἶναι δημοκρατίαν ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον. ἐπὶ τούτῳ Θαλῆς τὴν μήτε πλουσίους ἄγαν μήτε πένητας ἔχουσαν πολίτας. μετὰ δὲ τοῦτον ὁ Ἀνάχαρσις ἐν ᾗ τῶν ἄλλων ἴσων νομιζομένων ἀρετῇ τὸ βέλτιον ὁρίζεται, κακίᾳ δὲ τὸ χεῖρον. πέμπτος δ' ὁ Κλεόβουλος ἔφη μάλιστα σωφρονεῖν δῆμον ὅπου τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν ἢ τὸν νόμον. ἕκτος δὲ Πιττακός, ὅπου τοῖς πονηροῖς οὐκ ἔξεστιν ἄρχειν καὶ τοῖς ἀγαθοῖς οὐκ ἔξεστι μὴ ἄρχειν. μετατραπεὶς δ' ὁ Χίλων ἀπεφήνατο τὴν μάλιστα νόμων ἥκιστα δὲ ῥητόρων ἀκούουσαν F
πολιτείαν ἀρίστην εἶναι. τελευταῖος δὲ πάλιν ὁ Περίανδρος ἐπικρίνων ἔφη δοκεῖν αὐτῷ πάντας ἐπαινεῖν δημοκρατίαν τὴν ὁμοιοτάτην ἀριστοκρατίᾳ.

12. Τέλος δὲ καὶ τούτου τοῦ λόγου λαβόντος ἠξίουν ἐγὼ καὶ περὶ οἴκου ἢ χρηστέον εἰπεῖν τοὺς ἄνδρας ἡμῖν· 'βασιλείας μὲν γὰρ καὶ πόλεις ὀλίγοι κυβερνῶσιν, ἑστίας δὲ πᾶσιν ἡμῖν καὶ οἴκου μέτεστι'. 155
γελάσας οὖν ὁ Αἴσωπος 'οὔκ, εἴγε τῶν πάντων' ἔφη 'καὶ Ἀνάχαρσιν ἀριθμεῖς· τούτῳ γὰρ οἶκος οὐκ ἔστιν, ἀλλὰ καὶ σεμνύνεται τῷ ἄοικος εἶναι, χρῆσθαι δ' ἁμάξῃ, καθάπερ τὸν ἥλιον ἐν ἅρματι λέγουσι περιπολεῖν, ἄλλοτ' ἄλλην ἐπινεμόμενον τοῦ οὐρανοῦ χώραν'· καὶ ὁ Ἀνάχαρσις 'διὰ τοῦτό τοι' εἶπεν 'ἡ μόνος ἢ μάλιστα τῶν θεῶν ἐλεύθερός ἐστι καὶ αὐτόνομος, καὶ κρατεῖ πάντων, κρατεῖται δ' ὑπ' οὐδενός, ἀλλὰ βασι-

2, 24—25 H. 6, 586—588 R.

2. ἔφη Stobaeus Floril. XLIII 131: ἔφησε (κακίᾳ Pflugkius) δὲ Stobaeus: καὶ κακία 7. κακία 12. μετατραπεὶς] μετὰ τούτους W

Digitized by Google

λεύει καὶ ἡνιοχεῖ. πλὴν σέ γε τὸ ἅρμα λέληθεν αὐτοῦ ὡς ὑπερφυὲς κάλλει καὶ μεγέθει θαυμάσιόν ἐστιν·
B οὐ γὰρ ἂν παίζων ἐπὶ γέλωτι παρέβαλες ἐκεῖνο τοῖς ἡμετέροις. οἶκον δέ μοι δοκεῖς, ὦ Αἴσωπε, ταυτὶ τὰ πήλινα καὶ ξύλινα καὶ κεραμεᾶ στεγάσματα νομίζειν, ὥσπερ εἰ κοχλίαν ἡγοῖο τὸ κέλυφος, ἀλλὰ μὴ τὸ ζῷον. εἰκότως οὖν σοι γέλωτα παρέσχεν ὁ Cόλων, ὅτι τοῦ Κροίσου τὴν οἰκίαν κεκοσμημένην πολυτελῶς θεασάμενος οὐκ εὐθὺς ἀπεφήνατο τὸν κεκτημένον εὐδαιμόνως οἰκεῖν καὶ μακαρίως, ἅτε δὴ τῶν ἐν αὐτῷ μᾶλλον ἀγαθῶν ἢ τῶν παρ' αὐτῷ βουλόμενος γενέσθαι θεατής· σὺ δ' ἔοικας οὐδὲ τῆς σεαυτοῦ μνημονεύειν ἀλώπεκος. ἐκείνη μὲν γὰρ εἰς ἀγῶνα ποικιλίας κατασταῖσα πρὸς τὴν πάρδαλιν ἠξίου τὰ ἐντὸς
C αὐτῆς καταμαθεῖν τὸν δικαστήν, ποικιλωτέρα γὰρ ἐκεῖθεν φανεῖσθαι· σὺ δὲ τὰ τεκτόνων καὶ λιθοξόων ἔργα περινοστεῖς, οἶκον ἡγούμενος οὐ τὰ ἐντὸς ἑκάστου καὶ οἰκεῖα, παῖδας καὶ γάμον καὶ φίλους καὶ θεράποντας, οἷς κἂν ἐν μυρμηκιᾷ τις ἢ νεοττιᾷ νοῦν ἔχουσι καὶ σωφρονοῦσι κοινωνῇ τῶν ὑπόντων, χρηστὸν οἶκον οἰκεῖ καὶ μακάριον. ἐγὼ μὲν οὖν' ἔφη 'ταῦτα καὶ πρὸς Αἴσωπον ἀποκρίνομαι καὶ Διοκλεῖ συμβάλλομαι· τῶν δ' ἄλλων ἕκαστος ἀποφαίνεσθαι δίκαιός ἐστι τὴν ἑαυτοῦ γνώμην'. τοῦτον οὖν ἄριστον ὁ Cόλων εἶπεν αὐτῷ δοκεῖν οἶκον, ὅπου τὰ κτήματα μήτε κτωμένοις
D ἀδικία μήτε φυλάττουσιν ἀπιστία, μήτε δαπανῶσι μετάνοια πρόσεστιν. ὁ δὲ Βίας ἐν ᾧ τοιοῦτός ἐστιν ὁ δεσπότης δι' αὐτὸν οἷος ἔξω διὰ τὸν νόμον. ὁ δὲ Θαλῆς ἐν ᾧ πλείστην ἄγειν τῷ δεσπότῃ σχολὴν ἔξ-

2, 25—27 H. 6, 588—590 B

24. τοῦτον — εἶπεν Stobaeus Floril. LXXX 14: οὕτως ὁ cόλων ἄριστον

Digitized by Google

εστιν. ὁ δὲ Κλεόβουλος εἰ πλείονας ἔχοι τῶν φοβουμένων αὐτὸν τοὺς φιλοῦντας ὁ δεσπότης. ὁ δὲ Πιττακὸς εἶπεν 'ὡς ἄριστος οἰκός ἐστιν ὁ τῶν περισσῶν μηδενὸς δεόμενος καὶ τῶν ἀναγκαίων μηδενὸς ἐνδεόμενος'. ὁ δὲ Χίλων ἔφη δεῖν μάλιστα βασιλευομένῃ πόλει προσοικέναι τὸν οἶκον. εἶτα προσεπεῖπεν ὅτι καὶ Λυκοῦργος πρὸς τὸν κελεύοντα δημοκρατίαν ἐν τῇ πόλει κατασταῆσαι 'πρῶτος' ἔφη 'ποίησον ἐν τῇ οἰκίᾳ σου δημοκρατίαν'. E

13. Ἐπεὶ δὲ καὶ οὗτος ἔσχεν ὁ λόγος τέλος, ἡ μὲν Εὔμητις ἐξῆλθε μετὰ τῆς Μελίσσης, τοῦ δὲ Περιάνδρου τῷ Χίλωνι προπιόντος εὐμεγέθη κύλικα, τῷ δὲ Βίαντι τοῦ Χίλωνος, Ἄρδαλος ἐπαναστὰς καὶ προσαγορεύσας τὸν Αἴσωπον 'σὺ δ' οὐκ ἄν' ἔφη 'διαπέμψαιο δεῦρο τὸ ποτήριον πρὸς ἡμᾶς, ὁρῶν τούτους ὥσπερ τὴν Βαθυκλέους κύλικα διαπεμπομένους ἀλλήλοις, ἑτέρῳ δὲ μὴ μεταδιδόντας;' καὶ ὁ Αἴσωπος 'ἀλλ' οὐ δεῖ τοῦτο' ἔφη 'τὸ ποτήριον δημοτικὸν εἶναι· Κόλωνι γὰρ ἔκπαλαι παράκειται μόνῳ'. τὸν οὖν Μνησίφιλον προσαγορεύσας ὁ Πιττακὸς ἠρώτησε τί οὐ πίνει ὁ Κόλων ἀλλὰ καταμαρτυρεῖ τῶν ποιημάτων ἐν οἷς γέγραφεν F

'ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
καὶ Μουσέων, ἃ τίθης' ἀνδράσιν εὐφροσύνας'.

ὑποφθάσας δ' Ἀνάχαρσις 'σὲ γάρ', ὦ Πιττακέ, καὶ τὸν σὸν ἐκεῖνον τὸν χαλεπὸν φοβεῖται νόμον, ἐν ᾧ γέγραφας 'Ἐάν τις ὁτιοῦν μεθύων ἁμάρτῃ, δι-

1, 345—347 H. 6, 429—431 R.

4. μηδενὸς δεόμενος Stobaeus 18. οὐ δεῖ Madvigius: οὐδὲ 23. Bergk. p. 430[3]

Digitized by Google

πλασίαν ἢ τῷ νήφοντι τὴν ζημίαν εἶναι'. καὶ ὁ Πιττακός 'σὺ δέ γε' εἶπεν 'οὕτως ἐξύβρισας εἰς τὸν νόμον, ὥστε πέρυσι παρα λίβυτ' ἀδελφῷ μεθυσθεὶς
156 ἄθλον αἰτεῖν καὶ στέφανον'. 'τί δ' οὐκ ἔμελλον' ἔφη ὁ Ἀνάχαρσις 'τῷ πλεῖστον πιόντι προκειμένων ἄθλων πρῶτος μεθυσθεὶς ἀπαιτεῖν τὸ νικητήριον; ἢ διδάξατέ με ὑμεῖς, τί τέλος ἐστὶ τοῦ πολὺν πιεῖν ἄκρατον ἢ τὸ μεθυσθῆναι'. τοῦ δὲ Πιττακοῦ γελάσαντος ὁ Αἴσωπος λόγον εἶπε τοιοῦτον. 'λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον ἐγγὺς προσελθών 'ἡλίκος ἂν ἦν' ἔφη 'ὑμῶν θόρυβος, εἰ ἐγὼ τοῦτο ἐποίουν.' καὶ ὁ Χίλων 'ὀρθῶς' ἔφη 'Αἴσωπος ἠμύνατο, μικρὸν ἔμπροσθεν ἐπιστομισθεὶς ὑφ' ἡμῶν, εἶτα νῦν ὁρῶν ἑτέρους τὸν Μνησιφίλου λόγον ὑφηρπακότας· Μνησίφιλος γὰρ ᾐτήθη τὴν ὑπὲρ Σόλωνος ἀπόκρισιν'. 'καὶ λέγω' ὁ Μνησίφιλος εἶπεν
B 'εἰδὼς ὅτι Σόλωνι δοκεῖ πάσης τέχνης καὶ δυνάμεως ἀνθρωπίνης τε καὶ θείας ἔργον εἶναι τὸ γιγνόμενον μᾶλλον ἢ δι' οὗ γίγνεται, καὶ τὸ τέλος ἢ τὰ πρὸς τὸ τέλος. ὑφάντης τε γὰρ ἂν οἶμαι χλαμύδα ποιήσαιτο μᾶλλον ἔργον αὑτοῦ καὶ ἱμάτιον ἢ κανόνων διάθεσιν καὶ ἀνέγερσιν ἀγνύθων, χαλκεύς τε κόλλησιν σιδήρου καὶ στόμωσιν πελέκεως μᾶλλον ἤ τι τῶν ἕνεκα τούτου γιγνομένων ἀναγκαίων, οἷον ἀνθράκων ἐκζωπύρησιν ἢ λατύπης παρασκευήν. ἔτι δὲ μᾶλλον ἀρχιτέκτων μέμψαιτ' ἂν ἡμᾶς ἔργον αὐτοῦ μὴ ναῦν μηδὲ οἰκίαν ἀποφαίνοντας, ἀλλὰ τρυπῆσαι ξύλα καὶ
C φυρᾶσαι πηλόν· αἱ δὲ Μοῦσαι καὶ παντάπασιν, εἰ νομίζοιμεν αὐτῶν ἔργον εἶναι κιθάραν καὶ αὐλούς,

2, 28—29 H. 6, 591—593 R.

3. παρὰ Διβουτάδῃ Δελφῷ Madvigius 16. λέγω W: λέγων 20. ποιήσαιτο idem: ποιήσαι

ἀλλὰ μὴ τὸ παιδεύειν τὰ ἤθη καὶ παρηγορεῖν τὰ πάθη τῶν χρωμένων μέλεσι καὶ ἁρμονίαις. οὐκοῦν οὐδὲ τῆς Ἀφροδίτης ἔργον ἐστὶ συνουσία καὶ μῖξις, οὐδὲ τοῦ Διονύσου μέθη καὶ οἶνος, ἀλλ' ἦν ἐμποιοῦσι διὰ τούτων φιλοφροσύνην καὶ πόθον καὶ ὁμιλίαν ἡμῖν καὶ συνήθειαν πρὸς ἀλλήλους· ταῦτα γὰρ ἔργα θεῖα καλεῖ Σόλων, καὶ ταῦτά φησιν ἀγαπᾶν καὶ διώκειν μάλιστα πρεσβύτης γενόμενος. ἔστι δὲ τῆς μὲν πρὸς γυναῖκας ἀνδρῶν ὁμοφροσύνης καὶ φιλίας δημιουργὸς ἡ Ἀφροδίτη, τοῖς σώμασιν ὑφ' ἡδονῆς ἅμα συμμι- D γνύουσα καὶ συντήκουσα τὰς ψυχάς· τοῖς δὲ πολλοῖς καὶ μὴ πάνυ συνήθεσι μηδ' ἄγαν γνωρίμοις ὁ Διόνυσος ὥσπερ ἐν πυρὶ τῷ οἴνῳ μαλάττων τὰ ἤθη καὶ ἀνυγραίνων ἀρχήν τινα συγκράσεως πρὸς ἀλλήλους καὶ φιλίας ἐνδίδωσιν. ὅταν δὲ τοιοῦτοι συνέλθωσιν ἄνδρες, οἵους ὁ Περίανδρος ὑμᾶς παρακέκληκεν, οὐδὲν ἔργον ἐστὶν οἶμαι κύλικος οὐδ' οἰνοχόης, ἀλλ' αἱ Μοῦσαι καθάπερ κρατῆρα νηφάλιον ἐν μέσῳ προθέμεναι τὸν λόγον, ᾧ πλεῖστον ἡδονῆς ἅμα καὶ παιδιᾶς καὶ σπουδῆς ἔνεστιν, ἐγείρουσι τούτῳ καὶ κατάρδουσι καὶ διαχέουσι τὴν φιλοφροσύνην, ἐῶσαι τὰ E πολλὰ τὴν οἰνοχόην ἀτρέμα κεῖσθαι 'κρητῆρος ὕπερθεν', ὅπερ ἀπηγόρευεν Ἡσίοδος ἐν τοῖς πίνειν μᾶλλον ἢ διαλέγεσθαι δυναμένοις. ἐπεὶ τάς γε προπόσεις' ἔφη 'λιτὰς πυνθάνομαι πίνειν τοὺς παλαιούς, 'δαιτρόν', ὡς Ὅμηρος ἔφη, καὶ μετρητὸν ἑκάστου πίνοντος, εἶτα ὥσπερ αἴας μερίδας μεταδιδόντος τῷ

2, 29—31 H. 6, 593—595 E.

22. κρητῆρος*: κρατῆρος 23. Ἡσίοδος] O. et D. 742 24. γε Reiskius: τε 25. λιτὰς*: αὐτὰς πίνειν τοὺς παλαιούς*: λέγειν τοῖς παλαιοῖς 26. δαιτρόν Meziriacus: ἔνδειπνον Ὅμηρος] Δ 262 27. αἴας] λεῖας Hauptius

Digitized by Google

πλησίον'. εἰπόντος δὲ ταῦτα τοῦ Μνησιφίλου Χερ-
F σίας ὁ ποιητής (ἀφεῖτο γὰρ ἤδη τῆς αἰτίας καὶ διήλ-
λακτο τῷ Περιάνδρῳ νεωστί, Χίλωνος δεηθέντος) 'ἆρ'
οὖν' ἔφη 'καὶ τοῖς θεοῖς ὁ Ζεύς, ὥσπερ τοῖς ἀρι-
στεῦσιν ὁ Ἀγαμέμνων, μετρητὸν ἐνέχει τὸ ποτόν, ὅτε
προύπινον ἀλλήλοις ἑστιώμενοι παρ' αὐτῷ;' καὶ ὁ
Κλεόδωρος 'σὺ δ' ὦ Χερσία' εἶπεν, 'εἰ τὴν ἀμβρο-
σίαν τῷ Διὶ πελειάδες τινὲς κομίζουσιν, ὡς ὑμεῖς λέ-
γετε, τὰς Πλαγκτὰς ὑπερπετόμεναι χαλεπῶς καὶ μό-
λις, οὐ νομίζεις καὶ τὸ νέκταρ αὐτῷ δυσπόριστον εἶναι
157 καὶ σπάνιον, ὥστε φείδεσθαι καὶ παρέχειν ἑκάστῳ τε-
ταμιευμένον;'

14. 'Ἴσως' εἶπεν ὁ Χερσίας· 'ἀλλ' ἐπεὶ πάλιν
περὶ οἰκονομίας λόγος γέγονε, τίς ἂν ὑμῶν φράσειεν
ἡμῖν τὸ ἀπολειπόμενον; ἀπολείπεται δ' οἶμαι κτή-
σεώς τι λαβεῖν μέτρον αὐτάρκους καὶ ἱκανῆς ἐσομέ-
νης'. καὶ ὁ Κλεόβουλος 'ἀλλὰ τοῖς μὲν σοφοῖς' ἔφη
'μέτρον ὁ νόμος δέδωκε, πρὸς δὲ τοὺς φαύλους ἐρῶ
λόγον τῆς ἐμῆς θυγατρὸς ὃν πρὸς τὸν ἀδελφὸν εἶ-
πεν. ἔφη γὰρ τὴν Σελήνην δεῖσθαι τῆς ἑαυτῆς μητρὸς
ὅπως αὐτῇ χιτώνιον ὑφήνῃ σύμμετρον· τὴν δ' εἰπεῖν
B 'καὶ πῶς σύμμετρον ὑφήνω; νῦν μὲν γὰρ ὁρῶ σε
πανσέληνον, αὖθις δὲ μηνοειδῆ, τοτὲ δ' ἀμφίκυρτον'.
οὕτω δή, ὦ φίλε Χερσία, καὶ πρὸς ἄνθρωπον ἀνόη-
τον καὶ φαῦλον οὐδέν ἐστι μέτρον οὐσίας· ἄλλοτε
γὰρ ἄλλος ἐστὶ ταῖς χρείαις διὰ τὰς ἐπιθυμίας καὶ
τὰς τύχας, ὥσπερ ὁ Αἰσώπου κύων, ὃν οὗτοί φησιν
ἐν τῷ χειμῶνι συστρεφόμενον καὶ συσπειρώμενον διὰ
τὸ ῥιγοῦν οἰκίαν ποιεῖν διανοεῖσθαι, θέρους δ' αὖ
πάλιν ἐκτεταμένον καθεύδοντα φαίνεσθαι μέγαν ἑαυ-

2, 31—32 H. 6, 595—597 R.

14. περὶ W

Digitized by Google

τῷ καὶ μήτ' ἀναγκαῖον ἡγεῖσθαι μήτε μικρὸν ἔργον οἰκίαν περιβαλέσθαι τοσαύτην. ἦ γὰρ οὐχ ὁρᾷς' εἶπεν 'ὦ Χερσία, καὶ τοὺς φαύλους νῦν μὲν εἰς μικρὰ κομιδῇ cυστέλλοντας ἑαυτοὺς ὡς στρογγύλως καὶ Λακωνικῶς βιωσομένους, νῦν δέ, εἰ μὴ τὰ πάντων ἔχουσιν ἰδιωτῶν ἅμα καὶ βασιλέων, ὑπ' ἐνδείας ἀπολεῖσθαι νομίζοντας;' ὡς οὖν ὁ Χερσίας ἀπεσιώπησεν, ὑπολαβὼν ὁ Κλεόδωρος 'ἀλλὰ καὶ τοὺς cοφούς' εἶπεν 'ὑμᾶς ὁρῶμεν ἀνίσοις μέτροις τὰς κτήσεις νενεμημένας πρὸς ἀλλήλους ἔχοντας'. καὶ ὁ Κλεόβουλος 'ὁ γάρ τοι νόμος' εἶπεν 'ὦ βέλτιστε ἀνδρῶν, ὡς ὑφάντης ἑκάστῳ τὸ πρέπον ἡμῶν καὶ τὸ μέτριον καὶ τὸ ἁρμόττον ἀποδίδωcι. καὶ cὺ καθάπερ νόμῳ τῷ λόγῳ τρέφων καὶ διαιτῶν καὶ φαρμακεύων τοὺς κάμνοντας οὐκ ἴcον ἑκάστῳ, τὸ δὲ προcῆκον ἀπονέμεις ἅπαcιν'. ὑπολαβὼν δ' ὁ Ἄρδαλος 'ἆρ' οὖν' ἔφη 'καὶ τὸν ἑταῖρον ὑμῶν Cόλωνος δὲ ξένον Ἐπιμενίδην νόμος τις ἀπέχεcθαι τῶν ἄλλων cιτίων κελεύει, τῆς δ' ἀλίμου δυνάμεως ἣν αὐτὸς cυντίθηcι μικρὸν εἰς τὸ στόμα λαμβάνοντα διημερεύειν ἀνάριστον καὶ ἄδειπνον;' ἐπιστήcαντος δὲ τοῦ λόγου τὸ cυμπόcιον ὁ μὲν Θαλῆς ἐπιcκώπτων εὖ φρονεῖν ἔφη τὸν Ἐπιμενίδην ὅτι μὴ βούλεται πράγματα ἔχειν ἀλῶν τὰ cιτία καὶ πέττων ἑαυτῷ, καθάπερ Πιττακός. ἐγὼ γάρ' εἶπε 'τῆς ξένης ἤκουον ᾠδούcης πρὸς τὴν μύλην, ἐν Ἐρέcῳ γενόμενος,

'ἄλει μύλα ἄλει·
καὶ γὰρ Πιττακὸc ἄλει
μεγάλας Μιτυλάνας βαcιλεύων'.

ὁ δὲ Cόλων ἔφη θαυμάζειν τὸν Ἄρδαλον εἰ τὸν νό-

C D E

2, 32—33 H. 6, 597—599 B.

3. φαύλους*: μικροὺς 13. καθάπερ*: καθάπερ τῷ

Digitized by Google

μον οὐκ ἀνέγνωκε τῆς διαίτης τοῦ ἀνδρὸς ἐν τοῖς ἔπεσι τοῖς Ἡσιόδου γεγραμμένον· ἐκεῖνος γάρ ἐστιν ὁ πρῶτος Ἐπιμενίδῃ σπέρματα τῆς τροφῆς ταύτης παρασχὼν καὶ ζητεῖν ὁ διδάξας

'ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ'.

F 'οἶει γάρ' ὁ Περίανδρος εἶπε 'τὸν Ἡσίοδον ἐννοῆσαί τι τοιοῦτον, οὐκ ἐπαινέτην ὄντα φειδοῦς ἀεὶ καὶ πρὸς τὰ λιτότατα τῶν ὄψων ὡς ἥδιστα παρακαλεῖν ἡμᾶς; ἀγαθὴ μὲν γὰρ ἡ μαλάχη βρωθῆναι, γλυκὺς δ' ὁ ἀνθέρικος· τὰ δ' ἄλιμα ταῦτα καὶ ἄδιψα φάρμακα μᾶλλον ἢ σιτία πυνθάνομαι, καὶ μέλι καὶ τυρόν τινα βαρβαρικὸν δέχεσθαι, καὶ σπέρματα πάμπολλα τῶν οὐκ εὐπορίστων. πῶς οὖν οὐκ ἂν τῷ Ἡσιόδῳ τὸ 'πηδάλιον μὲν ὑπὲρ καπνοῦ' κείμενον

'ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν',

εἰ τοσαύτης δεήσειε παρασκευῆς; θαυμάζω δέ σου τὸν
158 ξένον ὦ Κόλων εἰ Δηλίοις ἔναγχος ποιησάμενος τὸν μέγαν καθαρμὸν οὐχ ἱστόρησε παρ' αὐτοῖς εἰς τὸ ἱερὸν κομιζόμενα τῆς πρώτης ὑπομνήματα τροφῆς καὶ δείγματα μετ' ἄλλων εὐτελῶν καὶ αὐτοφυῶν μαλάχην καὶ ἀνθέρικον, ὧν εἰκός ἐστι καὶ τὸν Ἡσίοδον προξενεῖν ἡμῖν τὴν λιτότητα καὶ τὴν ἀφέλειαν'. 'οὐ ταῦτα' ἔφη 'μόνον' ὁ Ἀνάχαρσις 'ἀλλὰ καὶ πρὸς ὑγίειαν ἐν τοῖς μάλιστα τῶν λαχάνων ἑκάτερον ἐπαινεῖται'. καὶ ὁ Κλεόδωρος 'ὀρθῶς' ἔφη 'λέγεις· ἰα-
B τρικὸς γὰρ ὢν Ἡσίοδος δῆλός ἐστιν οὐκ ἀμελῶς οὐδ'

2, 33—34 H. 6, 599—600 R.

2. Ἡσιόδου] O. et D. 41 13. ἂν Pflugkius: ἐν Ἡσιόδῳ] O. et D. 45 14. μὲν* 17. δεήσειε*: δεήσει 27. ὢν Ἡσίοδος*: ἡσίοδος ὡς

Digitized by Google

ἀπείρως περὶ διαίτης καὶ κράσεως οἴνου καὶ ἀρετῆς ὕδατος καὶ λουτροῦ καὶ γυναικῶν διαλεγόμενος καὶ συνουσίας καιροῦ καὶ βρεφῶν καθίσεως. ἀλλ' Ἡσιόδου μὲν ἐμοὶ δοκεῖ δικαιότερον Αἴσωπος αὐτὸν ἀποφαίνειν μαθητὴν ἢ Ἐπιμενίδης· τούτῳ γὰρ ἀρχὴν τῆς καλῆς ταύτης καὶ ποικίλης καὶ πολυγλώσσου σοφίας ὁ πρὸς τὴν ἀηδόνα λόγος τοῦ ἱέρακος παρέσχηκεν. ἐγὼ δ' ἂν ἡδέως ἀκούσαιμι Κόλωνος· εἰκὸς γὰρ αὐτὸν πεπύσθαι, πολὺν χρόνον Ἀθήνησιν Ἐπιμενίδῃ συγγενόμενον, ὅ τι δὴ παθὼν ἢ σοφιζόμενος ἐπὶ τοιαύτην ἦλθε δίαιταν'.

15. Καὶ ὁ Κόλων ἔφη 'τί δὲ τοῦτο ἐκεῖνον ἐρωτᾶν ἔδει; δῆλον γὰρ ἦν ὅτι τοῦ μεγίστου τῶν ἀγαθῶν καὶ κρατίστου δεύτερόν ἐστι τὸ δεῖσθαι τροφῆς βραχυτάτης, εἴ γε μέγιστόν σοι δοκεῖ τὸ μηδ' ὅλως τροφῆς δεῖσθαι'. 'οὐδαμῶς' ὁ Κλεόδωρος 'ἔμοιγε' εἶπεν, 'εἰ δεῖ τὸ φαινόμενον εἰπεῖν, καὶ μάλιστα παρακειμένης τραπέζης, ἣν ἀναιροῦσιν αἱρομένης τροφῆς φιλίων θεῶν βωμὸν οὖσαν καὶ ξενίων. ὡς δὲ Θαλῆς λέγει τῆς γῆς ἀναιρεθείσης σύγχυσιν τὸν ὅλον ἔσεσθαι κόσμον, οὕτως οἴκου διάλυσίς ἐστι· συναναιρεῖται γὰρ αὐτῇ πῦρ ἑστιοῦχον ἑστία κρατῆρες ὑποδοχαὶ ξενισμοί, φιλανθρωπότατα καὶ πρῶτα κοινωνήματα πρὸς ἀλλήλους, μᾶλλον δὲ σύμπας ὁ βίος, εἴ γε διαγωγή τίς ἐστιν ἀνθρώπου πράξεων ἔχουσα διέξοδον, ὧν ἡ τῆς τροφῆς χρεία καὶ παρασκευὴ τὰς πλείστας παρακαλεῖ.

2, 34—36 H. 6, 600—602 R.

3. καθίσεως] Hesiod. O. et D. 750 Ἡσιόδου] O. et D. 203 15. εἴ γε*: εἰ τὸ σοι W: εὖ 18. τραπέζης ἣν αἰδοῦμαι φιλίων θεῶν βωμὸν οὖσάν καὶ ξενίων et οὕτως οἴκου διάλυσίς ἐστι αἱρομένης τροφῆς W 24. εἴ γε Xylander: εἴ τε

Digitized by Google

δεινὸν μὲν οὖν, ὦ ἑταῖρε, καὶ τὸ γεωργίας αὐτῇ· διαλυομένη γὰρ αὖθις ἀπολείπει γῆν ἡμῖν ἄμορφον καὶ ἀκάθαρτον, ὕλης ἀκάρπου καὶ ῥευμάτων πλημμελῶς φερομένων ὑπ' ἀργίας ἀνάπλεων. συναπόλλυσι δὲ καὶ τέχνας πάσας καὶ ἐργασίας, ὧν ἔξαρχός ἐστι καὶ παρέχει βάσιν πάσαις καὶ ὕλην, καὶ τὸ μηδὲν εἶ-
E σι, ταύτης ἐκποδὼν γενομένης. καταλύονται δὲ καὶ τιμαὶ θεῶν, Ἡλίῳ μὲν μικράν, ἔτι δ' ἐλάττω Σελήνῃ χάριν αὐγῆς μόνον καὶ ἀλέας ἀνθρώπων ἐχόντων. ὀμβρίῳ δὲ Διὶ καὶ προηροσίᾳ Δήμητρι καὶ φυταλμίῳ Ποσειδῶνι ποῦ βωμὸς ἔσται, ποῦ δὲ θυσία; πῶς δ' χαριδότης ὁ Διόνυσος, εἰ δεησόμεθα μηδενὸς ὧν δίδωσι; τί δὲ θύσομεν ἢ σπείσομεν; τίνος δ' ἀπαρξόμεθα; πάντα γὰρ ταῦτα τῶν μεγίστων ἀνατροπὴν καὶ σύγχυσιν ἔχει πραγμάτων. ἡδονῆς δὲ πάσης μὲν πε-
15 ριέχεσθαι καὶ πάντως ἀλόγιστόν ἐστι, πᾶσαν δὲ φεύγειν καὶ πάντως ἀναίσθητον. τὴν μὲν οὖν ψυχὴν ἑτέραις τισὶν ἡδοναῖς χρῆσθαι κρείττοσιν ὑπαρχέτω,
F τῷ δὲ σώματι λαβεῖν ἡδονὴν τῆς ἀπὸ τοῦ τρέφεσθαι δικαιοτέραν οὐκ ἔστιν, ὅπερ οὐδένα λέληθεν ἀνθρώ-
20 πων· ταύτην γὰρ ἐν μέσῳ θέμενοι κοινωνοῦσιν ἀλλήλοις δείπνων καὶ τραπέζης, ἀφροδισίων δὲ νύκτα καὶ πολὺ προβάλλονται σκότος, ἡγούμενοι τὸ τούτων κοινωνεῖν ἀναίσχυντον εἶναι καὶ θηριώδες, ὡς τὸ μὴ κοινωνεῖν ἐκείνης'. ὑπολαβὼν οὖν ἐγὼ τοῦ Κλεο-
25 δώρου διαλιπόντος 'ἐκεῖνο δ' οὐ λέγεις' εἶπον, 'ὅτι καὶ τὸν ὕπνον ἅμα τῇ τροφῇ συνεκβάλλομεν; ὕπνου
159 δὲ μὴ ὄντος οὐδ' ὄνειρός ἐστιν, ἀλλ' οἴχεται τὸ πρε-

2, 36—37 H. 6, 602—604 B.

7. δὲ Meziriacus 8. μὲν Reiskius: δὲ 11. ἔσται idem: ἐστι 20. ἔστιν*: ἔστιν εὑρεῖν 23. τὸ τούτων Reiskius: ταύτης τὸ

Digitized by Google

cβύτατον ἡμῖν μαντεῖον. ἔσται δὲ μονοειδὴς ὁ βίος, καὶ τρόπον τινὰ μάτην τὸ cῶμα περικείσεται τῇ ψυχῇ· τὰ πλεῖστα γὰρ αὐτοῦ καὶ κυριώτατα τῶν μερῶν ἐπὶ τὴν τροφὴν ὄργανα παρεσκεύασται, γλῶττα καὶ ὀδόντες καὶ στόμαχος καὶ ἧπαρ. ἀργὸν γὰρ οὐδέν ἐστιν οὐδὲ πρὸς ἄλλην cυντεταγμένον χρείαν· ὥcθ' ὁ μὴ δεόμενος τροφῆς οὐδὲ cώματος δεῖται. τοῦτο δ' αὐτὸν ἦν αὑτοῦ μὴ δεῖcθαι· cὺν cώματι γὰρ ἡμῶν ἕκαστος'. 'ἡμεῖς μὲν οὖν' ἔφην ἐγώ 'ταύτας τῇ γαστρὶ cυμβολὰc εἰcφέρομεν· εἰ δὲ Cόλων ἢ τις ἄλλος τι κατηγορεῖ, ἀκουcόμεθα.'

16. 'Πάνυ μὲν οὖν' ἔφη ὁ Cόλων, 'μὴ καὶ τῶν Αἰγυπτίων ἀκριτώτεροι φανῶμεν, οἳ τὸν νεκρὸν ἀνατεμόντες ἔδειξαν τῷ ἡλίῳ, ** εἶτ' αὐτὰ μὲν εἰc τὸν ποταμὸν κατέβαλον, τοῦ δ' ἄλλου cώματος ὡc ἤδη καθαροῦ γεγονότος ἐπιμέλονται. τῷ γὰρ ὄντι τοῦτό ἐcτι τὸ μίαcμα τῆc caρκὸc ἡμῶν καὶ ὁ τάρταρος ὁ ἐν Ἅιδου, δεινῶν τινων ῥευμάτων καὶ πνεύματος ὁμοῦ καὶ πυρὸc cυμπεφυρμένου καὶ νεκρῶν περίπλεως. ζῶν γὰρ οὐδεὶc ἀπ' οὐδενὸc τρέφεται ζῶντοc, ἀλλὰ θανατοῦντες τὰ ἔμψυχα καὶ τὰ φυόμενα τῷ τρέφεcθαι καὶ αὔξεcθαι μετέχοντα τοῦ ζῆν ἀπολλύντες ἀδικοῦμεν. ἀπόλλυται γὰρ ἐξ οὗ πέφυκε τὸ μεταβάλλον εἰc ἄλλο, καὶ πᾶcαν φθείρεται φθοράν, ὅπωc ἂν θατέρου τροφὴ γένοιτο. τὸ δ' ἀπέχεcθαι caρκῶν ἐδωδῆc, ὥcπερ Ὀρφέα τὸν παλαιὸν ἱcτοροῦcι, cόφιcμα μᾶλλον ἢ φυγὴ τῶν περὶ τὴν τροφὴν ἀδικημάτων ἐcτί. φυγὴ δὲ μία καὶ καθαρμὸc εἰc δικαιοcύνην τὸ

B

C

2, 37—38 H. 6, 604—606 R.

13. ἀνατεμόντες Winckelmannus: ἀνατέμνοντες 14. Feci asteriscos 20. οὐδεὶc Reiskius 28. τὸ τέλειον καὶ*: τελειοῖ

Digitized by Google

τέλειον καὶ αὐτάρκη καὶ ἀπροσδεᾶ γενέσθαι. ᾧ δ' ἄνευ κακώσεως ἑτέρου τὴν αὑτοῦ σωτηρίαν ἀμήχανον ὁ θεὸς πεποίηκε, τούτῳ τὴν φύσιν ἀρχὴν ἀδικίας προστέθεικεν. ἆρ' οὖν οὐκ ἄξιον, ὦ φίλε, συνεκτεμεῖν ἀδικίᾳ κοιλίαν καὶ στόμαχον καὶ ἧπαρ, ἃ καλοῦ
D μὲν οὐδενὸς αἴσθησιν ἡμῖν οὐδ' ὄρεξιν ἐνδίδωσι, σκεύεσι δὲ μαγειρικοῖς, οἷα κοπίδες καὶ λέβητες, τὰ δὲ μυλωθρικοῖς καὶ καμίνοις καὶ φρεωρύχοις καὶ μακτηρίοις ἔοικεν; ἀτεχνῶς δὲ τῶν πολλῶν ἴδοι τις ἂν ὥσπερ ἐν μύλωνι τῷ σώματι τὴν ψυχὴν ἐγκεκαλυμμένην ἀεὶ περὶ τὴν τῆς τροφῆς χρείαν κυκλοῦσαν, ὥσπερ ἀμέλει καὶ ἡμεῖς ἄρτι μὲν οὔθ' ἑωρῶμεν ἀλλήλους οὔτ' ἠκούομεν, ἀλλ' ἕκαστος ἐγκεκυφὼς ἐδούλευε τῇ περὶ τὴν τροφὴν χρείᾳ. νυνὶ δ' ἐπαρθεισῶν τῶν τραπεζῶν ἐλεύθεροι γεγονότες ὡς ὁρᾷς, ἐστεφανωμένοι περὶ λόγους διατρίβομεν καὶ ἀλλήλοις σύν-
E εσμεν καὶ σχολὴν ἄγομεν, εἰς τὸ μὴ δεῖσθαι τροφῆς ἐληλυθότες. ἆρ' οὖν, ἅνπερ ἡ νῦν οὖσα περὶ ἡμᾶς ἕξις ἄπαυστος διαμένῃ παρὰ πάντα τὸν βίον, οὐκ ἀεὶ σχολὴν ἕξομεν ἀλλήλοις συνεῖναι, μὴ δεδιότες πενίαν μηδ' εἰδότες πλοῦτον; ὁ γὰρ τῶν περισσῶν ζῆλος εὐθὺς ἀκολουθεῖ καὶ συνοικίζεται τῇ χρείᾳ τῶν ἀναγκαίων. ἀλλ' οἴεται δεῖν τροφὴν εἶναι Κλεόδωρος, ὅπως τράπεζαι καὶ κρατῆρες ὦσι, καὶ Δήμητρι καὶ Κόρῃ θύωμεν. ἕτερος δέ τις ἀξιούτω μάχας εἶναι καὶ πόλεμον, ἵνα καὶ τείχη καὶ νεωσοίκους καὶ ὁπλο-
F θήκας ἔχωμεν καὶ θύωμεν ἑκατομφόνια, καθάπερ φασὶ νόμον εἶναι Μεσηνίοις. ἄλλον δὲ πρὸς τὴν ὑγίειαν

2, 38—40 H. 6, 606—608 R.

11. τροφῆς Amiotus: ψυχῆς 14. ἐπαρθεισῶν W: παρατεθεισῶν 24. καὶ Δήμητρι*: αἳ δήμητρι 25. θύωμεν*: θύεται ἔτι

Digitized by Google

οἶμαι χαλεπαίνειν· δεινὸν γὰρ εἰ μηδενὸς νοσοῦντος οὐ στρωμνῆς ἔτι μαλακῆς ὄφελος οὐ κλίνης, οὐδ' Ἀσκληπιῷ θύσομεν οὐκ ἀποτροπαίοις, ἰατρικὴ δὲ μετὰ ὀργάνων καὶ φαρμάκων κείσεται τοσούτων ἀκλεὴς καὶ ἀπόθεστος. ἢ τί ταῦτα ἐκείνων διαφέρει; καὶ γὰρ ἡ τροφὴ λιμοῦ φάρμακον προσάγεται, καὶ θεραπεύειν ἑαυτοὺς λέγονται πάντες οἱ τρεφόμενοι, οὐχ ὡς ἡδύ 160
τι καὶ κεχαρισμένον ἀλλ' ὡς ἀναγκαῖον τοῦτο τῇ φύσει πράττοντες. ἐπεὶ λύπας γε πλείονάς ἐστιν ἀπὸ τῆς τροφῆς τῶν ἡδονῶν γιγνομένας καταριθμῆσαι, μᾶλλον δ' ἡ μὲν ἡδονὴ καὶ τόπον ἔχει βραχὺν ἐν τῷ σώματι καὶ χρόνον οὐ πολύν· ἡ δὲ περὶ τὴν διοίκησιν αὐτῆς ἀσχολία καὶ δυσχέρεια τί δεῖ λέγειν ὅσων αἰσχρῶν καὶ ὀδυνηρῶν ἡμᾶς ἐμπίπλησιν; οἶμαι γὰρ εἰς ταῦτα βλέψαντα τὸν Ὅμηρον ἀποδείξει κεχρῆσθαι περὶ θεῶν τοῦ μὴ ἀποθνήσκειν τῷ μὴ τρέφεσθαι

'οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον·
τούνεκ' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται',

ὡς μὴ μόνον τοῦ ζῆν ἀλλὰ καὶ τοῦ ἀποθνήσκειν τὴν B
τροφὴν ἐφόδιον οὖσαν. ἐκ ταύτης γὰρ αἱ νόσοι συντρεφόμεναι τοῖς σώμασιν οὐκ ἔλαττον ἐνδείας κακὸν ἔχουσι τὴν πλήρωσιν· πολλάκις δὲ καὶ μεῖζόν ἐστιν ἔργον τοῦ πορίσαι τροφὴν καὶ συναγαγεῖν τὸ καταναλῶσαι καὶ διαφορῆσαι πάλιν εἰς τὸ σῶμα παραγενομένην. ἀλλ' ὥσπερ εἰ διαποροῖεν αἱ Δαναΐδες τίνα βίον βιώσονται καὶ τί πράξουσιν ἀπαλλαγεῖσαι τῆς περὶ τὸν πίθον λατρείας καὶ πληρώσεως, οὕτω

2, 40—41 H. 6, 608—610 B.

2. οὐδ'*: οὐκ 4. κείσεται*: ἀποκείσεται 5. ἀπόθεστος W: ἀπόθετος 7. τρεφόμενοι Reiskius: τρεφόμενοι δίαιταν 9. γε idem: τε vel τὰς 15. ταῦτα Pflugkius: τοσαῦτα 17. Homer. Ε 341

Digitized by Google

διαποροῦμεν ἡμεῖς, εἰ γένοιτο παύσασθαι φοροῦντας
C εἰς τὴν γαστέρα τὴν ἄτρυτον ἐκ γῆς ἅμα καὶ θαλάττης
τοσαῦτα, τί πράξομεν ἀπειρίᾳ τῶν καλῶν τὸν ἐπὶ
τοῖς ἀναγκαίοις στέργοντες βίον. ὥσπερ οὖν οἱ δου-
λεύσαντες, ὅταν ἐλευθερωθῶσιν, ἃ πάλαι τοῖς δεσπό- 5
ταις ἔπραττον ὑπηρετοῦντες, ταῦτα πράττουσιν αὐ-
τοῖς καὶ δι' αὐτούς, οὕτως ἡ ψυχὴ νῦν μὲν τρέφει
τὸ σῶμα πολλοῖς πόνοις καὶ ἀσχολίαις, εἰ δ' ἀπαλ-
λαγείη τῆς λατρείας, αὐτὴν δήπουθεν ἐλευθέραν γε-
νομένην θρέψει καὶ βιώσεται εἰς αὑτὴν ὁρῶσα καὶ τὴν 10
ἀλήθειαν, οὐδενὸς περισπῶντος οὐδ' ἀπάγοντος.' τὰ
μὲν οὖν ῥηθέντα περὶ τροφῆς, ὦ Νίκαρχε, ταῦτ' ἦν.

17. Ἔτι δὲ τοῦ Κόλωνος λέγοντος εἰσῆλθε Γόρ-
γος ὁ Περιάνδρου ἀδελφός· ἐτύγχανε γὰρ εἰς Ταίνα-
D ρον ἀπεσταλμένος ἔκ τινων χρημῶν, τῷ Ποσειδῶνι 15
θυσίαν καὶ θεωρίαν ἀπάγων. ἀσπασαμένων δ' ἡμῶν
αὐτὸν καὶ τοῦ Περιάνδρου προσαγαγομένου καὶ φιλή-
σαντος καθίσας παρ' αὐτὸν ἐπὶ τῆς κλίνης ἀπήγγει-
λεν ἅττα δὴ πρὸς μόνον ἐκεῖνον, ὁ δ' ἠκροᾶτο,
πολλὰ πάσχοντι πρὸς τὸν λόγον ὅμοιος ὤν. τὰ μὲν 20
γὰρ ἀχθόμενος τὰ δ' ἀγανακτῶν ἐφαίνετο, πολλάκις
δ' ἀπιστῶν, εἶτα θαυμάζων· τέλος δὲ γελάσας πρὸς
ἡμᾶς 'βούλομαι μέν' ἔφη 'πρὸς τὸ παρὸν φράσαι τὸ
προσηγγελμένον· ὀκνῶ δ' ἀκούσας Θάλεώ ποτε εἰπόν-
E τος ὅτι δεῖ τὰ μὲν εἰκότα λέγειν, τὰ δ' ἀμήχανα σιω- 25
πᾶν'. ὑπολαβὼν οὖν ὁ Βίας 'ἀλλὰ καὶ τοῦτ'' ἔφη
'Θάλεω τὸ σοφόν ἐστιν, ὅτι δεῖ τοῖς μὲν ἐχθροῖς καὶ
περὶ τῶν πιστῶν ἀπιστεῖν, τοῖς δὲ φίλοις καὶ τὰ ἄπιστα
πιστεύειν, ἐχθροὺς μέν, ἔγωγ' ἡγοῦμαι, τοὺς πονηροὺς
καὶ ἀνοήτους, φίλους δὲ τοὺς χρηστοὺς καὶ φρονί- 30
μους αὐτοῦ καλοῦντος'. 'οὐκοῦν' ἔφη 'λεκτέον εἰς

2, 41—42 H. 6, 610—611 B.

Digitized by Google

ἅπαντας, ὦ Γόργε, μᾶλλον δ' ἐξαρκτέον τοὺς νέους τούτους διθυράμβους ὑπερφθεγγόμενον ὃν ἥκεις λόγον ἡμῖν κομίζων'.

18. Ἔφη τοίνυν Γόργος ὅτι τῆς θυσίας ἐφ' ἡμέρας τρεῖς συντελεσθείσης ὑπ' αὐτοῦ καὶ τῇ τελευταίᾳ παννυχίδος οὔσης καὶ χορείας τινὸς καὶ παιδιᾶς παρὰ F
τὸν αἰγιαλὸν ἡ μὲν σελήνη κατέλαμπεν εἰς τὴν θάλατταν, οὐκ ὄντος δὲ πνεύματος ἀλλὰ νηνεμίας καὶ γαλήνης πόρρωθεν ἀφεωρᾶτο φρίκη κατιοῦσα παρὰ
τὴν ἄκραν, ἀφρόν τινα καὶ ψόφον ἄγουσα τῷ ῥοθίῳ περὶ αὐτὴν πολύν, ὥστε πάντας ἐπὶ τὸν τόπον οὗ προσβάλλειν ἔμελλε καταδραμεῖν θαυμάσαντας. πρὶν δ' εἰκάσαι τὸ προσφερόμενον ὑπὸ τάχους, δελφῖνες ὤφθησαν, οἱ μὲν ἀθρόοι πέριξ κυκλοῦντες, οἱ δ' ὑφη- 161
γούμενοι τοῦ αἰγιαλοῦ πρὸς τὸ λειότατον, ἄλλοι δ' ἐξόπισθεν, οἷον περιέποντες. ἐν μέσῳ δ' ἀνεῖχεν ὑπὲρ τῆς θαλάσσης ὄγκος ἀσαφὴς καὶ ἄσημος ὀχουμένου σώματος, μέχρι οὗ συναγαγόντες εἰς ταὐτὸ καὶ συνεποκείλαντες ἐξέθηκαν ἐπὶ γῆν ἄνθρωπον ἔμπνουν καὶ κινούμενον, αὐτοὶ δὲ πάλιν πρὸς τὴν ἄκραν ἀναφερόμενοι μᾶλλον ἢ πρότερον ἐξήλαντο, παίζοντες ὑφ' ἡδονῆς τινος ὧς ἔοικε καὶ σκιρτῶντες.
'Ἡμῶν δέ' ὁ Γόργος ἔφη 'πολλοὶ μὲν διαταραχθέντες ἔφυγον ἀπὸ τῆς θαλάσσης, ὀλίγοι δὲ μετ' ἐμοῦ θαρρήσαντες προσελθεῖν ἐγνώρισαν Ἀρίονα τὸν κιθαρῳδόν, αὐτὸν τοὔνομα φθεγγόμενον ἑαυτοῦ, καὶ τῇ B
στολῇ καταφανῆ γενόμενον· τὸν γὰρ ἐναγώνιον ἐτύγχανεν ἀμπεχόμενος κόσμον, ᾧ κιθαρῳδῶν ἐχρῆτο. κο-

2, 42—43 H. 6, 611—613 R.

1. δ' ἀστέον Hauptius*: δὲ ἀκτέον ἐπὶ 12. προσβάλλειν ἔμελλε Reiskius: προσέμελλε 18. συναγαγόντες W: συνάγοντες 28. ἐχρῆτο*: ἐχρήσατο

Digitized by Google

μίσαντες οὖν ἐπὶ σκηνὴν αὐτόν, ὡς οὐδὲν εἶχε κακὸν ἀλλ' ἢ διὰ τάχος καὶ ῥοῖζον ἐφαίνετο τῆς φορᾶς ἐκλελυμένος καὶ κεκμηκώς, ἠκούσαμεν λόγον ἄπιστον ἅπασι πλὴν ἡμῶν τῶν θεασαμένων τὸ τέλος. ἔλεγε γὰρ Ἀρίων ὡς πάλαι μὲν ἐγνωκὼς ἐκ τῆς Ἰταλίας ἀπαίρειν, Περιάνδρου δὲ γράψαντος αὐτῷ προθυμότερος γενόμενος ὁλκάδος Κορινθίας παραφανείσης εὐθὺς ἐπιβὰς ἀναχθείη, μετρίῳ δὲ πνεύματι χρωμένων ἡμέρας τρεῖς αἴσθοιτο τοὺς ναύτας ἐπιβουλεύοντας
C ἀνελεῖν αὐτόν, εἶτα καὶ παρὰ τοῦ κυβερνήτου πύθοιτο κρύφα μηνύσαντος ὡς τῇ νυκτὶ τοῦτο δρᾶν αὐτοῖς εἴη δεδογμένον. ἔρημος οὖν ὢν βοηθείας καὶ ἀπορῶν ὁρμῇ τινι χρήσαιτο δαιμονίῳ τῷ μὲν σῶμα κοσμῆσαι καὶ λαβεῖν ἐντάφιον αὑτῷ τὸν ἐναγώνιον ἔτι ζῶν κόσμον, ἐξᾶσαι δὲ τὸν βίον τελευτῶν καὶ μὴ γενέσθαι κατὰ τοῦτο τῶν κύκνων ἀγεννέστερος. ἐσκευασμένος οὖν καὶ προειπὼν ὅτι προθυμία τις αὐτὸν ἔχοι τῶν νόμων διελθεῖν τὸν Πυθικὸν ὑπὲρ σωτηρίας αὑτοῦ καὶ τῆς νεὼς καὶ τῶν ἐμπλεόντων, κατασταὶς παρὰ
D τὸν τοῖχον ἐν πρύμνῃ καί τινα θεῶν πελαγίων ἀνάκλησιν προανακρουσάμενος ᾄδοι τὸν νόμον. καὶ ὅσον οὔπω μεσοῦντος αὐτοῦ καταδύοιτο μὲν ὁ ἥλιος εἰς τὴν θάλατταν, ἀναφαίνοιτο δ' ἡ Πελοπόννησος. οὐκέτ' οὖν τῶν ναυτῶν τὴν νύκτα περιμενόντων ἀλλὰ χωρούντων ἐπὶ τὸν φόνον, ἰδὼν ξίφη γεγυμνωμένα καὶ παρακαλυπτόμενον ἤδη τὸν κυβερνήτην, ἀναδραμὼν ῥίψειεν ἑαυτὸν ὡς δυνατὸν ἦν μάλιστα πόρρω τῆς ὁλκάδος. πρὶν δ' ὅλον καταδῦναι τὸ σῶμα δελφίνων ὑποδραμόντων ἀναφέροιτο, μεστὸς ὢν ἀπορίας καὶ ἀγωνίας καὶ ταραχῆς τὸ πρῶτον· ἐπεὶ δὲ ῥᾳστώνη

2, 43—44 H. 6, 613—615 R.

15. τὸν βίον Reiskius: τῷ βίῳ 30. ἀγωνίας*: ἀγνοίας

Digitized by Google

τῆς ὀχήσεως ἦν, καὶ πολλοὺς ἑώρα ἀθροιζομένους περὶ αὐτὸν εὐμενῶς καὶ διαδεχομένους ὡς ἀναγκαῖον E
ἐν μέρει λειτούργημα καὶ προσῆκον πᾶσιν, ἡ δ' ὁλκὰς ἀπολειφθεῖσα πόρρω τοῦ τάχους αἴσθησιν παρεῖχε,
μήτε τοσοῦτον ἔφη δέους πρὸς θάνατον αὐτῷ μήτ' ἐπιθυμίας τοῦ ζῆν ὅσον φιλοτιμίας ἐγγενέσθαι πρὸς τὴν σωτηρίαν, ὡς θεοφιλὴς ἀνὴρ φανείη καὶ λάβοι παρὰ θεῶν δόξαν βέβαιον. ἅμα δὲ καθορῶν τὸν οὐρανὸν ἀστέρων περίπλεων καὶ τὴν σελήνην ἀνίσχουσαν εὐφεγγῆ καὶ καθαράν, ἑστώσης τε πάντη τῆς θαλάσσης ἀκύμονος ὥσπερ τρίβον ἀνασχιζόμενον τῷ δρόμῳ, διανοεῖσθαι πρὸς αὐτὸν ὡς οὐκ ἔστιν εἷς ὁ τῆς F
Δίκης ὀφθαλμός, ἀλλὰ πᾶσι τούτοις ἐπισκοπεῖ κύκλῳ ὁ θεὸς τὰ πραττόμενα περὶ γῆν τε καὶ θάλατταν. τούτοις δὲ δὴ τοῖς λογισμοῖς ἔφη τὸ κάμνον αὐτῷ καὶ βαρυνόμενον ἤδη τοῦ σώματος ἀναφέρεσθαι, καὶ τέλος ἐπεὶ τῆς ἄκρας ἀπαντώσης ἀποτόμου καὶ ὑψηλῆς εὖ πως φυλαξάμενοι καὶ κάμψαντες (ἐν χρῷ γὰρ ἐνήχοντο τῆς γῆς) ὥσπερ εἰς λιμένα σκάφος ἀσφαλῶς κατάγοντες,** παντάπασιν αἰσθέσθαι θεοῦ κυβερνήσει 162
γεγονέναι τὴν κομιδήν. ταῦτα' ὁ Γόργος ἔφη 'τοῦ Ἀρίονος εἰπόντος ἠρόμην αὐτὸν ὅπου τὴν ναῦν οἴεται κατασχήσειν. ὁ δὲ πάντως μὲν εἰς Κόρινθον, πολὺ μέντοι καθυστερεῖν· αὐτὸν γὰρ ἑσπέρας ἐκπεσόντα πεντακοσίων οὐ μεῖον οἴεσθαι δρόμον σταδίων κομισθῆναι, καὶ γαλήνην εὐθὺς κατασχεῖν.' οὐ μὴν ἀλλ' ἑαυτὸν ὁ Γόργος ἔφη πυθόμενον τοῦ τε ναυκλήρου τοὔνομα καὶ τοῦ κυβερνήτου καὶ τῆς νεὼς τὸ παράσημον ἐκπέμψαι πλοῖα καὶ στρατιώτας ἐπὶ τὰς κατάρ-

3, 44—46 H. 6, 615—616 R.

8. παρὰ Reiskius: περὶ 10. τε*: δὲ 19. ἀσφαλῶς Reiskius: ἀσφαλὲς 20. Hiatum significavi

Digitized by Google

B ceις παραφυλάξοντας· τὸν δ' Ἀρίονα μετ' αὐτοῦ κομίζειν ἀποκεκρυμμένον, ὅπως μὴ προαισθόμενοι τὴν σωτηρίαν διαφύγοιεν. ὄντως οὖν ἐοικέναι θείᾳ τύχῃ τὸ πρᾶγμα· παρεῖναι γὰρ αὐτοὺς ἅμα δεῦρο καὶ πυνθάνεσθαι τῆς νεὼς κεκρατημένης ὑπὸ τῶν στρατιωτῶν συνειλῆφθαι τοὺς ἐμπόρους καὶ ναύτας.

19. Ὁ μὲν οὖν Περίανδρος ἐκέλευσεν εὐθὺς ἐξαναστάντα τὸν Γόργον εἰς φυλακὴν ἀποθέσθαι τοὺς ἄνδρας οὗ μηδεὶς αὐτοῖς πρόσειτι μηδὲ φράσει τὸν Ἀρίονα σεσωσμένον· ὁ δ' Αἴσωπος 'ἀλλ' ὑμεῖς' ἔφη 'τοὺς ἐμοὺς χλευάζετε κολοιοὺς καὶ κόρακας εἰ διαλέγονται· δελφῖνες δὲ τοιαῦτα νεανιεύονται;' κἀγὼ πρὸς αὐτόν 'ἄλλο τι λέγωμεν' ἔφην 'ὦ Αἴσωπε· τούτῳ δὲ τῷ λόγῳ
C πιστευομένῳ καὶ γραφομένῳ παρ' ἡμῖν πλέον ἢ χίλια ἔτη διαγέγονε καὶ ἀπὸ τῶν Ἰνοῦς καὶ Ἀθάμαντος χρόνων'. ὁ δὲ Σόλων ὑπολαβών 'ἀλλὰ ταῦτα μέν, ὦ Διόκλεις, ἐγγὺς θεῶν ἔστω καὶ ὑπὲρ ἡμᾶς· ἀνθρώπινον δὲ καὶ πρὸς ἡμᾶς τὸ τοῦ Ἡσιόδου πάθος· ἀκήκοας γὰρ ἴσως τὸν λόγον'. 'οὐκ ἔγωγε' εἶπον. 'ἀλλὰ μὴν ἄξιον πυθέσθαι. Μιλησίου γάρ, ὡς ἔοικεν, ἀνδρός, ᾧ ξενίας ἐκοινώνει ὁ Ἡσίοδος καὶ διαίτης ἐν Λοκροῖς, τῇ τοῦ ξένου θυγατρὶ κρύφα συγγενομένου καὶ φωραθέντος ὑποψίαν ἔσχεν ὡς γνοὺς
D ἀπ' ἀρχῆς καὶ συνεπικρύψας τὸ ἀδίκημα, μηδενὸς ὢν αἴτιος, ὀργῇ δ' ἀκαίρῳ καὶ διαβολῇ περιπεσὼν ἀδίκως. ἀπέκτειναν γὰρ αὐτὸν οἱ τῆς παιδίσκης ἀδελφοὶ περὶ τὸ Λοκρικὸν Νέμειον ἐνεδρεύσαντες, καὶ μετ' αὐτοῦ τὸν ἀκόλουθον, ᾧ Τρωίλος ἦν ὄνομα. τῶν δὲ σωμάτων εἰς τὴν θάλασσαν ὠσθέντων τὸ μὲν τοῦ Τρωί-

2, 46—47 H. 6, 616—618 R.

19. εἶπον Reiskius: εἶπεν 25. ὀργῇ δ' ἀκαίρῳ*: ὀργῆς δὲ καιρῷ 29. Τρωίλου*: τρωίλου εἰς τὸν δάφνον ποταμὸν

Digitized by Google

λου ἔξω φορούμενον ἐπεσχέθη περικλύστῳ χοιράδι μικρὸν ὑπὲρ τὴν θάλασσαν ἀνεχούσῃ· καὶ μέχρι νῦν Τρωίλος ἡ χοιρὰς καλεῖται· τοῦ δ' Ἡσιόδου τὸν νεκρὸν εὐθὺς ἀπὸ γῆς ὑπολαβοῦσα δελφίνων ἀγέλη πρὸς τὸ Ῥίον ἐκόμιζε. ἐτύγχανε δὲ Λοκροῖς ἡ τῶν Ῥίων καθεστῶσα θυσία καὶ πανήγυρις, ἣν ἄγουσιν ἔτι νῦν ἐπιφανῶς περὶ τὸν τόπον ἐκεῖνον. ὡς δ' ὤφθη προσφερόμενον τὸ σῶμα, θαυμάσαντες ὡς εἰκὸς ἐπὶ τὴν ἀκτὴν κατέδραμον, καὶ γνωρίσαντες ἔτι πρόσφατον τὸν νεκρὸν ἅπαντα δεύτερα τοῦ ζητεῖν τὸν φόνον ἐποιοῦντο διὰ τὴν δόξαν τοῦ Ἡσιόδου. καὶ τοῦτο μὲν ταχέως ἔπραξαν, εὑρόντες τοὺς φονέας· αὐτούς τε γὰρ κατεπόντισαν ζῶντας καὶ τὴν οἰκίαν κατέσκαψαν. ἐτάφη δ' ὁ Ἡσίοδος πρὸς τῷ Νεμείῳ· τὸν δὲ τάφον οἱ πολλοὶ τῶν ξένων οὐκ ἴσασιν, ἀλλ' ἀποκέκρυπται ζητούμενος ὑπ' Ὀρχομενίων, ὥς φασι, βουλομένων κατὰ χρησμὸν ἀνελέσθαι τὰ λείψανα καὶ θάψαι παρ' αὑτοῖς. εἴπερ οὖν οὕτως ἔχουσιν οἰκείως καὶ φιλανθρώπως πρὸς τοὺς ἀποθανόντας, ἔτι μᾶλλον εἰκός ἐστι τοῖς ζῶσι βοηθεῖν, καὶ μάλιστα κληθέντας αὐλοῖς ἢ τισι μέλεσι. τοῦτο γὰρ ἤδη πάντες ἴσμεν, ὅτι μουσικῇ τὰ ζῷα ταῦτα χαίρει καὶ διώκει, καὶ παρανήχεται πλοίοις ἐλαυνομένοις πρὸς ᾠδὴν καὶ αὐλὸν ἐν εὐδίᾳ χορείαις τερπόμενα. χαίρει δὲ καὶ νήξεσι παίδων καὶ κολύμβοις ἁμιλλᾶται. διὸ καὶ νόμος ἀδείας ἄγραφός ἐστιν 163 αὐτοῖς· θηρᾷ γὰρ οὐδεὶς οὐδὲ λυμαίνεται, πλὴν ὅταν ἐν δικτύοις γενόμενοι κακουργῶσι περὶ τὴν ἄγραν,

E F

2, 47—48 H. 6, 618 - 620 R.

5. τὸ Ῥίον*: τὸ ῥίον καὶ τὴν μολυκρίαν 6. Ῥιείων Reiskius 23. πλοίοις Pflugkius: τοῖς 24. χορείαις W: πορείαις 27. οὐδὲ*: οὔτε 28. κακουργῶσι Pflugkius: κακουογοῦσι

Digitized by Google

πληγαῖς κολάζονται καθάπερ παῖδες ἁμαρτόντες. μέμνημαι δὲ καὶ παρὰ Λεσβίων ἀνδρῶν ἀκούσας σωτηρίαν τινὰ κόρης ὑπὸ δελφῖνος ἐκ θαλάττης γενέσθαι λεγόμενον ἀκριβῶς. ἀλλ' ὁ Πιττακὸς ἐπεὶ γιγνώσκει, δίκαιός ἐστι περὶ τούτων διελθεῖν'.

20. Ἔφη τοίνυν ὁ Πιττακὸς ἔνδοξον εἶναι καὶ μνημονευόμενον ὑπὸ πολλῶν τὸν λόγον. χρησμὸν γὰρ γενέσθαι τοῖς οἰκίζουσι Λέσβον, ὅταν ἕρματι πλέοντες
B προστύχωσιν ὃ καλεῖται Μεσόγειον, τότε ἐνταῦθα Ποσειδῶνι μὲν ταῦρον Ἀμφιτρίτῃ δὲ καὶ Νηρηίσι ζῶσαν καθεῖναι παρθένον. ὄντων οὖν ἀρχηγετῶν ἑπτὰ καὶ βασιλέων, ὀγδόου δὲ τοῦ Ἐχελάου πυθοχρήστου τῆς ἀποικίας ἡγεμόνος, οὗτος μὲν ἠίθεος ἦν ἔτι, τῶν δ' ἑπτὰ κληρουμένων, ὅσοις ἄγαμοι παῖδες ἦσαν, καταλαμβάνει θυγατέρα Σμινθέως ὁ κλῆρος. ἦν ἐσθῆτι καὶ χρυσῷ κοσμήσαντες ὡς ἐγένοντο κατὰ τὸν τόπον, ἔμελλον εὐξάμενοι καθήσειν. ἔτυχε δέ τις ἐρῶν αὐτῆς τῶν συμπλεόντων, οὐκ ἀγεννὴς ὡς ἔοικε νεανίας, οὗ καὶ τοὔνομα διαμνημονεύουσιν Ἔναλον.
C οὗτος ἀμήχανόν τινα τοῦ βοηθεῖν τῇ παρθένῳ προθυμίαν ἐν τῷ τότε πάθει λαβὼν παρὰ τὸν καιρὸν ὥρμησε καὶ περιπλακεῖς ὁμοῦ συγκαθῆκεν ἑαυτὸν εἰς τὴν θάλατταν. εὐθὺς μὲν οὖν φήμη τις οὐκ ἔχουσα τὸ βέβαιον, ἄλλως δὲ πείθουσα πολλοὺς ἐν τῷ στρατοπέδῳ διηνέχθη περὶ σωτηρίας αὐτῶν καὶ κομιδῆς. ὑστέρῳ δὲ χρόνῳ τὸν Ἔναλόν φασιν ἐν Λέσβῳ φανῆναι καὶ λέγειν ὡς ὑπὸ δελφίνων φορητοὶ διὰ θαλάττης ἐκπέσοιεν ἀβλαβῶς εἰς τὴν ἤπειρον, ἔτι δ'

2, 48—49 H. 6, 620 - 622 R.

1. ἁμαρτόντες*: ἁμαρτάνοντες 4. ἐπεὶ γιγνώσκει W: ἐπιγιγνώσκει 7. χρησμὸν γὰρ γενέσθαι*: χρησμοῦ γὰρ γενομένου 11. καθεῖναι*: καθιέναι 28. ἔτι*: ἔστι

Digitized by Google

ἄλλα θειότερα τούτων ἐκπλήττοντα καὶ κηλοῦντα τοὺς πολλοὺς διηγεῖσθαι, πάντων δὲ πίστιν ἔργῳ παρα-
σχεῖν. κύματος γὰρ ἠλιβάτου περὶ τὴν νῆσον αἰρο- D
μένου καὶ τῶν ἀνθρώπων δεδιότων ἁπαντῆσαι, μόνον
θαλάττῃ ἕπεσθαι πολύποδας αὐτῷ πρὸς τὸ ἱερὸν τοῦ
Ποσειδῶνος. ὧν τοῦ μεγίστου λίθον κομίζοντος λα-
βεῖν τὸν Ἔναλον καὶ ἀναθεῖναι, καὶ τοῦτον Ἔναλον
καλοῦμεν. καθόλου δ' εἰπεῖν, εἴ τις εἰδείη διαφορὰν
ἀδυνάτου καὶ ἀσυνήθους καὶ παραλόγου καὶ παραδό-
ξου, μάλιστ' ἄν, ὦ Χίλων, μήτε πιστεύων ὡς ἔτυχε
μήτ' ἀπιστῶν τὸ 'μηδὲν ἄγαν' ὃ σὺ προσέταξας δια-
φυλάττοι.'

21. Μετὰ δὲ τοῦτον ὁ Ἀνάχαρσις εἶπεν ὅτι τοῦ
Θάλεω καλῶς ὑπολαμβάνοντος ἐν πᾶσιν εἶναι τοῖς
κυριωτάτοις μέρεσι τοῦ κόσμου καὶ μεγίστοις ψυχήν, E
οὐκ ἄξιόν ἐστι θαυμάζειν εἰ τὰ κάλλιστα περαίνεται
θεοῦ γνώμῃ. 'ψυχῆς γὰρ ὄργανον τὸ σῶμα, θεοῦ δ'
ἡ ψυχή· καὶ καθάπερ σῶμα πολλὰς μὲν ἐξ αὑτοῦ
κινήσεις ἔχει, τὰς δὲ πλείστας καὶ καλλίστας ὑπὸ ψυ-
χῆς, οὕτως αὖ πάλιν ἡ ψυχὴ τὰ μὲν ὑφ' ἑαυτῆς
κινουμένη πράττει, τὰ δὲ τῷ θεῷ παρέχει χρωμένῳ
κατευθύνειν καὶ τρέπειν αὐτὴν ᾗ βούλεται, πάντων
ὀργάνων εὐτρεπέστατον οὖσα. δεινὸν γάρ' εἶπεν 'εἰ
πῦρ μὲν ὄργανόν ἐστι θεοῦ καὶ πνεῦμα καὶ ὕδωρ καὶ
νέφη καὶ ὄμβροι, δι' ὧν πολλὰ μὲν σῴζει τε καὶ F
τρέφει, πολλὰ δ' ἀπόλλυσι καὶ ἀναιρεῖ, ζῴοις δὲ χρῆ-

9—51 H. 6, 622—624 R.

7. Ἔναλον Stephanus: εἰ 8. δ' εἰπεῖν*: δὲ εἶπεν
εἰδείη Pflugkius: εἶδεν ἢ 10. Χίλων W: χίλων καὶ
11. δ*: ὡς διαφυλάττοι W: διαφυλάττων 22. αὐ-
τὴν ᾗ βούλεται*: ἑαυτὴν ᾗ βούλοιτο

Digitized by Google

ται πρὸς οὐδὲν ἁπλῶς τῶν ὑπ' αὐτοῦ γιγνομένων. ἀλλὰ μᾶλλον εἰκὸς ἐξηρτημένα τῆς τοῦ θεοῦ δυνάμεως ὑπουργεῖν, καὶ συμπαθεῖν ταῖς τοῦ θεοῦ κινήσεσιν ἢ Σκύθαις τόξα λύραι δ' Ἕλλησι καὶ αὐλοὶ συμπαθοῦσιν. ἐπὶ δὲ τούτοις ὁ ποιητὴς Χερσίας ἄλλων τε σφθέντων ἀνελπίστως ἐμέμνητο καὶ Κυψέλου τοῦ Περιάνδρου πατρός, ὃν οἱ πεμφθέντες ἀνελεῖν νεογνὸν ὄντα προσμειδιάσαντα αὐτοῖς ἀπετράποντο· καὶ
164 πάλιν μετανοήσαντες ἐζήτουν καὶ οὐχ εὗρον, εἰς κυψέλην ὑπὸ τῆς μητρὸς ἀποτεθέντα. διὸ καὶ τὸν οἶκον τὸν ἐν Δελφοῖς κατεσκεύασεν ὁ Κύψελος, ὡς τοῦ θεοῦ τότε τὸν κλαυθμυρισμὸν ἐπισχόντος, ὅπως διαλάθοι τοὺς ζητοῦντας'. καὶ ὁ Πιττακὸς προσαγορεύσας τὸν Περίανδρον 'εὖ γε' ἔφη 'Περίανδρε Χερσίας ἐποίησε μνησθεὶς τοῦ οἴκου· πολλάκις γὰρ ἐβουλόμην ἐρέσθαι σε τῶν βατράχων τὴν αἰτίαν ἐκείνων, τί βούλονται περὶ τὸν πυθμένα τοῦ φοίνικος ἐντετορευμένοι τοσοῦτοι, καὶ τίνα πρὸς τὸν θεὸν ἢ τὸν ἀναθέντα λόγον ἔχουσι'. τοῦ δὲ Περιάνδρου τὸν Χερσίαν ἐρωτᾶν κελεύσαντος, εἰδέναι γὰρ ἐκεῖνον καὶ
B παρεῖναι τῷ Κυψέλῳ καθιεροῦντι τὸν οἶκον, ὁ Χερσίας μειδιάσας 'ἀλλ' οὐκ ἄν' ἔφη 'φράσαιμι πρότερον ἢ πυθέσθαι παρὰ τούτων ὅ τι βούλεται τὸ 'μηδὲν ἄγαν' αὐτοῖς καὶ τὸ 'γνῶθι σαυτόν' καὶ τοῦτο δὴ τὸ πολλοὺς μὲν ἀγάμους πολλοὺς δ' ἀπίστους ἐνίους δὲ καὶ ἀφώνους πεποιηκὸς 'ἐγγύα πάρα δ' ἄτα'. 'τί δ'' εἶπεν ὁ Πιττακός 'ἡμῶν δέῃ ταῦτα φραζόντων; πάλαι γὰρ Αἰσώπου λόγον εἰς ἕκαστον ὡς ἔοικε

2, 51—52 H. 6, 624—625 B.

1. ἁπλῶς Reiskius: ἁπλῶς οὐδέπω 8. προσμειδιάσαντα idem: προσομιλήσαντα 11. τὸν* 11. ὡς τοῦ*: ὥσπερ

Digitized by Google

τούτων συντεθεικότος ἐπαινεῖς'. καὶ ὁ Αἴσωπος 'ὅταν γε παίζῃ πρὸς ἐμὲ Χερσίας' εἶπε· σπουδάζων δὲ τούτων Ὁμηρον εὑρετὴν ἀποδείκνυσι καί φησι τὸν μὲν Ἕκτορα γιγνώσκειν ἑαυτόν, τοῖς γὰρ ἄλλοις ἐπιτι- C
θέμενος

'Αΐαντος ἀλέεινε μάχην Τελαμωνιάδαο·'

τὸν δ' Ὀδυσσέα τοῦ 'μηδὲν ἄγαν' ἐπαινέτην τῷ Διομήδει παρακελεύεσθαι

'Τυδείδη, μήτ' ἄρ' με μάλ' αἴνεε μήτε τι νείκει'.

τὴν δ' ἐγγύην οἱ μὲν ἄλλοι λοιδορεῖν αὐτὸν ὡς πρᾶγμα δείλαιον καὶ μάταιον οἴονται λέγοντα

'δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι',

Χερσίας δ' οὑτοσί φησι τὴν Ἄτην ὑπὸ τοῦ Διὸς ῥιφῆναι τῇ ἐγγύῃ παραγιγνομένην ἣν ἐγγυησάμενος ὁ
Ζεὺς ἐσφάλη περὶ τῆς τοῦ Ἡρακλέους γενέσεως'. D
ὑπολαβὼν δ' ὁ Σόλων 'οὐκοῦν' ἔφη 'καὶ τῷ σοφωτάτῳ πιστευτέον Ὁμήρῳ

'νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι'.

σπείσαντες οὖν Μούσαις καὶ Ποσειδῶνι καὶ Ἀμφιτρίτῃ διαλύωμεν εἰ δοκεῖ τὸ συμπόσιον'.

Τοῦτο ἔσχεν, ὦ Νίκαρχε, πέρας ἡ τότε συνουσία'.

2, 52—53 H. 6, 625—626 R.

3. Ὁμηρον] Λ 542 6. K 249 9. θ 351 17. Ὁμήρῳ] H 282 293 21. τοῦτ'] τοιοῦτο Reiskius

Digitized by Google

E

ΠΕΡΙ ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ.

1. Τῆς περὶ θεῶν ἀμαθίας καὶ ἀγνοίας εὐθὺς ἐξ ἀρχῆς δίχα ῥυείσης τὸ μὲν ὥσπερ ἐν χωρίοις σκληροῖς τοῖς ἀντιτύποις ἤθεσι τὴν ἀθεότητα, τὸ δ' ὥσπερ ἐν ὑγροῖς τοῖς ἁπαλοῖς τὴν δεισιδαιμονίαν πεποίηκεν. ἅπασα μὲν οὖν κρίσις ψευδής, ἄλλως τε κἂν ᾖ περὶ ταὐτα, μοχθηρόν· ἡ δὲ καὶ πάθος προσέστι, μοχθηρότατον. πᾶν γὰρ πάθος ἔοικεν πληγῇ φλεγμαίνουσα
F εἶναι· καὶ καθάπερ αἱ μετὰ τραύματος ἐκβολαὶ τῶν ἄρθρων, οὕτως αἱ μετὰ πάθους διαστροφαὶ τῆς ψυχῆς χαλεπώτεραι. ἀτόμους τις οἴεται καὶ κενὸν ἀρχὰς εἶναι τῶν ὅλων. ψευδὴς ἡ ὑπόληψις, ἀλλ' ἔλκος οὐ ποιεῖ οὐδὲ σφυγμὸν οὐδ' ὀδύνην ταράττουσαν. ὑπολαμβάνει τις τὸν πλοῦτον ἀγαθὸν εἶναι μέγιστον.
165 τοῦτο τὸ ψεῦδος ἰὸν ἔχει, νέμεται τὴν ψυχήν, ἐξίστησιν, οὐκ ἐᾷ καθεύδειν, οἴστρων ἐμπίπλησιν, ὠθεῖ κατὰ πετρῶν, ἄγχει, τὴν παρρησίαν ἀφαιρεῖται. πάλιν οἴονταί τινες εἶναι σῶμα τὴν ἀρετὴν καὶ τὴν κακίαν. αἰσχρὸν ἴσως τὸ ἀγνόημα, θρήνων δὲ καὶ ὀδυρμῶν οὐκ ἄξιον, ἀλλ' αἵτινές εἰσι τοιαῦται κρίσεις καὶ ὑπολήψεις

2, 54—55 H. 6, 627—628 R.

7. πληγῇ *: ἀπάτῃ

Digitized by Google

'ὦ τλῆμον ἀρετή, λόγος ἄρ' ἦσθ'· ἐγὼ δέ σε
ὡς ἔργον ἤσκουν'

ἀφεὶς τὴν πλουτοποιὸν ἀδικίαν καὶ τὴν γόνιμον ἁπάσης ἡδονῆς ἀκολασίαν, ταύτας ἄξιόν ἐστιν οἰκτείρειν ὁμοῦ καὶ δυσχεραίνειν, ὅτι πολλὰ νοσήματα καὶ πάθη B καθάπερ εὐλὰς καὶ σκώληκας ἐντίκτουσι ταῖς ψυχαῖς παροῦσαι.

2. Οὐκοῦν καὶ περὶ ὧν ὁ λόγος, ἡ μὲν ἀθεότης κρίσις οὖσα φαύλη τοῦ μηδὲν εἶναι μακάριον καὶ ἄφθαρτον εἰς ἀπάθειάν τινα δοκεῖ τῇ ἀπιστίᾳ τοῦ θείου περιφέρειν, καὶ τέλος ἐστὶν αὐτῇ τοῦ μὴ νομίζειν θεοὺς τὸ μὴ φοβεῖσθαι· τὴν δεισιδαιμονίαν δὲ μηνύει καὶ τοὔνομα δόξαν ἐμπαθῆ καὶ δέους ποιητικὴν ὑπόληψιν οὖσαν ἐκταπεινοῦντος καὶ συντρίβοντος τὸν ἄνθρωπον, οἰόμενον μὲν εἶναι θεούς, εἶναι δὲ λυπηροὺς καὶ βλαβερούς. ἔοικε γὰρ ὁ μὲν ἄθεος ἀκίνητος εἶναι πρὸς τὸ θεῖον, ὁ δὲ δεισιδαίμων κινούμενος C ὡς οὐ προσήκει διαστρέφεσθαι. ἡ γὰρ ἄγνοια τῷ μὲν ἀπιστίαν τοῦ ὠφελοῦντος ἐμπεποίηκε, τῷ δὲ καὶ δόξαν ὅτι βλάπτει προστέθεικεν. ὅθεν ἡ μὲν ἀθεότης λόγος ἐστὶ διεψευσμένος, ἡ δὲ δεισιδαιμονία πάθος ἐκ λόγου ψευδοῦς ἐγγεγενημένον.

3. Αἰσχρὰ μὲν δὴ πάντα τὰ τῆς ψυχῆς νοσήματα καὶ πάθη, τὸ δὲ γαῦρον ἐνίοις ὅμως καὶ ὑψηλὸν καὶ διηρμένον ἔνεστιν ὑπὸ κουφότητος, δραστηρίου δ' ὁρμῆς οὐδὲν ὡς ἔπος εἰπεῖν ἀπεστέρηται. ἀλλὰ τοῦτο δὴ τὸ κοινὸν ἔγκλημα παντὸς πάθους ἐστίν, ὅτι ταῖς πρακτικαῖς ὁρμαῖς ἐκβιαζόμενα κατεπείγει καὶ συντείνει τὸν λογισμόν. μόνος δ' ὁ φόβος, οὐχ ἧττον ὢν τόλμης ἐνδεὴς ἢ λογισμοῦ, ἄπρακτον ἔχει καὶ ἄπορον D

2, 55—57 H. 6, 628—630 R.

1. Nauck. p. 698

Digitized by Google

καὶ ἀμήχανον τὸ ἀλόγιστον. ἢ καὶ δεῖμα καὶ τάρβος αὐτοῦ τὸ συνδέον ὁμοῦ τὴν ψυχὴν καὶ ταράττον ὠνόμασται. φόβων δὲ πάντων ἀπρακτότατος καὶ ἀπορώτατος ὁ τῆς δεισιδαιμονίας. οὐ φοβεῖται θάλασσαν ὁ μὴ πλέων οὐδὲ πόλεμον ὁ μὴ στρατευόμενος, οὐδὲ ληστὰς ὁ οἰκουρῶν οὐδὲ συκοφάντην ὁ πένης οὐδὲ φθόνον ὁ ἰδιώτης, οὐδὲ σεισμὸν ὁ ἐν Γαλάταις οὐδὲ κεραυνὸν ὁ ἐν Αἰθίοψιν· ὁ δὲ θεοὺς δεδιὼς πάντα
E δέδιε, γῆν θάλατταν ἀέρα οὐρανὸν σκότος φῶς κληδόνα σιωπὴν ὄνειρον. οἱ δοῦλοι τῶν δεσποτῶν ἐπιλανθάνονται καθεύδοντες, τοῖς πεδήταις ἐπελαφρύνει τὸν δεσμὸν ὁ ὕπνος, φλεγμοναὶ περὶ τραύματα καὶ νομαὶ σαρκὸς θηριώδεις καὶ περιωδυνίαι κοιμωμένων ἀφίστανται.

ὦ φίλον ὕπνου θέλγητρον ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί γε.

τοῦτο οὐ δίδωσιν εἰπεῖν ἡ δεισιδαιμονία (μόνη γὰρ οὐ σπένδεται πρὸς τὸν ὕπνον, οὐδὲ τῇ ψυχῇ τότε γοῦν δίδωσιν ἀναπνεῦσαι καὶ ἀναθαρρῆσαι τὰς πικρὰς
F καὶ βαρείας περὶ τοῦ θεοῦ δόξας ἀπωσαμένῃ), ἀλλ' ὥσπερ ἐν ἀσεβῶν χώρῳ τῷ ὕπνῳ τῶν δεισιδαιμόνων εἴδωλα φρικώδη καὶ τεράστια φάσματα καὶ ποινάς τινας ἐγείρουσα καὶ στροβοῦσα τὴν ἀθλίαν ψυχὴν ἐκδιώκει τοῖς ὀνείροις ἐκ τῶν ὕπνων, μαστιζομένην καὶ κολαζομένην αὐτὴν ὑφ' αὑτῆς ὡς ὑφ' ἑτέρου, καὶ δεινὰ προστάγματα καὶ ἀλλόκοτα λαμβάνουσαν. εἶτ' ἐξαναστάντες οὐ κατεφρόνησαν οὐδὲ κατεγέλασαν, οὐδ' ἤσθοντο ὅτι τῶν ταραξάντων οὐδὲν ἦν ἀληθινόν, ἀλλὰ σκιὰν φεύγοντες ἀπάτης οὐδὲν κακὸν ἐχούσης

1, 57—58 H. 6, 630—632 R.

15. Eurip. Or. 208 18. τότε Pflugkius: ποτε

Digitized by Google

ὕπαρ ἐξαπατῶσιν ἑαυτοὺς καὶ δαπανῶσι καὶ σπαθῶ- 166
σιν εἰς ἀγύρτας καὶ γόητας ἐμπεσόντες λέγοντας

'ἀλλ' εἶτ' ἔνυπνον φάντασμα φοβεῖ,
χθονίας θ' Ἑκάτης κῶμον ἐδέξω',

τὴν περιμάκτριαν κάλει γραῦν καὶ βάπτισον σεαυτὸν εἰς θάλασσαν καὶ καθίσας ἐν τῇ γῇ διημέρευσον.

'ὦ βάρβαρ' ἐξευρόντες Ἕλληνες κακά'

τῇ δεισιδαιμονίᾳ, πηλώσεις καταβορβορώσεις βαπτισμούς, ῥίψεις ἐπὶ πρόσωπον, αἰσχρὰς προσκαθίσεις, ἀλλοκότους προσκυνήσεις. δικαίῳ τῷ στόματι τοὺς κιθαρῳδοὺς ἐκέλευον ᾄδειν οἱ τὴν νόμιμον μουσικὴν σώζειν δοκοῦντες· ἡμεῖς δὲ τοῖς θεοῖς ἀξιοῦμεν ὁρθῷ B τῷ στόματι καὶ δικαίῳ προσεύχεσθαι, καὶ μὴ τὴν ἐπὶ τῶν σπλάγχνων μὲν γλῶτταν εἰ καθαρὰ καὶ ὀρθὴ σκοπεῖν, τὴν δ' ἑαυτῶν διαστρέφοντας καὶ μολύνοντας ἀτόποις ὀνόμασι καὶ ῥήμασι βαρβαρικοῖς καταισχύνειν καὶ παρανομεῖν εἰς τὸ θεῖον καὶ πάτριον ἄξίωμα τῆς εὐσεβείας. ἀλλ' ὅ γε κωμικὸς οὐκ ἀηδῶς εἴρηκέ που πρὸς τοὺς καταχρυσοῦντας τὰ κλινίδια καὶ καταργυροῦντας ὅτι

'προῖκα μόνον ἔδωκαν ἡμῖν οἱ θεοί
τὸν ὕπνον. τί τοῦτο πολυτελὲς σαυτῷ ποιεῖς;'

ἔστι δὲ καὶ πρὸς τὸν δεισιδαίμονα εἰπεῖν ὅτι τὸν C ὕπνον οἱ θεοὶ λήθην κακῶν ἔδοσαν ἡμῖν καὶ ἀνάπαυσιν. τί τοῦτο κολαστήριον σαυτῷ ποιεῖς ἐπίμονον καὶ ὀδυνηρόν, τῆς ἀθλίας ψυχῆς εἰς ἄλλον τόπον ἀπο-

2, 58—60 H. 6, 632—634 R.

1. σπαθῶσιν*: ταράττουσιν 3. Nauck. p. 698 8. βαπτισμούς Bentleius: σαββατισμούς 17. εἰς* 18. κωμικὸς] Meinek. IV. p. 670 21. προῖκα — θεοί idem: μόνον ἔδωκαν ἡμῖν οἱ θεοὶ προῖκα 22. σαυτῷ idem: σεαυτῷ 26. τόπον*: ὕπνον

Digitized by Google

δρᾶναι μὴ δυναμένης; ὁ Ἡράκλειτός φησι τοῖς ἐγρηγορόσιν ἕνα καὶ κοινὸν κόσμον εἶναι, τῶν δὲ κοιμωμένων ἕκαστον εἰς ἴδιον ἀποστρέφεσθαι. τῷ δὲ δεισιδαίμονι κοινὸς οὐδεὶς οὐδ' ἴδιός ἐστι κόσμος· οὔτε γὰρ ἐγρηγορὼς τῷ φρονοῦντι χρῆται οὔτε κοιμώμενος ἀπαλλάττεται τοῦ ταράττοντος, ἀλλ' ὀνειρώττει μὲν ὁ λογισμός, ἐγρήγορε δ' ὁ φόβος ἀεί, φυγὴ δ' οὐκ ἔστιν οὐδὲ μετάστασις.

4. Ἦν φοβερὸς ἐν Σάμῳ Πολυκράτης τύραννος, ἦν ἐν Κορίνθῳ Περίανδρος, ἀλλ' οὐδεὶς ἐφοβεῖτο τούτους μετασταὶς εἰς πόλιν ἐλευθέραν καὶ δημοκρατουμένην. ὁ δὲ τὴν τῶν θεῶν ἀρχὴν ὡς τυραννίδα φοβούμενος σκυθρωπὴν καὶ ἀπαραίτητον ποῖ μεταστῇ ποῖ φύγῃ, ποίαν γῆν ἄθεον εὕρῃ, ποίαν θάλασσαν; εἰς τί καταδὺς τοῦ κόσμου μέρος καὶ ἀποκρύψας σεαυτόν, ὦ ταλαίπωρε, πιστεύσεις ὅτι τὸν θεὸν ἀποπέφευγας; ἔστι καὶ δούλοις νόμος ἐλευθερίαν ἀπογνοῦσι πρᾶσιν αἰτεῖσθαι καὶ δεσπότην μεταβάλλειν ἐπιεικέστερον· ἡ δὲ δεισιδαιμονία θεῶν ἀλλαγὴν οὐ δίδωσιν, οὐδ' ἔστιν εὑρεῖν ὃν οὐ φοβήσεται θεὸν ὁ φοβούμενος τοὺς πατρῴους καὶ γενεθλίους, ὁ φρίττων τοὺς σωτῆρας καὶ μειλιχίους, ὁ τρέμων καὶ δεδοικὼς παρ' ὧν αἰτούμεθα πλοῦτον εὐπορίαν εἰρήνην ὁμόνοιαν ὄρθωσιν λόγων καὶ ἔργων τῶν ἀρίστων. εἶτα οὗτοι τὸ δουλεύειν ἀτύχημα ἡγοῦνται καὶ λέγουσι

> 'δεινή τις ἀνδρὶ καὶ γυναικὶ συμφορὰ
> δούλους γενέσθαι δεσπότας τε δυσχερεῖς
> λαβεῖν'·

2, 60–61 H. 635 R.

4. οὐδ' ἴδιος Matthaeus 13. ποῖ — ποῖ*: ποῦ — ποῦ 22. ὁ τρέμων Reiskius: τρέμων 26. Nauck. 698 27. δυσχερεῖς Valckenarius: δυστυχεῖς

πόςῳ δὲ δεινότερον οἴεσθε πάσχειν αὐτοὺς ἀνεκφεύκτους ἀναποδράστους ἀνυποστάτους λαμβάνοντας; ἔστι δούλῳ φεύξιμος βωμός, ἔστι καὶ ληςταῖς ἀβέβηλα πολλὰ τῶν ἱερῶν, καὶ πολεμίους οἱ φεύγοντες ἂν ἀγάλματος λάβωνται ἢ ναοῦ θαρροῦσιν· ὁ δὲ δεισιδαίμων ταῦτα μάλιστα φρίττει καὶ φοβεῖται καὶ δέδοικεν, ἐν οἷς οἱ φοβούμενοι τὰ δεινότατα τὰς ἐλπίδας ἔχουσι. μὴ ἀπόςπα τὸν δεισιδαίμονα τῶν ἱερῶν· F ἐνταῦθα κολάζεται καὶ τιμωρεῖται. τί δεῖ μακρὰ λέγειν; 'πέρας ἐστὶ τοῦ βίου πᾶσιν ἀνθρώποις ὁ θάνατος'· τῆς δὲ δεισιδαιμονίας οὐδ' οὗτος, ἀλλ' ὑπερβάλλει τοὺς ὅρους ἐπέκεινα τοῦ ζῆν, μακρότερον τοῦ βίου ποιοῦσα τὸν φόβον καὶ συνάπτουσα τῷ θανάτῳ κακῶν ἐπίνοιαν ἀθανάτων, καὶ ὅτε παύεται πραγμά- 167
των, ἄρχεσθαι δοκοῦσα μὴ παυομένων. Ἅιδου τινὲς ἀνοίγονται πύλαι βαθεῖαι, καὶ ποταμοὶ πυρὸς ὁμοῦ καὶ Στυγὸς ἀπορρῶγες ἀνακεράννυνται, καὶ σκότος ἐμπίπλαται πολυφαντάστων εἰδώλων χαλεπὰς μὲν ὄψεις οἰκτρὰς δὲ φωνὰς ἐπιφερόντων, δικασταὶ δὲ καὶ κολασταὶ καὶ χάσματα καὶ μυχοὶ μυρίων κακῶν γέμοντες. οὕτως ἡ κακοδαίμων δεισιδαιμονία τῇ περιττῇ πρὸς ἅπαν τὸ δοκοῦν δεινὸν εὐλαβείᾳ λανθάνει ἑαυτὴν ὑποβάλλουσα παντοίοις δεινοῖς.

5. Τούτων οὐδὲν τῇ ἀθεότητι πρόσεστιν, ἀλλ' ἡ μὲν ἄγνοια χαλεπὴ καὶ τὸ παρορᾶν καὶ τυφλώττειν περὶ τηλικαῦτα συμφορὰ μεγάλη ψυχῆς, ὥσπερ ὀμ- B μάτων τὸ φανότατον καὶ κυριώτατον ἀπεσβεσμένης τὴν τοῦ θεοῦ νόησιν. ταύτῃ δὲ τὸ ἐμπαθές, ὥσπερ

2, 61—64 H. 6, 635—637 R.

2. ἀνυποστάτους Meziriacus: ἀναποστάτους 18. ἐμπίπλαται — εἰδώλων Stobaeus Floril. t. IV. p. 245: ἐφήποῦ — ωται πολυφάνταστον εἰδώλων τινῶν

G. Nauck.

Digitized by Google

εἴρηται, καὶ ἑλκῶδες καὶ ταρακτικὸν καὶ καταδεδουλωμένον εὐθὺς πρόσεστι τῇ δόξῃ. μουσικήν φησιν ὁ Πλάτων ἐμμελείας καὶ εὐρυθμίας δημιουργὸν ἀνθρώποις ὑπὸ θεῶν οὐ τρυφῆς ἕνεκα καὶ κνήσεως ὤτων δοθῆναι, ἀλλὰ ὥστε τῶν τῆς ψυχῆς περιόδων καὶ ἁρμονιῶν τὸ ταραχῶδες καὶ πεπλανημένον ἐν σώματι, μούσης τε καὶ χάριτος ἐνδείᾳ πολλαχῇ δι' ἀκολασίαν καὶ πλημμέλειαν ἐξυβρίζον, αὖθις εἰς τάξιν ἀνελίττουσαν οἰκείως καὶ περιάγουσαν καθιστάναι.

ὅσσα δὲ μὴ πεφίληκε Ζεύς' φησὶ Πίνδαρος 'ἀτύζονται βοάν
Πιερίδων ἀίοντα·'

καὶ γὰρ διαγριαίνεται καὶ ἀγανακτεῖ, καὶ τὰς τίγρεις δέ φασι περιτυμπανιζομένας ἐκμαίνεσθαι καὶ ταράττεσθαι καὶ τέλος αὑτὰς διασπᾶν. ἔλαττον οὖν κακὸν οἷς διὰ κωφότητα καὶ πήρωσιν ἀκοῆς ἀπάθεια πρὸς μουσικὴν καὶ ἀναισθησία συμβέβηκεν. ὁ Τειρεσίας ἐχρῆτο δυστυχίᾳ μὴ βλέπων τὰ τέκνα μηδὲ τοὺς συνήθεις, ὁ δ' Ἀθάμας μείζονι καὶ ἡ Ἀγαυή, βλέποντες ὡς λέοντας καὶ ἐλάφους· καὶ τῷ Ἡρακλεῖ δήπου μανέντι τοὺς υἱεῖς ἐλυσιτέλει μήτε ἰδεῖν μήτε αἰσθέσθαι παρόντας ἢ χρῆσθαι τοῖς φιλτάτοις ὡς πολεμίοις.

6. Τί οὖν; οὐ δοκεῖ σοι καὶ τὸ τῶν ἀθέων πρὸς τοὺς δεισιδαίμονας πάθος ἔχειν τοιαύτην διαφοράν; οἳ μὲν οὐχ ὁρῶσι τοὺς θεοὺς τὸ παράπαν, οἳ δὲ κακοὺς ὑπάρχειν νομίζουσιν· οἳ μὲν παρορῶσιν, οἳ δὲ δοξάζουσι φοβερὸν τὸ εὐμενὲς καὶ τυραννικὸν τὸ πατρικὸν καὶ βλαβερὸν τὸ κηδεμονικὸν καὶ τὸ ἄμικτον

2, 64—66 H. 6, 637—639 R.

3. Πλάτων] Tim. p. 47 D
9. καθιστάναι*: καθιστᾶν
10. Πίνδαρος] Pyth. I 13
25. μὲν Pflugkius: μὲν οὖν

ἄγριον εἶναι καὶ θηριῶδες. εἶτα χαλκοτύποις μὲν πείθονται καὶ λιθοξόοις καὶ κηροπλάσταις ἀνθρωπόμορφα τῶν θεῶν τὰ εἴδη ποιοῦσι, καὶ τοιαῦτα πλάττουσι καὶ κατασκευάζουσι καὶ προσκυνοῦσι· φιλο- E
5 σόφων δὲ καὶ ποιητικῶν ἀνδρῶν καταφρονοῦσιν, ἀποδεικνύντων τὴν τοῦ θεοῦ σεμνότητα μετὰ χρηστότητος καὶ μεγαλοφροσύνης καὶ εὐμενείας καὶ κηδεμονίας. περίεστιν οὖν τοῖς μὲν ἀναισθησία καὶ ἀπιστία τῶν ὠφελούντων, τοῖς δὲ ταραχὴ καὶ φόβος πρὸς τὰ
10 ὠφελοῦντα. καὶ ὅλως ἡ μὲν ἀθεότης ἀπάθεια πρὸς τὸ θεῖόν ἐστι μὴ νοοῦσα τὸ ἀγαθόν, ἡ δὲ δεισιδαιμονία πολυπάθεια κακὸν τὸ ἀγαθὸν ὑπονοοῦσα. φοβοῦνται τοὺς θεοὺς καὶ καταφεύγουσιν ἐπὶ τοὺς θεούς, κολακεύουσι καὶ λοιδοροῦσιν, εὔχονται καὶ καταμέμ-
15 φονται. κοινὸν ἀνθρώπων τὸ μὴ πάντα διευτυχεῖν· F

'κεῖνοι γάρ τ' ἄνοσοι καὶ ἀγήραοι
πόνων τ' ἄπειροι, βαρυβόαν
πορθμὸν πεφευγότες Ἀχέροντος',

ὁ Πίνδαρός φησι, τὰ δ' ἀνθρώπινα πάθη καὶ πράγ-
20 ματα μέμικται συντυχίαις ἄλλοτε ἄλλως ῥεούσαις.

7. Φέρε δὴ πρῶτον ἐν τοῖς ἀβουλήτοις σκόπει τὸν ἄθεον καὶ καταμάνθανε τὴν διάθεσιν, ἂν ἢ τἆλλα μέτριος, χρωμένου σιωπῇ τοῖς παροῦσι καὶ πορίζοντος αὐτῷ βοηθείας καὶ παρηγορίας, ἂν δὲ δυσφορῇ
25 καὶ περιπαθῇ, πάντας ἐπὶ τὴν τύχην καὶ τὸ αὐτόματον ἀπερειδομένου τοὺς ὀδυρμοὺς καὶ βοῶντος ὡς 168
οὐδὲν κατὰ δίκην οὐδ' ἐκ προνοίας ἀλλὰ πάντα συγκεχυμένως καὶ ἀκρίτως φέρεται καὶ σπαθᾶται τὰ τῶν ἀνθρώπων. τοῦ δὲ δεισιδαίμονος οὐχ οὕτος ὁ τρό-

2, 66—67 H. 6, 482—484 R.

5. ποιητικῶν*: πολιτικῶν 16. γάρ τ' p. 1076 A: γὰρ
19. Πίνδαρος] Bergk. fr. 120 (107)[3]

Digitized by Google

πος, ἀλλ' εἰ καὶ μικρότατον αὐτῷ κακὸν συμπεπτωκός ἐστιν, ἄλλα κάθηται πάθη χαλεπὰ καὶ μεγάλα καὶ δυσαπάλλακτα τῇ λύπῃ προσοικοδομῶν, καὶ προσεμφορῶν αὐτῷ δείματα καὶ φόβους καὶ ὑποψίας καὶ ταραχάς, παντὶ θρήνῳ καὶ παντὶ στεναγμῷ καθαπτόμενος· οὔτε γὰρ ἄνθρωπον οὔτε τύχην οὔτε καιρὸν
B οὔθ' ἑαυτὸν ἀλλὰ πάντων τὸν θεὸν αἰτιᾶται, κἀκεῖθεν ἐπ' αὐτὸν ἥκειν καὶ φέρεσθαι ῥεῦμα δαιμόνιον ἄτης φησί, καὶ ὡς οὐ δυστυχὴς ὢν ἀλλὰ θεομισής τις ἄνθρωπος ὑπὸ τῶν θεῶν κολάζεσθαι καὶ δίκην διδόναι καὶ πάντα πάσχειν προσηκόντως δι' αὑτόν οἴεται. νοσῶν τε ὁ ἄθεος ἐκλογίζεται καὶ ἀναμιμνήσκεται πλημονὰς αὑτοῦ καὶ οἰνώσεις καὶ ἀταξίας περὶ δίαιταν ἢ κόπους ὑπερβάλλοντας ἢ μεταβολὰς ἀέρων ἀήθεις καὶ τόπων, ἔπειτα προσκρούσας ἐν πολιτείαις καὶ περιπεσὼν ἀδοξίαις πρὸς ὄχλον ἢ διαβολαῖς πρὸς ἡγεμόνα τὴν αἰτίαν ἐξ αὑτοῦ καὶ τῶν περὶ αὑτὸν σκοπεῖ

'πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;'

τῷ δὲ δεισιδαίμονι καὶ σώματος ἀρρωστία πᾶσα καὶ
C χρημάτων ἀποβολὴ καὶ τέκνων θάνατοι καὶ περὶ πολιτικὰς πράξεις δυσημερίαι καὶ ἀποτεύξεις πληγαὶ θεοῦ καὶ προσβολαὶ δαίμονος λέγονται. ὅθεν οὐδὲ τολμᾷ βοηθεῖν οὐδὲ διαλύειν τὸ συμβεβηκὸς οὐδὲ θεραπεύειν οὐδ' ἀντιτάττεσθαι, μὴ δόξῃ θεομαχεῖν καὶ ἀντιτείνειν κολαζόμενος, ἀλλ' ὠθεῖται μὲν ἔξω νοσοῦντος ὁ ἰατρός, ἀποκλείεται δὲ πενθοῦντος ὁ νουθετῶν καὶ παραμυθούμενος φιλόσοφος. 'ἔα με' φησίν 'ἄνθρωπε

2, 67—69 H. 6, 641—642 R.

1. κακόν*: κακόν τι vel κακὸν τὸ 19. Pythag. Carm. Aur. 42

Digitized by Google

διδόναι δίκην, τὸν ἀσεβῆ, τὸν ἐπάρατον, τὸν θεοῖς καὶ δαίμοσι μεμισημένον. ἔστιν ἀνθρώπου μὴ πεπει- D
σμένου θεοὺς εἶναι λυπουμένου δ' ἄλλως καὶ περιπαθοῦντος ἀπομάξαι δάκρυον, ἀποκεῖραι κόμην, ἀφελέσθαι τὸ ἱμάτιον· τὸν δὲ δεισιδαίμονα πῶς ἂν προσείποις ἢ πῇ βοηθήσεις; ἔξω κάθηται σακκίον ἔχων καὶ περιεζωσμένος ῥάκεσι ῥυπαροῖς, πολλάκις δὲ γυμνὸς ἐν πηλῷ κυλινδούμενος ἐξαγορεύει τινὰς ἁμαρτίας αὑτοῦ καὶ πλημμελείας, ὡς τόδε φαγόντος ἢ πιόντος ἢ βαδίσαντος ὁδὸν ἦν οὐκ εἶα τὸ δαιμόνιον. ἂν δ' ἄριστα πράττῃ καὶ συνῇ πράῳ δεισιδαιμονίᾳ, περιθεούμενος οἴκοι κάθηται καὶ περιματτόμενος, αἱ δὲ γραῦες 'καθάπερ παττάλῳ' φησὶν ὁ Βίων 'ὅ τι ἂν E
τύχωσιν αὐτῷ περιάπτουσι φέρουσαι καὶ περιαρτῶσι'.

8. Τὸν Τιρίβαζόν φασιν ὑπὸ τῶν Περσῶν συλλαμβανόμενον σπάσασθαί τε τὸν ἀκινάκην, εὔρωστον ὄντα, καὶ διαμάχεσθαι· μαρτυρομένων δὲ καὶ βοώντων ὅτι συλλαμβάνουσιν αὐτὸν βασιλέως κελεύσαντος, αὐτίκα τὸ ξίφος καταβαλεῖν καὶ τὼ χεῖρε συνδῆσαι παρασχεῖν. ἆρ' οὖν οὐχ ὅμοιόν ἐστι τὸ γιγνόμενον; οἱ μὲν ἄλλοι διαμάχονται συμφοραῖς καὶ διωθοῦνται τὰ πράγματα, φυγὰς ἑαυτοῖς μηχανώμενοι καὶ παρατροπὰς τῶν ἀβουλήτων· ὁ δὲ δεισιδαίμων οὐδενὸς ἀκούσας, αὐτὸς πρὸς αὑτὸν εἰπών 'ταῦτα πάσχεις, F
ὦ κακόδαιμον, ἐκ προνοίας καὶ θεοῦ κελεύοντος' ἔρριψε πᾶσαν ἐλπίδα, προήκατο ἑαυτόν, ἔφυγε διεκρούσατο τοὺς βοηθοῦντας. πολλὰ τῶν μετρίων κακῶν ὀλέθρια ποιοῦσιν αἱ δεισιδαιμονίαι. Μίδας ὁ παλαιός, ὡς ἔοικεν, ἐκ τινων ἐνυπνίων ἀθυμῶν καὶ ταραττόμενος οὕτω κακῶς ἔσχε τὴν ψυχήν, ὥσθ' ἑκου-

2, 69—71 H. 6, 642—644 R.

11. πραείᾳ Reiskius περιθειούμενος*: περιθυόμενος
12. καὶ Reiskius 15. Τιρίβαζόν*: τηρίβαζόν

Digitized by Google

είως ἀποθανεῖν αἷμα ταύρου πιών. ὁ δὲ τῶν Μεσηνίων βασιλεὺς Ἀριστόδημος ἐν τῷ πρὸς Λακεδαιμονίους πολέμῳ, κυνῶν λύκοις ὠρυομένων ὅμοια καὶ περὶ τὴν ἑστίαν αὐτοῦ τὴν πατρῴαν ἀτρώστεως ἀναβλαστανούσης καὶ τῶν μάντεων τὰ σημεῖα φοβουμένων, ἐξαθυμήσας καὶ κατασβεσθεὶς ταῖς ἐλπίσιν αὐτὸς
169 ἑαυτὸν ἀπέσφαξεν. ἦν δ' ἴσως καὶ Νικίᾳ τῷ Ἀθηναίων στρατηγῷ κρεῖττον οὕτως ἀπαλλαγῆναι τῆς δεισιδαιμονίας ὡς Μίδας ἢ Ἀριστόδημος ἢ φοβηθέντι τὴν σκιὰν ἐκλιπούσης τῆς σελήνης καθῆσθαι περιτειχιζόμενον ὑπὸ τῶν πολεμίων, εἶθ' ὁμοῦ τέτταρσι μυριάσιν ἀνθρώπων φονευθέντων τε καὶ ζώντων ἁλόντων ὑποχείριον γενέσθαι καὶ δυσκλεῶς ἀποθανεῖν. οὐ γὰρ γῆς ἀντίφραξις ἐν μέσῳ γενομένης φοβερόν, οὐδὲ δεινὸν ἐν καιρῷ περιόδων σκιὰς πρὸς σελήνην ἀπάντησις, ἀλλὰ δεινὸν τὸ τῆς δεισιδαιμονίας σκότος ἐμ-
B πεσὸν ἀνθρώπου συγχέαι καὶ τυφλῶσαι λογισμὸν ἐν πράγμασι μάλιστα λογισμοῦ δεομένοις.

'Γλαῦκ', ὅρα, βαθὺς γὰρ ἤδη κύμασι ταράσσεται
πόντος, ἀμφὶ δ' ἄκρα Γυρέων ὀρθὸν ἵσταται
νέφος,
σῆμα χειμῶνος'.

τοῦτο ἰδὼν κυβερνήτης εὔχεται μὲν ὑπεκφυγεῖν καὶ θεοὺς ἐπικαλεῖται σωτῆρας, εὐχόμενος δὲ τὸν οἶακα προσάγει, τὴν κεραίαν ὑφίησι,

'φεύγει μέγα λαῖφος ὑποστολίσας ἐρεβώδεος ἐκ
θαλάσσης'.

2, 71—72 H. 6, 644—646 R.

2. Λακεδαιμονίους Xylander: μεσσηνίους 8. κρεῖττον Reiskius: κράτιστον 15. περιόδων Xylander: ποδῶν 16. ἐμπεσὸν*: ἐμπεσόντος 19. Bergk. p. 696[3] Γλαῦκ' ὅρα βαθὺς Canterus: γλαυκεοράβδοις 20. Γυρέων Xylander: γυρῶν 26. Bergk. p. 1351[3]. Nauck. p. 698

Digitized by Google

ὁ Ἡσίοδος κελεύει πρὸ ἀρότου καὶ σπόρου τὸν γεωργὸν εὔχεσθαι Διὶ χθονίῳ Δημήτερί θ' ἁγνῇ τῆς ἐχέτλης ἐχόμενον, Ὅμηρος δὲ τὸν Αἴαντά φησι τῷ Ἕκτορι μέλλοντα μονομαχεῖν εὔχεσθαι κελεύειν τοὺς Ἕλληνας ὑπὲρ αὐτοῦ τοῖς θεοῖς, εἶτ' εὐχομένων ἐκείνων ὁπλίζεσθαι. καὶ ὁ Ἀγαμέμνων ὅτε τοῖς μαχομένοις προσέταξεν

'εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω',

τότε παρὰ τοῦ Διὸς αἰτεῖ

'δός με κατὰ πρηνὲς βαλέειν Πριάμοιο μέλαθρον·'

ἀρετῆς γὰρ ἐλπὶς ὁ θεός ἐστιν, οὐ δειλίας πρόφασις. ἀλλ' Ἰουδαῖοι σαββάτων ὄντων ἐν ἀγνάπτοις καθεζόμενοι, τῶν πολεμίων κλίμακας προστιθέντων καὶ τὰ τείχη καταλαμβανόντων, οὐκ ἀνέστησαν ἀλλ' ἔμειναν ὥσπερ ἐν σαγήνῃ μιᾷ τῇ δεισιδαιμονίᾳ συνδεδεμένοι.

9. Τοιαύτη μὲν ἐν τοῖς ἀβουλήτοις καὶ περιστατικοῖς λεγομένοις πράγμασι καὶ καιροῖς ἡ δεισιδαιμονία, βελτίων δ' οὐδὲν οὐδ' ἐν τοῖς ἡδίοσι τῆς ἀθεότητος. ἥδιστα δὲ τοῖς ἀνθρώποις ἑορταὶ καὶ εἰλαπίναι πρὸς ἱεροῖς καὶ μυήσεις καὶ ὀργιασμοὶ καὶ κατευχαὶ θεῶν καὶ προσκυνήσεις. ἐνταῦθα τοίνυν σκόπει τὸν ἄθεον γελῶντα μὲν μανικὸν καὶ Σαρδόνιον γέλωτα τοῖς ποιουμένοις καί που παραφθεγγόμενον ἀτρέμα πρὸς τοὺς συνήθεις ὅτι τετύφωνται καὶ δαιμονῶσιν οἱ θεοῖς ταῦτα δρᾶσθαι νομίζοντες, ἄλλο δ' οὐδὲν ἔχοντα κακόν. ὁ δὲ δεισιδαίμων βούλεται μὲν οὐ δύναται δὲ χαίρειν οὐδ' ἥδεσθαι, D

2, 73–74 H. 6, 646–647 R.

1. Ἡσίοδος] O. et D. 463 3. Ὅμηρος] H 193
8. B 382 10. B 414

Digitized by Google

'πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
E ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων'
ἡ ψυχὴ τοῦ δεισιδαίμονος. ἐστεφανωμένος ὠχριᾷ, θύει καὶ φοβεῖται, εὔχεται φωνῇ παλλομένῃ καὶ χερσὶν ἐπιθυμιᾷ τρεμούσαις, καὶ ὅλως ἀποδείκνυσι τὸν Πυθαγόρου λόγον φλύαρον εἰπόντος ὅτι 'βέλτιστοι γιγνόμεθα πρὸς τοὺς θεοὺς βαδίζοντες'· τότε γὰρ ἀθλιώτατα καὶ κάκιστα πράττουσιν οἱ δεισιδαίμονες, ὥσπερ ἄρκτων φωλεοῖς ἢ χειαῖς δρακόντων ἢ μυχοῖς κητῶν τοῖς τῶν θεῶν μεγάροις ἢ ἀνακτόροις προσιόντες.

10. "Οθεν ἔμοιγε καὶ θαυμάζειν ἔπεισι τοὺς τὴν
F ἀθεότητα φάσκοντας ἀσέβειαν εἶναι, μὴ φάσκοντας δὲ τὴν δεισιδαιμονίαν. καίτοιγε Ἀναξαγόρας δίκην ἔφυγεν ἀσεβείας ἐπὶ τῷ λίθον εἰπεῖν τὸν ἥλιον, Κιμμερίους δ' οὐδεὶς εἶπεν ἀσεβεῖς ὅτι τὸν ἥλιον οὐδ' εἶναι τὸ παράπαν νομίζουσι. τί σὺ λέγεις; ὁ μὴ νομίζων θεοὺς ἀνόσιός ἐστιν; ὁ δὲ τοιούτους νομίζων οἵους οἱ δεισιδαίμονες, οὐ μακρῷ δόξαις ἀνοσιωτέραις σύνεστιν; ἐγὼ γοῦν ἂν ἐθέλοιμι μᾶλλον τοὺς ἀνθρώπους
170 λέγειν περὶ ἐμοῦ μηδὲ γεγονέναι τὸ παράπαν μηδ' εἶναι Πλούταρχον ἢ λέγειν ὅτι Πλούταρχός ἐστιν ἄνθρωπος ἀβέβαιος εὐμετάβολος, εὐχερὴς πρὸς ὀργήν, ἐπὶ τοῖς τυχοῦσι τιμωρητικός, μικρόλυπος, ὅσγε, ἂν καλῶν ἐπὶ δεῖπνον ἑτέρους παραλίπῃς ἐκεῖνον, ἂν ἀσχολίας σοι γενομένης ἐπὶ θύρας μὴ ἔλθῃς ἢ μὴ προσείπῃς, διέδεταί σου τὸ σῶμα προσφὺς καὶ συλλαβὼν ἀποτυμπανιεῖ τὸ παιδίον, ἢ θηρίον τοῖς καρποῖς ἐφήσει καὶ λυμανεῖται τὴν ὀπώραν. τοῦ Τιμο-

2, 74—75 H. 6, 647—649 R.

1. Soph. O. R. 4 18. θεοὺς Schellensius: θεοὺς εἶναι 21. μηδὲ*: μήτε 24. ὅσγε* 28. θηρίον*: θηρίον ἔχων

Digitized by Google

θέου τὴν Ἄρτεμιν ᾄδοντος ἐν Ἀθήναις καὶ λέγοντος θυάδα φοιβάδα μαινάδα λυσσάδα Κινησίας ὁ μελοποιὸς ἐκ τῶν θεατῶν ἀναστὰς 'τοιαύτη σοι' εἶπε 'θυγάτηρ B γένοιτο'. καὶ μὴν ὅμοια τούτοις καὶ χείρω περὶ 5 Ἀρτέμιδος οἱ δεισιδαίμονες ὑπολαμβάνουσιν αἵ τε κὰν ἀπ' ἀγχόνας ἀίξασα αἵ τε καλεχόνα κναίσατε αἵ τε καν ἐκεκρος μαίουσα αν πεφυρμένα ἐσῆλθες αἵ τε καὶ ἐκ τριπόδων καθ' ἑρμάτευσιν ἐπισπώμενα τῷ παλαμναίῳ συμπλεχθεῖσα. οὐδὲν δὲ τούτων ἐπιεικέστερα 10 φρονοῦσι περὶ Ἀπόλλωνος περὶ Ἥρας περὶ Ἀφροδίτης· πάντας γὰρ τούτους τρέμουσι καὶ δεδοίκασι. καίτοι τί τοσοῦτον ἡ Νιόβη περὶ τῆς Λητοῦς ἐβλασφήμησεν, ὅσον ἡ δεισιδαιμονία πέπεικε περὶ τῆς θεοῦ τοὺς ἄφρονας, ὡς ἄρα λοιδορηθεῖσα κατετόξευσε τῆς C 15 ἀθλίας γυναικός

'ἐξ μὲν θυγατέρας, ἐξ δ' υἱέας ἡβώοντας;'

οὕτως ἄπληστος ἀλλοτρίων κακῶν ἦν καὶ ἀνίλαστος. εἰ γὰρ ἀληθῶς ἡ θεὸς χολὴν εἶχε καὶ μισοπόνηρος ἦν καὶ ἤλγει κακῶς ἀκούουσα καὶ μὴ κατεγέλα τῆς 20 ἀνθρωπίνης ἀμαθίας καὶ ἀγνοίας ἀλλ' ἠγανάκτει, τούτους ἔδει κατατοξεῦσαι τοὺς τοσαύτην ὠμότητα καὶ πικρίαν καταψευδομένους αὐτῆς καὶ τοιαῦτα λέγοντας καὶ γράφοντας. τῆς γοῦν Ἑκάβης προβαλλόμεθα τὴν πικρίαν ὡς βάρβαρον καὶ θηριώθη λε- 25 γούσης

'τοῦ ἐγὼ μέσον ἦπαρ ἔχοιμι D
ἐσθέμεναι προσφῦσα',

τὴν δὲ Κυρίαν θεὸν οἱ δεισιδαίμονες νομίζουσιν, ἂν

2, 75—76 H. 6, 649—650 R.

5. Lobeck. Aglaoph. p. 633. Bergk. p. 1316[3] 13. ὅσον*: οἷον 16. Homer. Ω 604 υἱέας*: υἱεῖς 21. κατατοξεῦσαι Reiskius: τοξεῦσαι 26. Homer. Ω 212

Digitized by Google

μαινίδας τις ἢ ἀφύας φάγῃ, τὰ ἀντικνήμια διεσθίειν, ἕλκει τὸ σῶμα πιμπράναι, συντήκειν τὸ ἧπαρ.

11. Ἆρ' οὖν τὸ μὲν λέγειν τὰ φαῦλα περὶ τῶν θεῶν ἀνόσιον, τὸ δὲ δοξάζειν οὐκ ἀνόσιον; ἢ καὶ τὴν φωνὴν ἄτοπον ἡ δόξα ποιεῖ τοῦ βλασφημοῦντος; καὶ γὰρ ἡμεῖς τὴν βλασφημίαν ὅτι δυσμενείας σημεῖόν ἐστι προβαλλόμεθα, καὶ τοὺς κακῶς ἡμᾶς λέγοντας ἐχθροὺς νομίζομεν ὡς καὶ κακῶς φρονοῦντας. ὁρᾷς δ' οἷα περὶ τῶν θεῶν οἱ δεισιδαίμονες φρονοῦσιν, ἐμπλήκτους ἀπίστους εὐμεταβόλους τιμωρητικοὺς ὠμοὺς μικρολύπους ὑπολαμβάνοντες, ἐξ ὧν ἀνάγκη καὶ μισεῖν τὸν δεισιδαίμονα καὶ φοβεῖσθαι τοὺς θεούς; πῶς γὰρ οὐ μέλλει, τὰ μέγιστα τῶν κακῶν αὑτῷ δι' ἐκείνους οἰόμενος γεγονέναι καὶ πάλιν γενήσεσθαι; μισῶν δὲ θεοὺς καὶ φοβούμενος ἐχθρός ἐστι. καίτοι προσκυνεῖ γε καὶ θύει καὶ κάθηται πρὸς ἱεροῖς, καὶ οὐ θαυμαστόν ἐστι· καὶ γὰρ τοὺς τυράννους ἀσπάζονται περιέπουσι χρυσοῦς ἀνιστᾶσιν, ἀλλὰ μισοῦσι σιγῇ 'κάρα σείοντες'. Ἀλέξανδρον Ἑρμόλαος ἐθεράπευε, Παυσανίας ἐδορυφόρει Φίλιππον, Χαιρέας Γάϊον, ἀλλ' ἕκαστος τούτων ἔλεγε παρακολουθῶν

'ἦ c' ἂν τισαίμην, εἴ μοι δύναμίς γε παρείη'.

οὐκ οἴεται θεοὺς εἶναι ὁ ἄθεος, ὃ δὲ δεισιδαίμων οὐ βούλεται, πιστεύει δ' ἄκων· φοβεῖται γὰρ ἀπιστεῖν. καίτοι γ' ὥσπερ ὁ Τάνταλος ὑπεκδῦναι τὸν λίθον ἐπαιωρούμενον οὕτω καὶ οὗτος τὸν φόβον ὡς οὐχ ἧττον ὑπ' αὐτοῦ πιεζόμενος ἀγαπήσειεν ἄν, καὶ μακαρίσειε τὴν τοῦ ἀθέου διάθεσιν ὡς ἐλευθερίαν. νυνὶ δὲ τῷ μὲν ἀθέῳ δεισιδαιμονίας οὐδὲν μέτεστιν, ὁ δὲ δεισιδαίμων τῇ προαιρέσει ἄθεος ὢν ἀσθενέστερός ἐστιν ἢ ὥστε δοξάζειν περὶ θεῶν ὃ βούλεται.

2, 76—78 H. 6, 650—652 R.

19. κάρα] Soph. Ant. 326 22. Homer. X 20

Digitized by Google

12. Καὶ μὴν ὁ ἄθεος δεισιδαιμονίας οὐδαμῆ συν- 171
αίτιος, ἡ δὲ δεισιδαιμονία τῇ ἀθεότητι καὶ γενέσθαι παρέσχε καὶ γενομένη δίδωσιν ἀπολογίαν, οὐκ ἀληθῆ μὲν οὐδὲ καλήν, προφάσεως δέ τινος οὐκ ἄμοιρον οὖσαν. οὐ γὰρ ἐν οὐρανῷ τι μεμπτὸν οὐδ' ἐν ἄστροις οὐδ' ἐν ὥραις ἢ περιόδοις σελήνης ἢ κινήσεσιν ἡλίου περὶ γῆν, 'ἡμέρας καὶ νυκτὸς δημιουργοῖς', ἢ τροφαῖς ζῴων ἢ καρπῶν γενέσεσι πλημμελὲς καὶ ἄτακτον ἐνιδόντες οὕτως ἀθεότητα τοῦ παντὸς κατέγνωσαν, ἀλλὰ τῆς δεισιδαιμονίας ἔργα καὶ πάθη καταγέλαστα, καὶ ῥήματα καὶ κινήματα καὶ γοητεῖαι καὶ μαγεῖαι B καὶ περιδρομαὶ καὶ τυμπανισμοὶ καὶ ἀκάθαρτοι μὲν καθαρμοὶ ῥυπυραὶ δ' ἁγνεῖαι, βάρβαροι δὲ καὶ παράνομοι πρὸς ἱεροῖς κολασμοὶ καὶ προπηλακισμοί, ταῦτα δίδωσιν ἐνίοις λέγειν ὡς μὴ εἶναι θεοὺς ἄμεινον ἢ εἶναι, τοιαῦτα μὲν δεχομένους τοιούτοις δὲ χαίροντας, οὕτω δ' ὑβριστάς, οὕτω δὲ μικρολόγους καὶ μικρολύπους.

13. Οὐκ ἄμεινον οὖν ἦν Γαλάταις ἐκείνοις καὶ Σκύθαις τὸ παράπαν μήτ' ἔννοιαν ἔχειν θεῶν μήτε φαντασίαν μήθ' ἱστορίαν ἢ θεοὺς εἶναι νομίζειν χαίροντας ἀνθρώπων σφαττομένων αἵματι καὶ τελεωτάτην θυσίαν καὶ ἱερουργίαν ταύτην νομίζοντας; τί δέ; C Καρχηδονίοις οὐκ ἐλυσιτέλει Κριτίαν λαβοῦσιν ἢ Διάγοραν νομοθέτην ἀπ' ἀρχῆς μήτε τινὰ δαιμόνων μήτε θεῶν νομίζειν ἢ τοιαῦτα θύειν οἷα τῷ Κρόνῳ ἔθυον; οὐχ ὥσπερ Ἐμπεδοκλῆς φησὶ τῶν τὰ ζῷα θυόντων καθαπτόμενος

'μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας
σφάζει ἐπευχόμενος μέγα νήπιος',

2, 78—80 H. 6, 652—654 R.

3. παρέσχε*: παρέσχεν ἀρχὴν 7. Plat. Tim. p. 40 C
30. σφάζει Sextus Empir. adv. Math. IX 129: σφάξει

Digitized by Google

ἀλλ' εἰδότες καὶ γιγνώσκοντες αὐτοὶ τὰ αὑτῶν τέκνα καθιέρευον, οἱ δ' ἄτεκνοι παρὰ τῶν πενήτων ὠνούμενοι παιδία κατέσφαζον καθάπερ ἄρνας ἢ νεοσσούς,
D παρειστήκει δ' ἡ μήτηρ ἄτεγκτος καὶ ἀστένακτος. εἰ δὲ στενάξειεν ἢ δακρύσειεν, ἔδει τῆς τιμῆς στερέσθαι, τὸ δὲ παιδίον οὐδὲν ἧττον ἐθύετο, κρότου τε κατεπίμπλατο πάντα πρὸ τοῦ ἀγάλματος ἐπαυλούντων καὶ τυμπανιζόντων ἕνεκα τοῦ μὴ γίγνεσθαι τὴν βοὴν τῶν θρήνων ἐξάκουστον. εἰ δὲ Τυφῶνές τινες ἢ Γίγαντες ἦρχον ἡμῶν τοὺς θεοὺς ἐκβαλόντες, ποίαις ἂν ἥδοντο θυσίαις ἢ τίνας ἄλλας ἱερουργίας ἀπήτουν; Ἄμηστρις δ' ἡ Ξέρξου γυνὴ δώδεκα κατώρυξεν ἀνθρώπους ζῶντας ὑπὲρ αὐτῆς τῷ Ἅιδῃ, ὃν ὁ Πλάτων φησὶ φιλάν-
E θρωπον ὄντα καὶ σοφὸν καὶ πλούσιον, πειθοῖ καὶ λόγῳ κατέχοντα τὰς ψυχάς, Ἅιδην ὠνομάσθαι. Ξενοφάνης δ' ὁ φυσικὸς τοὺς Αἰγυπτίους κοπτομένους ἐν ταῖς ἑορταῖς καὶ θρηνοῦντας ὁρῶν ὑπέμνησεν οἰκείως. 'οὗτοι' φησίν 'εἰ μὲν θεοί εἰσι, μὴ θρηνεῖτε αὐτούς· εἰ δ' ἄνθρωποι, μὴ θύετε αὐτοῖς'.

14. Ἀλλ' οὐδὲν οὕτω πολυπλανὲς καὶ πολυπαθὲς νόσημα καὶ μεμιγμένον ἐναντίαις δόξαις καὶ μαχομέναις ὡς τὸ τῆς δεισιδαιμονίας. φευκτέον οὖν αὐτὴν ἀσφαλῶς τε καὶ συμφερόντως, οὐχ ὥσπερ οἱ λῃστῶν ἢ θηρίων ἔφοδον ἢ πῦρ ἀπερισκέπτως καὶ ἀλογίστως
F περιφεύγοντες ἐμπίπτουσιν εἰς ἀνοδίας βάραθρα καὶ κρημνοὺς ἐχούσας. οὕτω γὰρ ἔνιοι φεύγοντες τὴν δεισιδαιμονίαν ἐμπίπτουσιν εἰς ἀθεότητα τραχεῖαν καὶ ἀντίτυπον, ὑπερπηδήσαντες ἐν μέσῳ κειμένην τὴν εὐσέβειαν.

2, 80—81 H. 6, 654—655 R.

13. Πλάτων] Crat. p. 403 C 21. μαχομέναις*: μαχομέναις μᾶλλον

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google